ἐρεμνή	Χ' ὧ τὰς ἀμπλακίας κρύπτει ἐρεμνὴ ἀχλύς.	Dolsc.
ζοφερή	Ἀχλὺς γὰρ ζοφερὴ σκεπάσει τὸν ἀπείρονα κόσμον	Sibyll.
κελαινή	-- κελαινὴ δ' οὐρανόθ' ἀχλὺς Ἄμπεχεν.	Apoll. lib. 2.
ὀλεσίμβροτος	Ἀχλὺν ἀποσκεδάσας ὀλεσίμβροτον, ἰολόχευτον.	Proclus.
ἐπισμυγερή, αἰνή, χλωρή, &c.	Πὰρ δ' ἀχλὺς εἱστήκει ἐπισμυγερή τε καὶ αἰνή, Χλωρή, ἀϋσταλέη, λιμῷ καταπεπτηυῖα,	Hesiod. Scuto.
γουνοπαχής	Γουνοπαχής.	

Nonn. Dionys. θανατηφόρος, ἄσκοπος.

ἄχος *dolor, acerbitas, tristitia, luctus.*

αἰνόν	Ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται, ὦ Μενέλαε.	Hom. Il. δ.
ὀξύ	Ὣς φάτο, τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν.	Idem Iliad. τ.
ἄτλητον	-- ἐν δέ οἱ ἦτορ Δῦν' ἄχος ἄτλητον.	Eod.
ἄκριτον	Μίσγεαι ἀθανάτοισιν, ἔχω δ' ἄχε' ἄκριτα θυμῷ.	Hom. Iliad. ω
ἄλαστον	Αὐτῷ κήδε' ἔσεσθαι, ἐμοὶ δ' ἄχος αἰὲν ἄλαστον.	Hom. Od. δ.
θυμοφθόρον	Τὴν δ' ἄχος ἀμφεχύθη θυμοφθόρον.	Eod.
ἐλεεινόν	Τῆς δ' ἐλεεινοτάτῳ ἄχεϊ φθινύθουσι παρειαί.	Idē Odyss. θ.
δριμύ	Δειμὸν δ' Ἄρη ἄχος εἷλε, ἐρυσσάμενος δ' ἄορ ὀξύ.	Hesiod. Scu.

ἀλεγεινόν

ἀλεγεινόν	-- περὶ κραδίην ἀλεγεινὸν Ἷξεν ἄχος.	Calab. lib. 5.
θυμαλγές	Θῶσαι μὰν θυμαλγὲς ἐμὸν ἄχος. εἴθε γενοίμαν	Theocr. εἰδ. γ
στυγερόν	--στυγερὸν δ' ἄχος εἷλεν ἰδόντας Ἥρωας Μινύας	Apoll. lib. 1.
ἀμέγαρτον	Εἵλετο, τοὺς δ' ἀμέγαρτον ἄχος λάβεν, ἐκ δ' ἐβόησαν.	Idem lib. 3.
πολυστόναχον	Ἄμμι πολυστονάχων ἀχέων παραμύθιον ἦεν.	Apolinar.
	Nonn. Dionys. βαρύζηλον.	
	ἄωτος lana ouis, flos cuiusque rei.	
λεπτός	Κώεά τε, ῥῆγός τε, λίνοιό τε λεπτὸν ἄωτον.	Hom. Iliad. ι.
εὔστροφος	Αὐτὴν δὲ ξυνέδησεν ἐϋστρόφῳ οἰὸς ἀώτῳ.	Idem Iliad. ν.
θεσπέσιος	Κείμην, αὐτὰρ χερσὶν ἀώτου θεσπεσίοιο.	Idē Odyss. ι.
φοινίκεος	Στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ.	Theoc. εἰδ. β.
γλυκύς	Ὑψηλὰν ἀρετᾶν, καὶ στεφάνων ἄωτον γλυκύν.	Pind. Olym.
	B.	
	Βαβυλών *Babylon.*	
ἱερὴ πόλις	Πρὸς δὲ νότον Βαβυλὼν ἱερὴ πόλις.	Dionys.
κραναή	Καὶ κραναᾶς Βαβυλῶνος ἐπίδρομον ἅρμασι τεῖχος.	Epigr. lib. 1.
Ἀσσυρίη	Μήδων Αἰθιόπων τε καὶ Ἀσσυρίης Βαβυλῶνος.	Sibyll. orac.
χρυσόθρονος &c	Αἲ αἲ σοι Βαβυλὼν χρυσόθρονε, χρυσοπέδιλε.	Ibidem.
πουλυετὴς βασ.	Πουλυετὴς βασίλεια, μόνη κόσμοιο κρατοῦσα.	Ibidem.
μεγάλη, &c.	Ἡ τὸ πάλαι μεγάλη καὶ πάμπολις.	Ibidem.
ὑπερφίαλος	Ἠνορέης ὀλετῆρα ὑπερφιάλου Βαβυλῶνος.	Epigr. lib. 4.
πολύχρυσος	Βαβυλὼν δ' ἡ πολύχρυσος πάμμικτον ὄχλον πέμπει.	Æschyl. Pers.
	βάθος *profunditas.*	
ἁλμυρόν	Ἥκει λιπὼν Αἰγαῖον ἁλμυρὸν βάθος.	Menand.
νύχιον	Σκέδασον δ' ἀπ' ὄσσων νύχιον ἀέρος βάθος.	Lucianus.
πόντιον	Καὶ πόντιον πέπεικαν ἐκλιπεῖν βάθος.	Cyr. Theod.

βάκτρον baculus.

εὐπαγές, αὐτόφλοιον, &c.	-- ἐπέρριψε δὲ βάκτρον	Theoc. εἰδ. λβ
	Εὐπαγὲς, αὐτόφλοιον ἐπηρεφέος κοτίνοιο	
	Εὔμετρον.	
ὁλοσχερές	Εὑρὼν σὺν πυκινῇσιν ὁλοσχερὲς ἔσπασε ῥίζαις.	In eod.
	Nonn. Dionys. γηρόκομον, ἡδὺ, ἀμπελόεν.	

Βάκχαι Bacchæ.

φιλοπαίγμονες	Φιλοπαίγμονες δὲ Βάκχαι Ἐπιτροπνόους ἐναύλους.	Anacreon.
περιπλῆγες	-- περιπλῆγές θ' ἅτε Βάκχαι	Nicãd. Alex.
	Ὀξὺ μέλος βοόωσιν.	
ἔκφρονες	Ἔκφρονα τὴν Βάκχην, οὐχ ἡ φύσις ἀλλ' ἡ τέχνη	Epigr. lib. 4.
χαροπαί	-- χαροπαὶ δὲ πέλονται γυναῖκες.	Opp. κυνηγ. δ.
οἰνάδες, &c.	Οἰνάδες, ὠσχοφόροι, τελετηΐδες, ἀνθοκάρηνοι.	
Βάκχου πηδῆσαι	Βάκχου φοιταλιῆος ἐγερσιχόροιο πηδῆσαι.	Eod.
κερασφόρος	Κερασφόρους γυναῖκας, ἐκ δ' ἀμφονίας.	Lycoph.
θυάδες, &c.	Θυάσιν ὠμοβόροις ἴκελαι.	Apoll. lib. 1.
Καδμεῖαι	Βάκχαι Καδμεῖαι τὸν καλλίνικον κλεινὸν	Eurip. Bacch.
Ἀσιάδες	Ἐξεπράξατε εἰς γόνον. Sequitur mox:	
	Ἀσιάδες Βάκχαι.	
θυρσοφόροι	Βάκχαι τε θυρσοφόροι. Et mox:	Idẽ Cyclope.
λευκόποδες	Βάκχαις σὺν λευκόποσιν.	
κυκλοπόλοι	Λαιψηρὰ πηδᾷ κυκλοπόλοις ἅμα σὺν Βάκχαις.	Idem Ione.
κιττοφόροι	Ναΐσι καὶ Βάκχαις ἡγούμενε κιττοφόροισιν.	Orph. hym.
	Nonn. Dionys. ὀρεσσίβατοι, ἀπλακεῖς, ὑψαύχενες, ἀθώρηκτοι, φιλαίθεμοι, λυσιέθειραι, φιλόσκαρθμοι, ἀκρήδεμνοι, ἄπλοκοι, κύμβαλα δινεύουσαι, βρόμιαι, λυσσάδες, ὑγροπόροι, ἀπτόλεμοι, φιλοκρόταλοι, χαλκοχίτωνες, ὀρειμανεῖς, μανιώδεες, ῥηξήνωρ, ἄγρια κωμάζουσαι, θεόσσυτοι, Ἰνδοφόνοι, ἀεξίγαμοι, Ἰσμηνίδες, χοροπλεκεῖς, Ἐλευσίνιαι.	

Βάκχος

Βάκχος Bacchus, ἢ Διόνυσος.

μαινόμενος	Ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας.	Hom. Il. ζ.
χάρμα βροτοῖς	Ἡ δὲ Διώνυσον Σεμέλη τέκε, χάρμα βροτοῖσι.	Iliad. ξ.
καλός	Χ' ὦ καλὸς Διόνυσος ἐπ' ἄγγεσι πόρπιν ἐλαύνει.	Theo. εἰδ. κδ.
ἐρίβρομος	Εἰμὶ δ' ἐγὼ Διόνυσος ἐρίβρομος, ὃν τέκε μήτηρ.	Hom. h. Bac.
κισσοκόμης	Κισσοκόμην Διόνυσον ἐρίβρομον ἄρχομ' ἀείδειν	Eod.
πολύυμνος	Αὐτὰρ ἐπειδὴ τόνδε θεαὶ πολύυμνον ἔθρεψαν.	Eod.
πολυστάφυλος	Καὶ σὺ μὲν οὕτω χαῖρε πολυστάφυλ' ὦ Διόνυσε.	Eod.
πολυγηθής	Δῶρα Διωνύσου πολυγηθέος &c.	Hesiod. li. 2.
χρυσοκόμης	Χρυσοκόμης δ' ἄρα Διόνυσος ξανθὴν Ἀριάδνην.	Id. Theog.
λυαῖος	Ὁ δ' ἔρως ὁ χρυσοχαίτης μετὰ τοῦ καλοῦ Λυαίου.	Anacr.
εὔιος	Μέλπον ποιεῖ Διὸς γόνον Βάκχον εὔιον ἡμῖν.	Idem.
βρόμιος	Δότε μοι δότ' ὦ γυναῖκες Βρομίου πιεῖν ἀμυστί.	Idem.
λυσίφρων	Τοῦ Διὸς ὁ παῖς ὁ Βάκχος ὁ λυσίφρων ὁ Λυαῖος.	Idem.
λυσιπαίγμων	Ὅτ' ἐγὼ πίω τὸν οἶνον Τότε λυσιπαίγμων Βάκχος	Idem.
φιλοπαίγμων	Ποθέω μὲν Διονύσου Φιλοπαίγμονος χορείας.	Idem.
ζέων	Ἐρατὸν πίθοις ὁρῶντες Νέον ἐς ζέοντα Βάκχον.	Idem.
δαμάτωρ	Ὁ γὰρ δαμάτωρ Βρόμιος οὐ χαίρει σιωπῶν.	Alexis.
ἀκερσεκόμης	Βότρυς, ἀκερσεκόμης ζεφύρῳ συνελίζετο χαίτην.	Coluth.
ὀρειμανής	Νήδυμος αὐλὸς ἔτυψεν ὀρειμανέος Διονύσου.	Tryphiod.
ἠΰς	Ὡς ἠῢς Διόνυσος, ἰδὲ σθένος Ἡρακλῆος.	Calab. lib. 3.
ἀριπρεπής	Τὴν Ἥφαιστος ἔτευξεν ἀριπρεπεῖ Διονύσῳ.	Idem libr. 4.
μανιώδης	Σὺν δ' ἐτάραξε ποσὶν μανιώδεος ὄργια Βάκχου	Theoc. εἰδ. λϛ
ἐριβρεμέτης	Ἰνδοὶ κῶμον ἄγουσιν ἐριβρεμέτῃ Διονύσῳ.	Dionyſ.
Θηβαιγενής	Ἔνθα τε καὶ στῆλαι Θηβαιγενέος Διονύσου.	Idem.
ἀκροχάλιξ	Ἀκροχάλιξ δ' οἴνῳ πλεκτοὺς ἀνεσείσατο θύρσους.	Idem.
ἀληθής	Τίς; πόθεν εἶς Διόνυσε; μὰ γὰρ τὸν ἀληθέα Βάκχον.	Epigr. lib. 1.
πυριγενής	Τώ σε χρὴ καλέειν Δημήτριον, οὐ Διόνυσον Πυριγενῆ.	Eod.
κεραός	Σιληνοὶ κεραοῖο Διωνύσοιο τιθηνοί.	Nicand. Al.
Νυσήϊος	-- ἔνθ' ἐνέπουσι Διὸς Νυσήϊον υἷα Ἰνδῶν ἠώϊα φῦλα λιπών.	Apoll. lib. 2.

νυκτέλιος	Πρωτεῖ ποντοπόρῳ νυκτελίῳ τε βρόμῳ.	A. Politian.
τελετής &c.	Οὐκ ἐθέλω τελετῇ σε τὰ νῦν ὀρίβακχον ἀείδειν.	Opp. κυνηγ. α.
θυωναῖος	Δηθάκις ἀμφεχόρευσα θυωναίῳ Διονύσῳ.	Eod.
φερεστάφυλος	Πρόσθ' ἔμεναι Βακχοῖο φερεσταφύλοιο τιθήνας.	Opp. κυνηγ. γ.
ζάθεος	Οὐδὲν ἀλευόμενοι ζαθέοιο κότον Διονύσου.	Id. κυνηγ. δ.
φοιταλιεὺς &c.	Βάκχου φοιταλιῆος ἐγερσιχόροιο τιθῆναι.	Eod.
λισίπονος	Γαῖα φυτηκομέειν ὑπὸ λισιπόνῳ Διονύσῳ.	Eod.
πυρίσπορος	Θὲς δὲ παρὰ σκοπιῇσι πυρίσπορε πευθέα ταῦρον.	Eod.
χορευτής	Τιμὰς ἐν μακάρεσσιν ἔχεις Διόνυσε χορευτά.	Orph. hym.
εὔιερος	Εὐίερε Βάκχοιο, καὶ ἁγνῆς Περσεφονείης.	Ibid.
κισσοφόρος	Φιλεῖ δὲ παῖς ὁ κισσοφόρος.	Pind. Olym.
Ἴακχος	Φεῦγε χοροιτυπίην ἐπινήϊον. ἐχθρὸς Ἰάκχῳ Πόντος.	Epigr. lib. 1.
εὐστέφιος	Εὐστέφιός μ' ἐδάμασσεν ὁμοῦ, καὶ περσφοῖος ὕπνος.	Eod.
εὐαστήρ	Οὐ θρηνῶ σε λάγηνε, τὸν εὐαστῆρα τεκοῦσαν Βάκχον.	Eod.
εὐχαίτης	Εὐχαῖτα Διόνυσε, σὲ δ' ὕδασιν οὐκ ἐμίηνεν.	Epigr. lib. 2.
ληναῖος	Πίομαι ὦ Ληναῖε πολὺ πλέον, ἢ πίε Κύκλωψ.	Eod.
εὐώδης	Γαστέρα μὲν σεσάλακτο γέρων εὐώδεϊ Βάκχῳ.	Eod.
Ἰκάριος	Ἰκαρίου σπένδοντες ἀφειδέα δῶρα Λυαίου.	Eod.
ἐγερσιγέλως	Σπείσομεν οἰνοποτῆρες ἐγερσιγέλωτι Λυαίῳ.	Eod.
ἀπήμων	Ἀνέρες οἷσι μέμηλεν ἀπήμονος ὄργια Βάκχου.	Eod.
ἀτάρβητος	Πιστὸν ἀταρβήτου θύρσος ἔχων Βρομίου.	Eod.
λυσιμελής	Λυσιμελοῦς Βάκχου, καὶ λυσιμελοῦς Ἀφροδίτης.	Eod.
ἁπαλός	Νικηθεὶς ἁπαλῷ λυσιμελεῖ Βρομίῳ.	Epigr. lib. 4.
εὐκέραος	Εἰμὶ μὲν εὐκεράοιο φίλος θεράπων Διονύσου.	Eod.
ἁβροκόμης	Ἁβροκόμη Διόνυσε, περὶ παστάδος ᾐώρησεν.	Epigr. lib. 6.
ἀμπελοφύτωρ	Γλευκοπόταις σατύροισι, καὶ ἀμπελοφύτορι Βάκχῳ.	Eod.
οἶνοψ	Ὧν ἡμεῖς σπείσαντες ὅσον θέμις οἴνοπι Βάκχῳ.	Eod.
φιλάκρητος	Αὐλῶνας δ' ἀνέθηκε φιλακρήτῳ Διονύσῳ.	Eod.
ἡδύς	Φῂς Λυσιδίκην με φιλεῖν πλέον, οὐ μὰ τὸν ἡδὺν Βάκχον.	Epigr. lib. 7.
σωτήρ	Σωτῆρα Βάκχον τῶν πάροιθε πημάτων.	Lycophron.
ἐνόρχης &c.	Δαίμων ἐνόρχης φηγαλεὺς φαυστήριος.	Idem.

λαφυστίας	Κισσοῦ παρ' αἰπὺν στέφανα τῷ λαφυστίας.	Idem.
οἰκουρός &c.	-- οὔ ποτ' οἰκουρὸς δόρυ Γνάμψει θεοῖνος &c.	Idem.
εὐρυχαίτης	Ἀνίκ' εὐρυχαίταν ἄντελλας Διόνυσον.	Pind. Isthm.
ναρθηκοφόρος	Θεσμοφόρον καλέω ναρθηκοφόρον Διόνυσον.	Orph. hym.
θυρσοφόρος &c.	Μητέρα θυρσοφόροιο Διωνύσου πολυγηθοῦς.	Ibidem.
βακχιώτης	Ἵν' ὁ βακχιώτας ἀεὶ Διόνυσος ἐμβατεύει.	Sop. Oed. C.
διόγονος	-- τοκάδα τὰν διογόνοιο Βάκχου νυμφευσαμέναν.	Eurip. Hipp.
θηλύμορφος	Τὸν θηλύμορφον ξένον ὃς εἰσφέρει νόσον.	Id. Bacch.
θρασύς	Ὡς θρασὺς ὁ Βάκχος κοὐκ ἀγύμναστος λόγων.	Ibidem.
χρυσώπης	Μόλε χρυσῶπα τινάσσων ἀνὰ θύρσον κατ' Ὄλυμπον. (σώπω.	Ibidem.
θραχέτης	Ἴθ' ὦ Βάκχε θραχέτα, βακχᾶν κλῶνι πε-	Ibidem.
καλλίνικος	Τὸν καλλίνικον κλεινὸν ἐξεπεράξαντο εἰς γόνον.	Ibidem.
Bacchi cognominum Acrostichis.	Μέλπωμεν βασιλῆα φιλεύϊον εἰραφιώτην, ἁβροκόμην, ἀγρεῖον, ἀοίδιμον, ἀγλαόμορφον, Βοιωτὸν, βρόμιον, βακχύτερα, βοτρυοχαίτην, γηθόσυνον, γονόεντα, γιγαντολέτην, γελόωντα, διογενῆ, δίγονον, διθυραμβογενῆ, Διόνυσον, εὔϊον, εὐχαίτην, εὐάμπελον, ἐγρεσίκωμον, ζηλαῖον, ζάχολον, ζηλήμονα, ζηλοδοτῆρα, ἤπιον, ἡδυπότην, ἡδύθροον, ἡεροπῆα, θυρσοφόρον, Θρήϊκα, θιασώτην, θυμολέοντα, Ἰνδολέτην, ἱμερτὸν, ἰοπλόκον, εἰραφιώτην, κωμαστὴν, κεραὸν, κισσοστέφανον, κελαδεινὸν, Λυδὸν, λυαῖον, λαθικηδέα, λυσιμέριμνον, μύστην, μαινόλιον, μεθυδώτην, μυελόμορφον, νυκτέλιον, νόμιον, νεβρώδεα, νεβριδόπεπλον, ξυστοβόλον, ξεινὸν, ξενοδώτην, ξανθοκάρηνον, ὀργίλον, ὀβριμόθυμον, ὀρέσκιον, οὐρεσιφοίτην, πουλυπότην, πλαγκτῆρα, πολυστέφανον, πολύκωμον, ῥηξίνοον, ῥαδινὸν, ῥικνώδεα, ῥηνοχορῆα, σκιρτητὴν, σάτυρον, σεμεληγενέτην, σεμελῆα, τερπνὸν, ταυρωπὸν, τυῤῥηνολέτην, ταχύμηνιν,	Ex li. 1. Epig. Græcorum.

ὑποφόβιον, ὑγρὸν, ὑμενήϊον, ὑλήεντα,
φηρομανῆ, φρικτὸν, φιλομειδέα, φοιταλιώτην,
χρυσόκερων, χαρίεντα, χαλίφρονα, χρυσεομίτρην,
ψυχοπλανῆ, ψεύστην, ψοφομηδέα, ψυχοδαΐκτην,
ὤελον, ὠμηστὴν, ὀρεσίτροφον, ὠρεσίλοιπον.

ὕμνος Διονύσου — Ex hymnis Orphei εἰς Διόνυσον variis

Κικλήσκω Διόνυσον ἐρίβρομον, εὐαστῆρα,
πρωτόγονον, διφυῆ, τρίγονον, Βακχεῖον ἄνακτα,
ἄγριον, ἄρρητον, κρύφιον, δικέρωτα, δίμορφον,
κισσόβρυον, ταυρωπὸν, ἀρήϊον, εὔιον, ἁγνὸν,
ὠμάδιον, τριετῆ, βοτρυφόρον, ἐρνεσίπεπλον,
Εὐβουλ', εὐπολύβουλε, Διὸς καὶ Περσεφονείης
ἀρρήτοις λέκτροισι τεκνωθεὶς, ἄμβροτε δαῖμον.

Βασσαρέως τριετηρικοῦ Διονύσου.

Ἐλθὲ μάκαρ Διόνυσε, πυρίσπορε, ταυρομέτωπε,
βάσσαρε, καὶ βακχεῦ, πολυώνυμε, παντοδυνάστα,
ὃς ξίφεσιν χαίρεις, ἠδ' αἵμασι, μαινάσι θ' ἁγναῖς·
εὐάζων κατ' ὄλυμπον, ἐρίβρομε, μανικὲ Βάκχε,
θυρσεγχής, βαρύμηνι, τετιμένε πᾶσι θεοῖσι
καὶ θνητοῖσι βροτοῖσιν, ὅσοι χθόνα ναιετάουσιν·
ἐλθὲ μάκαρ σκιρτητὰ, φέρων πολὺ γῆθος ἅπασι

Λικνίτου

Λικνίτην Διόνυσον ἐπ' εὐχαῖς ταῖσδε κικλήσκω,
Νύσιον, ἀμφιθαλῆ, πεποθημένον, εὔφρονα Βάκχον.
νυμφῶν ἔρνος ἐραστὸν, ἐϋστεφάνου τ' Ἀφροδίτης.

περικιονίου

Κικλήσκω Βάκχον περικιόνιον, μεθυδώτην,
Καδμείοισι δόμοις, ὃς ἑλισσόμενος περὶ πάντα, &c.

Λυσίου Ληναίου

Κλῦθι μάκαρ Διὸς υἱ' ἐπιλήνιε, Βάκχε διμάτωρ,
σπέρμα πολύμνηστον, πολυώνυμε, λύσιε δαῖμον.
κρυψίγονον μακάρων ἱερὸν θάλος, εὔιε Βάκχε,
εὐτραφῆ, εὔκαρπε, πολυγηθέα καρπὸν ἀέξων,
ῥηξίχθων, ληναῖε, μεγασθενὲς, αἰολόμορφε·
λυσίπονος θνητοῖσι φανεὶς, ἄκος, ἱερὸν ἄνθος,

	χάρμα βροτοῖς φιλάλυπον, ἐπάφιε, καλλιέθειρε, λύσιε, θυρσομανές, βρόμι', εὔιε, πᾶσιν εὔφρων· νῦν σε καλῶ μύσταισι μολεῖν, ἡδύ, φερέκαρπον.	
Τριετηρικοῦ	Κικλήσκω σε μάκαρ, πολυώνυμε, μανικὲ βακχεῦ, Ταυρόκερως, ληναῖε, πυρίσπορε, νύσιε, λυσεῦ, μηροτρεφής, λικνῖτα, πυριπόλε, καὶ τελέταρχε· νύκτερ', εὔβουλεῦ, μιτρηφόρε, θυρσοτινάκτα· ὄργιον ἄρρητον, τριφυές, κρύφιον Διὸς ἔρνος· πρωτόγον' ἤρικε παιέ, θεῶν πάτερ ἠδὲ καὶ υἱέ· ὠμάδιε, σκηπτοῦχε, χοροιμανές, ἀγέτα κώμων· βακχεύων ἁγίας τριετηρίδας, ἀμφὶ γαλήνας. ῥηξίχθων, πυριφεγγές, ἐπάφιε, κοῦρε διμάτωρ, οὐρεσιφοῖτα ἔρως, νεβριδόστολε, ἀμφιέτηρε, παιάν, χρυσεγχής, ὑποκόλπιε, βοτρυόκοσμε. Βάσσαρε, κισσοχαρής, πολυπάρθενε, καὶ διάκοσμε, ἐλθὲ μάκαρ μύσταισι βρύων κεχαρημένος αἰεί.	
Ἀμφιετοῦς	Ἀμφιετῆ καλέω Βάκχον, χθόνιον Διόνυσον, ἐγρόμενον κούραις ἅμα νύμφαις εὐπλοκάμοισιν· εὐάζων κινῶν τε χοροὺς ἐνὶ κυκλάσιν ὥραις. ἀλλὰ μάκαρ, χλοόκαρπε, κερασφόρε, κάρπιμε Βάκχε &c.	
φιλοκισσοφόρος	Κἀγὼ τὸν φιλοκισσοφόρον	Eur. Cyclop.
ποθεινός	Βρόμιον ποθεινὸν εἰσιδεῖν θέλω.	
οἰνοδότης	Παρά τε Βρόμιον, οἰνοδόταν, Παρά τε χέλυος ἑπτατόνου μολπάν.	Id. Herc. F.
ὡραῖος, πολυύμνητος &c.	Apud Aristoph. in Ranis vocatur ὡραῖος θεός, πολυύμνητος, φιλοχορευτής.	
θεσμοφόρος	Θεσμοφόρον καλέω ναρθηκοφόρον Διόνυσον &c	Orph. h. μίσης
κισσοχίτων	Υἱεῖ κισσοχίτωνι λίθον καταθύμιον εἶναι.	Id. περὶ λιθ.
καλεσίχορος	Ἠδὲ μέθυ Βρομίοιο καλεσιχόρου καταχεῦσιν.	Idem ibid.

Nonn. Dionyſ. διοστόκος, Αἰγύπτιος, ταυροφυής, οἰνοβαφής, ἀγλαόδωρος, νηπενθής,

ἀλεξητὴρ, βοόκραιρος, φιλόσκαρθμος, ἀνίκητος, δρακοντόκομος, φιλόστοργος, ἀεξίφυτος, νυκτίπολος, σκηπτοῦχος ὀπώρης, σταφυληκόμος, ἀκοίμητος, θεηγενὴς, ποθόβλητος, εὔθυρσος, φιλόβοτρυς, ἀδάκρυτος, ἀπένθητος, οἰνόχυτος, φρενοθελγής, ἐγερσίμοθος, καρηβαρέων, δορυσσόος, ὠμηστὴς, ἀκόρητος, δισσοφυὴς, σελασφόρος, παιδόκομος, ἀθήητος, χοροιτύπος, εὐρύβιος, πυρίβρομος, εἰραφιώτης, βροτοσσόος, φιλάγρυπνος, κορυμβοφόρος, μενεπτόλεμος, μειλίχιος, βρυαρὸς, εὐθώρηξ, μεθυσφαλὴς, χρυσάσπις, Λύκιος, ἐρωμανὴς, λαγοβόλος, ἀνύτατος, ἀσίδηρος, ἄλκις, φιλοσκόπελος, γυναιμανὴς, ἐρευνητὴρ, δολόεις, τελεσσίγαμος, γιγαντοφόνος, ἀθώρηκτος, φυγοπτόλεμος, θηλυμανὴς, ἀπειρόμοθος, θηλύφρων, φιλόπορθος, Ἰνδοφόνος, βοτρυόεις, χοροπλεκὴς, θυρσομανὴς, φίλον φάος, ὑπναλέος, ὑπνώεις, πολυβλέφαρος, ὀρχηστὴρ, φιλοστάφυλος, λευκοχίτων, χαλκοχίτων, γαληναῖος, ἀμαιμάκετος, ὑποβρύχιος, ἀμώμητος, οἰνόφυτος, θαλασσοπόρος, ἀκήρυκτος, δυσείκτητος, παλίννοστος, ἐχιδνόκομος, ἀδείελτος, φυτηκόμος, σθεναθενὴς, ἐρημονόμος, φιλοστέφανος, βοόκραιρος, νεβροχίτων, ὀρεσσίνομος, ἀπειλητὴρ, ποικιλόβοτρυς, Ἐλευσίνιος, ζωόγονος, ἀρχέγονος ζαγρεὺς, οἰστρήεις, δισέρως, ἀκεσσίπονος, δούλιος, ζυγόδεσμος, τανυπλόκαμος, λιποπτόλεμος, ὀρεσσίκομος, πολυειδὴς, θαλασσοφόνος, ὀρειτρεφὴς, ἄτρομος, φεραυγὴς, φιλοπευθὴς, ἀνδρομέου βιότου τερψίμβροτος ποιμὴν, ὑγρόμοθος, θαλασσόμοθος, δολορράφης, ψευδαλέος, εὔϋμνος, πυριπνείων, ἀμείδητος, νυκτοφαὴς, Λύδιος, σειώδρομος μήνης, ταχύγουνος, τυφλὸς, Μυγδόνιος, ὀρειπλανὴς, χοροτερπὴς, μελλόγαμος, ἀδήλητος, ἀρχέκακος, ἱμερόεις, ἀμνήμων, ἠεροπὸς, ἀμήτωρ, νεβειδόπεπλος

	δύπεπλος, κισσοχαίτης, δεξιοπόλος, θριαμβοδιθύραμβος, quæ tria postrema Epitheta leguntur apud Pratinam Phliasium, citante Cæs. Scaligero libr. 1. Poetices cap. 47.	
	βάλανος glans.	
μενοεικής	Ἔθουσαι βάλανον μενοεικέα, καὶ μέλαν ὕδωρ.	Hom. Od. ν.
	βάλσαμον balsamum.	
ἀγλαότιμον	Καὶ μύρῳ εἰδομένη τῷ βαλσάμῳ ἀγλαοτίμῳ.	Dolsc.
	βάπτισμα baptisma.	
ἀρχέγονον	Κήρυξ ἀρχεγόνου βαπτίσματος· οὔνομα δ' αὐτῷ.	Nonnus.
σοφὸν ῥεῖθρον	Γαίης αἰόλα φῦλα σοφῷ βαπτίζετο ῥείθρῳ.	Idem.
ἀλεξίκακον ὕδωρ	Ῥαββὶν ἀλεξικάκων ὑδάτων προτόθροε κήρυξ.	Idem.
	βάρβιτος barbitus.	
πολύχορδος	Βάρβιτον ἐς πολύχορδον ἐν ἀνδράσι θῆκ' ὀνομαστούς.	Theoc. εἰδ. 15.
μελίφρων	Μελπομένη θνητοῖσι μελίφρονα βάρβιτον ἧρε.	Epigr. lib. 1.
	βασιλεύς rex.	
διοτρεφής	Ἔχθιστος δέ μοι ἐσσὶ διοτρεφέων βασιλήων.	Hom. Il. α.
δημοβόρος	Δημοβόρος βασιλεύς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις.	Id. Iliad. α.
σκηπτοῦχος	Σκηπτοῦχος βασιλεύς, ᾧτε Ζεὺς κῦδος ἔδωκεν.	Eod.
ἀπηνής	Καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος.	Eod.

ἀγαθός	Ἀμφότερον βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰ-	Hom. Il. γ.
αἰδοῖος	Αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο. (χμητής.	Id. Iliad. δ.
ὑπερμενής	Ζεῦ πάτερ, ἦ ῥά τιν' ἤδη ὑπερμενέων βασιλήων.	Iliad. θ.
θεῖος	Δαιτυμόνες δ' ἐς δώματ' ἴσαν θείου βασιλῆος.	Hom. Od. δ.
κλειτός	Ἐρχομένῳ ξύμβλητο μετὰ κλειτοὺς βασιλῆας.	Odyss. ζ.
ἀριπρεπής	Δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες.	Odyss. θ.
ἀμύμων	Ὥστε τευ, ἢ βασιλῆος ἀμύμονος.	Odyss. τ.
δωροφάγος	Ἁρπάζων ἐφόρει μέγα κυδαίνων βασιλῆας Δωροφάγους.	Hesiod. lib. 1.
ἐχέφρων	Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες.	Id. Theog.
ἀείζηλος	Ἀγλαΐην μὲν ἔοικας ἀειζήλῳ βασιλῆϊ.	Coluth.
πολύολβος	Εἴ τινά που πολύολβον ἐνὶ Τροίῃ βασιλῆα.	Idem.
κυδάλιμος	Κυδάλιμοι βασιλῆες ἔτ' ἔθνεα δῃώσαντες.	Calab.
εὐκτέανος	Ἐν πυρὶ συγχεύασθαι εὐκτεάνῳ βασιλῆϊ.	Idem.
κυδαίνων	-- οἱ δ' ἐς νῆας ἄγον μέγα κυδαίνοντα	Idem lib. 4.
ἀντίθεος	Ἀντίθεον βασιλῆα.	
θεηγενής	Κέκλυτε μῦθον ἐμεῖο θεηγενέες βασιλῆες.	Idem lib. 6.
ἀγακλειτός	Καὶ τότ' ἄρ' ἠώθησαν ἀγακλειτοὶ βασιλῆες.	Eod.
φιλοπτόλεμος	-- οἱ δ' αἶψα φιλοπτολέμῳ βασιλῆϊ Εὐνὴν ἐντύνοντο.	Id. lib. 9.
ἴφθιμος	Πολλὸν δ' ἰφθίμοισι δεδώρηται βασιλεῦσι.	Theoc. εἰδ. ιζ.
ἐρισθενής	Γεύειν ἄνδρα ἕκαστον ἐρισθενέων βασιλήων.	Orph. Arg.
εὐγενής	Κλειώ τε μεγάλην τε καὶ εὐγενέων βασιλήων.	Nazianz.
θευδής	Καὶ χθονίων βασιλῆα θευδέα, καὶ τόδ' ἔειπεν.	Idem.
ἀεθλοφόρος	Πάτραρχοι βασιλῆες ἀεθλοφόροι βασιλῆες.	Idem.
πανάπαλος	-- βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικεν Παναπάλῳ.	Falc. Proba.
ὑπερφίαλος	Ἄρξε δ' ὑπερφιάλων καὶ ὑβριστῶν βασιλήων.	Cyr. Theod.
μεγάδοξος	-- ἔστιν ἐκεῖνος Καὶ βασιλεὺς μεγάδοξος.	Idem.
ἀλλόγλωσσος	Καὶ σύ ποτ' ἄρ' πολλῶν ἀλλογλώσσων βασι- λήων.	Idem.
λαμπρός	Καὶ τάχα κέν σε θεὸς λαμπρὸν βασιλῆα ποιήσει	Idem.
παμμεδέων	-- οὕνεκα πνεῦμα Ψεῦσαν παμμεδέοντα βασιλέα.	Idem.
πάναρχος	Θεσπίζει Χριστὸν βασιλῆα πάναρχον ἔσεσθαι.	Dolsc.
δημωφελής	Δημωφελὴς βασιλεὺς σεῖο διδόντος ἔχει.	Idem.

μεγάθυμος	-- Τρεῖς γὰρ βασιλεῖς μεγάθυμοι Ἄνδρε δικαιότατοι.	Sibyll.
ἀγέρωχος	-- ἠδ᾽ ἀγέρωχοι	Ibid.
ἄπιστος	Ἔσσονται βασιλῆες ὑπερφίαλοι καὶ ἄπιστοι.	
ἄκμητος	Ἄξει δ᾽ ἀκμήτοις βασιλεῖς ἐθνῶν ἐπὶ δυσμάς.	Ibid.
ἀγήνωρ	Βεβρύκων βασιλῆος ἀγήνορος.	Apoll. lib. 2.
θεμιστοῦχος	Εἰσόκε τις δικάσῃσι θεμιστούχων βασιλήων.	Id. lib. 4.
καρτερόθυμος	Ἄφθιτε καρτερόθυμον ἀεὶ βασιλῆα σαώσοις.	Apolinar.
φερέπτολις	Οἷον δὴ βασιλῆα φερέπτολιν, ἠέ τιν᾽ ἄνδρα.	Opp. κυν. α.
πολιοῦχος	Ἀλλὰ σύ μοι κάρτιστε πολιούχων βασιλήων.	Idem ἁλ. δ.
μενέχαρμος	Ἀθάνατος, μενέχαρμος &c. vide apud eūdem Psal. κϛ.	Apolinar.
τιμήεις	Εἵνεκα τιμήεντος ἐνηείης βασιλῆος.	Idem.
μεγακλήεις	Κάρτος ἐμὸν βασιλῆϊ μεγακλήεντι φυλάξω.	Idem.
ἀεισοπόνος	Ὑψηλὸν μετὰ πᾶσιν ἀεισοπόνοις βασιλεῦσι.	Idem.
μενεπτόλεμος	Ἀλκῆς δ᾽ ἐξελάθοντο μενεπτολέμου βασιλῆος.	Idem.
παντάναξ	Χαῖρ᾽ ἐσθλὸς ἐσθλοῦ παῖ, βασιλεῦ παντάναξ.	Nazianz.
κοσμοφθόρος	Εἰκόνα σοι βασιλεῦ κοσμοφθόρε τήνδε σιδήρου.	Epigr. lib. 2.
τυραννοφόνος	Οἶκος Ἀναστασίοιο τυραννοφόνου βασιλῆος.	Epigr. lib. 4.
φιλόσκηπτρος	Ἤμασιν ἑξήκοντα φιλοσκήπτρῳ βασιλῆϊ.	Eod.
ἀμαιμάκετος	Οἷς τότ᾽ ἐσαθρήσαντες ἀμαιμάκετοι βασιλῆες. Nonn. Dionys. βαθύπλουτος, ἀεθλοφόρος, ἀλίχλαινος.	Orph. Arg.
	βάσις basis, fundamentum.	
σιδηρόπλαστος	Οὐ γὰρ σιδηρόπλαστον ὑπεδύσω βάσιν.	Lucian.
	βάτραχος rana.	
ὑδατοτραφής	Χθὼν ὑδατοτραφέων βατράχων ἀνέτειλε γενέθλην.	Apolinar.
νωθὴς, μαλθακός	Βάτραχος αὖ νωθὴς μὲν ὁμῶς καὶ μαλθακὸς ἰχθύς.	Opp. ἁλ. β.
φιλόμβριος, ὑγρὸς ἀοιδός	Τὸν νυμφῶν θεράποντα, φιλόμβριον, ὑγρὸν ἀοιδόν.	Epigr. lib. 6.
λιμναῖος	Λιμναῖα κρηνῶν τέκνα, &	Aristoph.
φιλῳδός	Φιλῳδὸν γένος.	Ranis.

βέλεμνον, vide βέλος.

Βελίας Belias.

κακόφρων	Σαρξ ὀλοὴ Βελίαο κακόφρονος οἶδμα κελαινόν.	Nazianz.
ἀμερσίνοος	Τρόμενον παθέεσιν ἀμερσινόου Βελίαο.	Idem.

Βελλεροφόντης Bellerephontes.

ἀμύμων	Αὐτὰρ Γλαῦκος ἔτικτεν ἀμύμονα Βελλεροφόντην.	Hom. Iliad. ζ.
δαΐφρων	Γεῖθ' ἀγαθὰ φρονέοντα δαΐφρονα Βελλεροφόντην	Eod.
ἐσθλός	Τὴν μὲν Πήγασος εἷλε καὶ ἐσθλὸς Βελλεροφόντης.	Hesiod. Th.
κραταιός	Γαρ τέμενος καὶ σῆμα κραταιοῦ Βελλεροφόντου.	Calab. lib. 10
χιμαιροκτόνος	Ἵππος ὑπὸ νεφέων χιμαιροκτόνον ἤγαγε φῶτα.	Opp. κυνηγ. α.

βέλος ἢ βέλεμνον sagitta, telum.

ἐχεπευκές	Αὐτὰρ ἔπειτ' αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιείς.	Hom. Il. α.
ὀξύ	Οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος.	Id. Iliad. δ.
κρατερόν	Δηθ' ἀνσχήσεσθαι κρατερὸν βέλος.	Iliad. ε.
ὠκύ	Ὣς ἔφατ' εὐχόμενος, τὸν δ' οὐ βέλος ὠκὺ δάμασεν.	Eod.
στονόεν	Ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο.	Iliad. θ.
δριμύ	— ἔχῃ βέλος ὀξὺ γυναῖκα Δριμύ.	Iliad. λ.
κωφόν	Κωφὸν γὰρ βέλος ἀνδρὸς ἀναλκίδος, οὐτιδανοῖο.	Eod.
λαιψηρόν	Λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.	Hom. Il. φ.
ἀγανόν	Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν.	Iliad. ω.
θοόν	Ἐν δέ οἱ ἥπασι πῆξε θοὸν βέλος.	Hom. Od. χ.
ἀλεγεινόν	Χρειὼ ἀν' αἱματόεντα μόθον βελέων ἀλεγεινῶν.	Calab. lib. 1.
ὀϊζυρόν	Κείνου ὑπαὶ βελέεσσιν ὀϊζυροῖσιν ὀλέσθαι.	Idem lib. 5.
δυηρόν	Δειμενέας βάλλοντο δυηροῖς βελέεσσιν.	Idem lib. 7.
ἀργαλέον	Ἀργαλέον βέλος ὥσαν ὅπῃ θέλον.	Idem lib. 8.

ὀλοόν

ὀλοόν	Ὣς ἄρ' ὅγε προφυγὼν ὀλοὸν βέλος, ἔκφυγε πότμον.	Eod.
φοβερόν	Ὣς ἄρα δυσμενέες φοβερὸν βέλος ἀμφεφόβηθεν	Calab. lib. 11
ὀκρυόεν	– οὐ γάρ τι βέλος διὰ σαρκὸς ὄλισθεν Ὀκρυόεν.	Theoc. εἰδ. λϐ
εὔκεντρον	Οὐ βραδύς, εὐκέντρῳ πέζαν ἔτυψε βέλει.	Epigr. lib. 1.
πικρόν	Χερσὶ κρατεῖ, πῶς πικρὰ βέλη ποτὶ παιδία βάλλει.	Theoc. εἰδ. κζ
χαλεπόν	Ὠδίνειν τρομέω, χαλεπὸν βέλος Εἰλειθυίης.	Idem εἰδ. λϛ.
ψολόεν	Ἀλλ' ἔθανε, ψολόεντι δαμεῖσα θεοῦ φρένα βέλει.	Lucian.
κραιπνόν	Ἀρτέμιδος κραιπνοῖσι πάρος βελέεσσι δαμῆναι	Apoll. lib. 3.
ὀξύκομον	-- καὶ ὑπὸ βελέεσσι Χαίτης ὀξυκόμοισιν.	Opp. ἁλ. ϐ.
ζαφλεγές	Τρυγόνι γὰρ ζωῇ τε βέλος ῥίγιστον ὀπηδεῖ Ζαφλεγές.	Eod.
δαφοινόν	Φορβὴν πρόσθ' ἐπάσαντο πάρος βελέεσσι δαφοινοῖς.	Eod.
πυρόεν	Οὐ γὰρ ἔχει τόξον καὶ πυρόεντα βέλη.	Epigr. lib. 4.
πλωόν	Ἄλλον, ἀεὶ δ' ἐπ' ἐμοὶ πλωὰ χέοντα βέλη.	Epigr. lib. 7.
αἱματόφυρτον	Στέρξεν ἴσην, Ἄρεος δ' αἱματόφυρτα βέλη.	Eod.
γυιοβόρον	Γυιοβόροις βελέεσσιν ἀνέμβατος ὁ πρὶν ἐρώτων.	Eod.
ἄγριον	Κτενεῖ πατάξας στέρναν ἀγρίῳ βέλει.	Lycophr.
πυρπάλαμον	Καὶ πυρπάλαμον βέλος ὀρσικτύπου Διός γε.	Pind. Olym.
πυρίπνουν	Πιστὸς ἀνάσσων τ' ἐν χεροῖν πυρίπνοον βέλος.	Æsch. Prom.
κοῦφον	Φιλολοιδόροιο γλώττης φεύγω βέλεμνα κοῦφα.	Anacr.
στυγερόν	Ἠέρα ἑσσάμενος, στυγερὸν προέηκε βέλεμνον.	Calab. lib. 3.
θεότευκτον	Κεῖτο μέγας παρὰ νηυσὶ θεοτεύκτοισι βελέμνοις	Eod.
πτερόεν	Κεῖνον ὑπερβαλέειν, οὐδὲ πτερόεντι βελέμνῳ.	Idem libr. 4.
αἰνόν	Θῆγον δ' αἰνὰ βέλεμνα, καὶ ἔγχεα, τοῖσι μάχοντο.	Idem lib. 6.
ἀνώιστον	Θυμὸν ἀνωΐστοισιν ὑποδμηθεὶς βελέεσσιν.	Theoc. εἰδ. κ.
ἀλγινόεν	Ἀλγινόεντα βέλεμνα χόλου μεμνημένος αἰνοῦ.	Calab. lib. 9.
χαραδραῖον	Χειρὸν ὀϊστεύσωσι χαραδραίοισι βελέμνοις.	Nonnus.

Nonnus Dionysiacis, κραναόν, γιγάντειον, ὑγροβαφές, ὀμβρηρόν, χαλαζῆεν, πολύφλοισβον, διόβλητον, στερόν, αἰθαλόεν, φλογόεν, αἰθίκομον, ἄκιδνον, βρονταῖον,

	σύμβολον, αὐτοβόητον, ὑπηνήμιον, παιδοφόνον, τοξόβλητον, θηροκτόνον, τοξόφορον, μιαιφόνον, ἰθυκέλευθον, ἠδυμανὲς, δρυόεν, παχνῆεν, ἠερόφοιτον, χαλκοβαρὲς, ἠνεμόεν, ἠλίβατον, ἑκήβολον, θερμὸν, λεοντοφόνον, λόχιον, ἔμπνοον, βελθὺ, σύνδρομον αὔραις, κισσοφόρον, στικτὸν, σκολιὸν, θηροφόνον.	
	Βένετοι *Veneti.*	
ἁλὸς ἀρχιμέδοντες	Αὐτὰρ χιλιόνας Βενέτων ἁλὸς ἀρχιμεδόντων Οὐλαμός.	M. Musur.
	βένθος *profunditas.*	
ἀστήεικτον	Βένθεα δ᾽ ἀστήεικτα, καὶ ὑγρὰ θέμεθλα θαλάσσης	Musæus.
εὐρύ	Αὔελον αἶψα νεώμεθ᾽ ἐπ᾽ εὐρέα βένθεα πόντου.	Calab. lib. 7.
ἁλμυρόν	Ἄλλοτε δ᾽ αὖ χείρεσσι διπλώυεν ἁλμυρὰ βένθη	Idem lib. 14.
ἁλμυρές	Ἠ καὶ ὑπ᾽ εἰλατίνοις ἐρετμοῖς ἁλμυρέα βένθη.	Orph. Arg.
πολύκλυστον	Βένθεά τ᾽ εὐρείης ὡσεὶ πολύκλυστα θαλάσσης.	Dolsc.
πολυρρόθιον	Ἔνθα πολυρροθίων ἐπὶ βενθῶν ἤγαγεν αὐτούς.	Idem.
ἀκίνητον	-- ἔνθα μάλιστα Βένθος ἀκίνητον μηγανεῖ.	Apoll. lib. 4.
φωλεόν	Ἄλλοι δ᾽ ἐν βένθεσσιν ὑπόβροχα μιμνάζουσι Φωλεοῖς.	Opp. ἁλ. α.
τανύσκιον	Πουλὺς ὄχλος βαίνουσι τανύσκια βένθεα δρυμῶν	Idem κυνηγ. δ.
	βέρεθρον *barathrum.*	
βαθύ	Τῆλε μάλ᾽ ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον.	Hom. Il. θ.
δεινόν	Ἔξω δ᾽ ἐξίκει κεφαλὰς δεινοῖο βερέθρου.	Idem Od. μ.
χθόνιον	Ἐκ χθονίων Τιτῆνας ἀναστήσασθαι βερέθρων.	Coluth.
ἠερόεν	Εἴργειν νεκρῶν ὅμιλον ὑπ᾽ ἠερόεντι βερέθρῳ.	Calab. lib. 6.
κοῖλον	Κούρην δέξατο δῖαν ἔσω κοίλοιο βερέθρου.	Idem lib. 13.
ἀμείδητον	Ῥήξασαι κενεῶνας ἀμειδήτοιο βερέθρου.	Orph. Arg.
νερτέριον	Οἵ τ᾽ ἄρα νερτερείων βερέθρων κληῖδας ἔχουσι.	Idem.
εὐρῶεν	Ἠ καὶ γῆς ὑπένερθεν ἐς εὐρώεντα βέρεθρα.	Nazianz.
ἀφεγγὲς, αἰνόν	Καὶ ποταμοὺς πυρόεντας ἀφεγγέα τ᾽ αἰνὰ βέρεθρα.	Idem.

ἰλυόεν	Τίπτε βίῳ κρυόεντι, καὶ ἰλυόεντι βερέθρῳ.	Idem.
ἀπλήρωτον	Γαστέρος ὕθελεν ἔπαυσας ἀπληρώτοιο βερέθρυ.	Idem.
δυόσητον.	Ἀλλ' ὅτε δὴ μετὰ κόλπον δυοσήτοιο βερέθρυ.	Nonnus.
ἀχλυόεν	Ἀλλά μιν ἀχλυόεντος δυοσήτοιμι βερέθρυ.	Idem.
ἀχανές	Ἀλλά μιν ἐξ ἀχανοῦς βερέθρυ, καὶ βένθεος αἴης	Dolsc.
ςυγνόν	Στυγνὸν ταρταρέης εἰς τὸ βέρεθρον ἕδρης.	Idem.
ταρτάρειον	Ταρταρείων μ' ὠδῖνες ἐκυκλώσαντο βερέθρων.	Apolinar.
κρατερόν	Νῶν πλέον ἢ τὸ πάροιθε πύλας κρατεροῖο βερέθρυ.	Epigr. lib. 3.
	Nonn. Dionyſ. καταχθόνιον, γλαφυρὸν, σκόπιον.	
	Βερενίκη *Berenice.*	
περικλειτή	Οἷα δ' ἐν πινυταῖσι περικλειτὰ Βερενίκα.	Theoc. εἰδ. ιζ.
εὐειδής	- σέθεν δ' ἕνεκεν Βερενίκα Εὐειδής, &c.	Eod.
ἀείζηλος	Αἰχμητὰ Πτολεμαῖῳ ἀείζηλος Βερενίκα.	Eod.
	Βερόη *Beroë, vrbs à Saturno condita.*	
	Nonn. Dionyſ. ὅρμος ἐρώτων, ποντοπαγὴς, εὔνησος, εὔχροος, ὑράχις ἰσθμοῦ Στεινὴ μῆκος ἔχοντος, ὅπη διδύμης μέσος ἅλμης, εὐήιωρ.	
	Βήρυλλος *berillus gemma.*	
γλαυκή	Γλαυκῆς βηρύλλοιο καὶ αἱμαλέης ἀμεθύςυ.	Tryphiod.
	Βῆσσα *vallis.*	
κοίλη	Πέτρα ὑποκρέμαται, κοίλη δ' ὑποδέδρομε βῆσσα.	Hom. h. Ap.
αἰδνή, &c.	Οὔρεος ἐν βήσσῃσιν ἀΐδνῃς, παιπαλοέσσης	Heſiod. Th.
βαθυσκόπελος	Εὐθορὴ ἀΐξασα βαθυσκοπέλυ διὰ βήσσης.	Calab. lib. 1.
σκιερή	Βήσσῃ ἐνὶ σκιερῇ, ὁ δ' ἄρ' ὑψόθεν ἔκ τινος ἄκρης.	Idem lib. 7.
ἐρημαίη	Ψυχὰς εἰλίσσεσθαι ἐρημαίας ἀνὰ βήσσας.	Dionyſ.
ὑψίλοφος, &c.	Τίς ποτ' ἀφ' ὑψιλόφοιο δασυξύλυ ἦλθε βήσσης	Cyr. Theod.
εὐθαλής	Ἐν χλοερῷ βόσκων πεδίῳ, κἂν εὐθαλέεσσιν βήσσῃσιν.	Dolſc.

χλοερή, &c.	Ἐν μὲν ἄρα χλοερῇσι πολυκνήμοισί τε βήσσαις.	Opp. κυνηγ. β.
εὐάνεμος	Ὁρμᾶτ' ἐν εὐανέμοις βάσσαις.	Soph. Aiace.
πελεθρόνιος	Πηλίῳ ἐν νιφόεντι πελεθρόνιον κατὰ βῆσσαν.	Nicād. Ther.
	Nonn. Dionys. ἀκανθοφόρος.	

βία vis, violentia.

Ἡρακληείη	Ὅν τέκεν Ἀστυόχεια βίη Ἡρακληείη.	Hom. Bœot.
ἔμπεδος	Ὥς τοι γοῦναθ' ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη.	Idem Iliad. δ.
κρατερά	Εὔχεσθαι ἐμὲ νικῆσαι κρατερῆφι βίηφι.	Idem Iliad. φ.
ὑπέροπλος	Δεινοί τε κρατεροί τε βίην ὑπέροπλον ἔχοντες.	Hesiod. Th.
τλήμων	--ἐπεί σφισι τλήμονα Φοῖβος Θῆκε βίην.	Calab. lib. 8.
ἄσχετος	Βύσσον ἐς ἠερόεντα, βίη δέ τις ἄσχετος αἰέν.	Idem lib. 14.
λεοντεία	Χερσὶ λεοντείαις ἡνιοχεῦντα βίην.	Epigr. lib. 1.
ἀπερσίμαχος	Πειθοῦς ἀνάγκαις, καὶ βίαις ἀπερσιμάχοις.	Cyr. Theod.
ὑπέρθυμος	Μέμνονός τε βίαν ὑπέρθυμον, Ἕκτορά τ'.	Pindar. Isth.
ἀδόνητος	Ὄφρα βίην ἀδόνητον ἀεὶ φορέοντα φυλάσσοι.	Apolinar.
δεκάπληγος	Γογγυσμὸς αὐτῶν ἡ δεκάπληγος βία.	Niceph.
παμφάγος	Φεύγοντα λιμοῦ τὴν βίην τὴν παμφάγον.	Idem.
νικηφόρος	Ὃς βασιλεῦσι βίην νικηφόρον ἐγγυαλίζεις.	Dolsc.
ἐείπνευστος	Ἀτμίς τ' αἰθαλόεσσα, βίη τ' ἐείπνευστος ἀελλῶν	Idem.
ἄρρηκτος	Αὐτὸς ἑοῖσι λαοῖσι βίην ἄρρηκτον ὀπάζοι.	Apolinar.
ἀστεμφής	Ἀλλά μιν ἀστεμφεῖ τε βίῃ, καὶ ἀτειρέσιν ὤμοις.	Apoll. lib. 4.
μεγαλόφρων, πολύδοξος	Παρμενίδου τε βίην μεγαλόφρονα καὶ πολύδοξον.	D. Laer. li. 9.
ζωαρκής	Ἡ δ' ὁδὸς ἀθανάτοιο βίην ζωαρκέα φαίνει.	Apolinar.
φυσίζοος	Εὐφόρβου ξυνέαξε βίην φυσίζοον ἀκτῆς.	Idem.
παλέη	Πλῆσε δὲ παλέῃ σε βίῃ μενεοικέος ἀκτῆς.	Idem.
ἄτρεστος	Ὅσσους μὲν κατ' ὄρεσφι βίην ἄτρεστον ἔχοντας.	Oppian. ἁλ. ε.
λευγαλέη	Λευγαλέην ἀνέχοιτο βίην, καὶ χάσματος αἰχμάς.	Eod.
κητείη	Κητείη τε βίη, καὶ ὁμόστολοι ἔσπασαν ἄνδρες.	Eod.
ναύμαχος	Καὶ τὰν Αἴαντος ναύμαχον εἶπε βίαν.	Epigr. lib. 3.
θεσπεσίη	Πάντα τὰ θεσπεσίη αὐτὸς ἔτευξε βίη.	Dolsc.

βίβλος liber.

μαγικός	Φάρμακα μὴ τεύχου, μαγικῶν βίβλων ἀπέχεσθαι.	Phocyl.

θείη	-- βίβλοισι δ' ἐμαῖς χέρας ἤγισε θείαις.	Nazianz.
θεόπνευστος	Ὧν μέγας ἐν βίβλοισι θεοπνεύστοισιν ἀριθμός.	Idem.
πολυηχής	Ἔρρετέ μοι βίβλοι πολυηχέες, ἔρρετε Μοῦσαι.	Idem.
θέσπις	Ἡσαΐας πολυΐδρις ἀνέγραφε θέσπιδι βίβλῳ.	Nonnus.
θεόγλωσσος	· θεογλώσσοιο δὲ βίβλου Θεῖον ἐπιστώσαιτο λόγον.	Idem.
θεόρρητος	Γράπτα θεορρήτων μαστεύετε θέσφατα βίβλων.	Idem.
σοφή	Θέσφατα μυθήσαιτο σοφῇ κεχαραγμένα βίβλῳ	Idem.
ἔμφρων	Ἔστι θεογλώσσῳ κεχαραγμένον ἔμφρονι βίβλῳ.	Idem.
θεμιστοπόλος	-- θεμιστοπόλοιο δὲ βίβλου Κείνατε πατρώοισι λόγοις. (νεοτευχέας.	Idem.
νεοτευχής	-- ἀνὴρ βροτὸς αἴκε χαράξῃ Βίβλους τοσσατίας.	Idem.
θεόγραφος	Αὐτὰρ φέρουσιν αἱ θεόγραφοι βίβλοι.	Psellus.
πολυέλικτος	Ταῦτα δὲ γραφθήτω βίβλοις ἐνὶ πουλυελίκτοις.	Dolsc.
φερέζωος	Θᾶσσον ἀποσμήχοιντο φερεζώων ἀπὸ βίβλων.	Apolinar.
περιηγής	Οὕνεκεν ὁ τραλέως περιηγέα βίβλον ἅπασαν.	Idem.
πολυΐστωρ	Μουσάων δ' ἐπὶ χεῖρα βαλὼν πολυΐστορι βίβλῳ	Epigr. lib. 1.
ὄργανον μουσῶν	Ὄργανα Μουσάων τὰ πολύστονα βιβλία πωλῶ.	Eod.
ἐγερσίνοος	Ἀγχαύτοις τελετῇσιν ἐγερσινόων ἀπὸ βίβλων.	Proclus. Lic.
ἀξίνοος	Ἡμετέρων βείθουσαν ἀξινόων ἀπὸ βίβλων.	Eod.
ζάθεος	-- ζαθέων δ' ἀπὸ βίβλων Νεύσατ' ἐμοὶ ὁμίχλην.	Eod.

βίος, βίοτος, βιοτή vita.

ἄπονος	Οὐκ ἤθελον γὰρ ζῆν τὸν ἄπονον βίον.	Galeomy.
ἥσυχος	Βίον ἥσυχον φέρωμεν.	Anacreon.
γλυκερός	Γλυκεροῦ δ' οὐκέτι πολλὸς Βιότου χρόνος λέλειπται.	Idem.
σκληρός	Ἀστοργίαν γὰρ ἔχει οὗν ὁ σκληρὸς βίος.	Menand.
ἐφήμερος, &c.	Ἐφήμερον γάρ ἐστι περιπετῆ τὸν βίον.	Idem.
ἄθλιος, &c.	Ὡς ἄθλιον ζῶ καὶ ταλαίπωρον βίον.	Idem.
ἄλυπος	Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενί.	Idem.
θνητός	Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ.	Diphilus.
τυφλός, δύστηνος	Τυφλόν γε καὶ δύστηνον ἀνθρώπου βίον.	Sotades.
ἀπαίδευτος	Ἀνδράσι πονηροῖς οὐδ' ἀπαιδεύτῳ βίῳ.	Alexis.
εὐπρεπής	Ὁ Φωκυλίδης εὐπρεπῆ ζῆσαι βίον.	ἄδηλον.

αὐτάρκης	Αὐτάρκους ἔραμαι βίου Μακρῖνε.	Epigr.lib.1.
πικρός	Ἡ δὲ κακὴ πικρὸν τὸν βίον ἀνδρὶ φέρει.	Eod.
λυπρός	Λυπροῦ ἐκὰς ζῶσιν βιότου σκιοειδεῖ σαρκί.	Nazianz.
ἀργαλέος	Εὐσεβίη τε μέλουσι, καὶ ἀργαλέου βιότοιο.	Idem.
ἀλγινόεις	Ἐκλίνθη βιότοιο πρὸς ἕσπερον ἀλγινόεντος.	Idem.
ἔμπεδος, &c.	-- βίον δ' ἐπὶ ἄλλον ἐπείγειν Ἔμπεδον ἀσυφέλικτον.	Idem.
στρεπτός	Ὅσσα φέρει στρεπτοῖο βίου παιδεύματα θνητοῖς.	Idem.
ἄπιστος	Λαῖτμα μέγ' ἐκπερέωμεν ἀπιστοτάτου βιότοιο.	Idem.
πολυχαδής	Ῥίζαν ἐμὴν καὶ σπέρμα πολυχαδέος βιότοιο.	Idem.
μελίφρων	Ῥίζα τε καὶ βιότοιο μελίφρονος ἐσθλὸν ἔρεισμα.	Idem.
ῥέων	--ὄσσον βιότοιο ῥέοντος Ἑστηὼς μακάρεσσι.	Idem.
λιπόχειστος	Οὐδὲ κεν ὡς λιπόχειστον ἐγὼ βίον αἰσχρὸν ἑλοίμην	Idem.
ἀγήραος	Οὐδ' εἴ μοι βίον ἄλλον ἀγήραον ἀντὶ παρόντος.	Idem.
νηπενθής, &c.	-- βίον ἕλκει Νηπενθῆ, νήπονον, ἀκηδέα.	Idem.
δυσθανής	Μή τι βάλῃς ἐπ' ἐμῷ δυσθανεῖ βιότῳ.	Idem.
μογερὸς, &c.	Οὐ μογεροῦ βιότοιο, θεουδέος, οὐ μαλακοῖο.	Idem.
λευγαλέος	Πάντα τὰ δ' ἐστὶ βίου παίγνια λευγαλέου.	Idem.
πολύτλητος	Πολλαὶ μὲν βιότοιο πολυτλήτοιο κέλευθοι.	Idem.
πολυπλανής	Οὐδέ τι πῃ ἔκβασίς ἐστι πολυπλανέος βιότοιο.	Idem,
ἀκανθοφόρος	Τίπτε με τῷδε βίῳ δῶκας ἀκανθοφόρῳ;	Idem.
κρυόεις	Τίπτε βίῳ κρυόεντι καὶ ἰλυόεντι βερέθρῳ;	dem.
αἰνίπαλος	Τίπτε με τῷδε βίῳ δῶκας ὑπ' αἰνιπάλῳ;	Idem.
στονόεις	-- πολέμου δ' ἄπο καὶ στονόεντος	Idem.
	Χαίρουσιν βιότου.	Idem.
πτερόεις	Καὶ καθαρὰς θυσίας, καὶ πτερόεντα βίον. (νω.	Idem.
αἰπήεις	Καὶ βίον αἰπήεντα, πρὸς ὃν πάπερ ὄμμα τιταί-	Idem.
κακοεργός	-- ἑὸν βίον ἐν μεσσάτιοισι Γαίζοντες κακοεργόν.	Idem.
σκιόεις	Αὐθέντος σκιόεντος ἐν ἤματι τοῦδε βίοιο.	Idem.
δολερός	Οὐδ' ὅσα τοῦ δολεροῦ ἄλγεα τοῦδε βίου.	Idem.
θηλυμανής	Θήρεσιν ἐστὶ νόος θηλυμανής τε βίος.	Idem.
τελεσάνοικτος	Ἀλλ' ὁ τελεσάνοικτος ἄθλιος βίος.	Cyr.Theod.
δυσδαίμων	Τί σοι κατηγόρημα; δυσδαίμων βίος.	Idē.(motius.
χρύσεος	Δεξαμένων αὐτῶν χρύσεος ἔσκε βίος.	Baptista Ca-
φυξίπολις	Φυξίπολιν πάτρης τελέσῃ βίον, ἀλγινόεντα.	Opp.ἁλιευτ.α

ἱμερόεις, &c.

ἱμερόεις &c.	Καὶ βίον ἱμερόεντα βροτοῖς πολύολβον ἀνεῖσα.	Orph. hym.
θυμήρης	Πρόφρων δ' ἀντ' ᾠδῆς βίοτον θυμήρε' ὄπαζε.	Hom. hym.
στυγερός	Ὤ μοι ἀταλαίπωρος, ὤ μοι στυγεροῦ βιότοιο.	Calab. lib. 10
πολυτειρής	Τῷ νύ μ' ἀκηχεμένην πολυτειρέος ἐκ βιότοιο.	Idem lib. 13.
ἡδύς	Νοσφίσατ' ἐκ θυμοῖο, καὶ ἡδέος ἐκ βιότοιο.	Idem lib. 10.
δορύκτητος	Φέρβονται δ' ἄγρῃσι δορυκτήτου βιότοιο.	Dionyſ.
φιλοχρύσιος	Ὅθεν τὸν φιλοχρύσιον ἠρασάμην βίον.	Tzetzes.
οἰκουροκαθέδριος	Κἂν οἰκουροκαθέδριον εἱλόμεθα τὸν βίον.	Idem.
εὔολβος	Πέμπων εὐόλβου βιότου τέλος ἐσθλὸν ἐπ' ἔργοις.	Orph. hym.
τελεσφόρος	Ἀθάνατοι βιότου τε τελεσφόρου ἀγλαΐην τε.	Apoll. lib. 4.
εὔκοσμος	Καὶ τάδε δρῶν, εὔκοσμον ἔχω βίον.	Epigr. lib. 1.
παίγνιον τύχης	Παίγνιόν ἐστι τύχης μερόπων βίος, οἰκτρὸς, ἀλήτης.	Eod.
μουσοχαρής	Τέρπεται ἡμετέρῳ μουσοχαρεῖ βιότῳ.	Eod.
θεοπρεπής	Κάλλιπες, ὃς βιοτὴν θεοπρεπέα σεῖο λιγαίνων.	Eod.
μερμηροκτόνος	Εὖ διαθεὶς, βιότου λῆγε μερμηροκτόνου.	Epigr. lib. 2.
πολυσέναϰτος	Ὁ τὸν πολυσέναϰτον ἀνθρώπων βίον.	Epigr. lib. 3.
ὀϊζυρός	Εὗρον ὀϊζυροῦ τέρμα μόλις βιότου.	Eod.
ἄβιος	Τοιοῦτος πλανίων ἄβιος βίος.	Eod.
ἀπάλαμος	Ἔχει δ' ἀπάλαμον βίον τοῦτον.	Pind. Olym.
ἄφθιτος	Βίοτον ἄφθιτον Ἰνοῖ τετάχθαι.	Pind. Olym.
ἐμπεδοσθενής	Γὰρ σφιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις.	Id. Nem.
ἀσπάσιος	Ὡς δ' ὅταν ἀσπάσιος βίοτος παίδεσσι φανείη.	Hom. Od. ε.
ἄφροντις	Τοῖς δ' ἀγάμοις ἄφροντις ἀεὶ βίος.	Epigr. lib. 1.
ἀβλαβής	Ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν ἀβλαβεῖ βίῳ.	Soph. Elect.
εὐαίων	Τὸν λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν.	Idem Trach.
ἀλύπητος	Τὸ λοιπὸν ἤδη ζῆν ἀλυπήτῳ βίῳ.	Ibid.
ἀεὶ θάλλων	Καὶ βίον εὐθύμοισιν ἀεὶ θάλλοντα λογισμοῖς.	Orph. hym.
παμποίκιλος	Ἐν σοὶ γὰρ βίοτος θνητῶν παμποίκιλός ἐστι.	Orph. hym.
ἐργάσιμος	Πάντα γὰρ ἐργάσιμον βίοτον θνητοῖσι πορίζεις.	Idem Orph.
βαρυσμάραγος	Ὄφρ' αἰεὶ κατὰ λαῖτμα βαρυσμαράγου βιότοιο.	Procl. Lic.

Nonnus Dionyſ. ἀσταθὴς, ἀέναος, παλίννοστος, πολύφλοισβος, λιπόπτολις, πολυχρόνιος.

	βιός arcus, sagitta.	
κρατερός	Οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο Νευρὴν ἐντανύσαι.	Hom. Od. ω.
γναμπτός	Νωμῶν ἐν χείρεσσι μετὰ γναμπτοῖο βιοῖο.	Calab. lib. 10
	Nonnus Dionys. αἰολόμορφος.	
	Βιργίλιος Virgilius.	
λιγύθροος κύκνος &c.	Καὶ φίλος Αὐσονίοισι λιγύθροος ἔπρεπε κύκνος, Πνείων εὐεπίης Βιργίλλιος.	Christod.
ἁγνός	Πιερίδες, τί μοι ἁγνὸν ἐφωπλίσσασθε Μάρωνα;	Epigr. lib. 4.
	Βίων Bion.	
ἱμερόεις	Καὶ ποταμοὶ κλαίοιτε τὸν ἱμερόεντα Βίωνα.	Theoc. εἰδ. ιθ.
Δώριος Ορφεὺς	Βιστονίαις νύμφαισιν ἀπώλετο Δώριος Ορφεὺς	Eod.
ἀγέλαισιν ἐράσμιος	Κεῖνος ὁ ταῖς ἀγέλαισιν ἐράσμιος, οὐκέτι μέλπει.	Eod.
	βλάβη noxa, damnum.	
περιστιπήμων	Καὶ μηδὸς αὐτοῦ περιστιπήμονι βλάβη.	Nazianz.
πυρίφλεκτος	Δυνὰς ἀπλὰς, καὶ πυριφλέκτους βλάβας.	Lycophron.
μέρμερος	Τεύξει ποτ' ἐγχώροισι, μέρμερον βλάβην.	Idem.
στυγνή	Στυγνὴν Ἀχαιῶν εἰς Ἰάονας βλάβην.	Idem.
ποδώκης	-- συντέμνουσι γὰρ Θεῶν ποδώκεις τοὺς κακόφρονας βλάβαι.	Soph. Antig
	βλαστὸς, βλάστημα germen.	
χλοόκαρπος	Ἱερὸν ἐκφαίνουσα δέμας βλαστοῖς χλοοκάρποις.	Orph. hym.
αὐτόματον	Αὐτόματον βλάστημα παλιγγενέος τοκετοῖο.	Nonnus.
	Idem Dionys. διϊπετὲς, αἰθέριον.	
	βλασφημία blasphemia.	
κακοῦργος	Οὐδεὶς κακούργοις λοιδορεῖ βλασφημίαις.	Lucian.
	βλέφαρον palpebra.	
κυανέον	Τῆς καὶ ἀπὸ κρῆθεν, βλεφάρων τ' ἀπὸ κυανεόντων.	Hesiod. Scu.

γλαυκόν

γλαυκόν	Δέρκετο μετ' γλαυκῶν βλεφάρων σέλας.	Coluth.
ἀραιόν	Βαιὸν ὑποδείξαντες ἀραιοῖσι βλεφάροισι.	Calab. lib. 5.
ἡδὺ γόων	Δάκρυ κατ' βλεφάρων ἠλείβετο ἡδὺ γοόντων.	Idem lib. 14.
εὔκυκλος	Ὡς γλήνην βλεφάροισιν ὑπ' εὐκύκλοισι φυλάσσων.	Nazianz.
ἀφώτιστον	Καί τις ἀφωτίστων βλεφάρων ἐκέδασσεν ὀμίχλην.	Nonnus.
ἀκοίμητον	Ἀλλ' ἵνα μιν βλεφάροισιν ἀκοιμήτοισι φυλάξῃς.	Idem.
ὑπερφίαλον	Οὐδὲ θεὸν βλεφάροισιν ὑπερφιάλοισι δοκεύει.	Apolinar.
	Nonn. Dionys. βοόγληνον, τολμηρόν.	

βοεία bouina, pellis.

μεθύουσα ἀλοιφῇ	-- βοείην	Hom. Il. ρ.
	Λαοῖσιν δώῃ τανύειν μεθύουσαν ἀλοιφῇ.	
στερεῇ	-- βοέης εἰλημμένω ὤμοις Αὔῃσι στερεῇσι.	Eod.
ἀδέψητος	Κὰμ μὲν ἀδέψητον βοέην στόρεσ', αὐτὰρ ὕπερθεν.	Idem Od υ.
εὐσθενής	Ἔγχεα καὶ θώρηκας, εὐσθενέας τε βοείας.	Calab. lib. 1.
ἀκάματος	Τεχνήεις ἤσκητο, καὶ ἀκαματοιο βοείης.	Idem lib. 6.
	Nonn. Dionys. βαρυσμάραγος, ἀδούπητος, φιλοσμάραγος, τελεσίγονος, εὔτυκτος, βαρύβρομος, εὔκυκλος, ἀμφιπλήξ, ἑλίγδουπος, διδυμόκτυπος, ἀρραγής, πυρίβλητος, αἰολόνωτος, ἀραχνιόωσα.	

βοεύς lorum, rudens.

εὔστρεπτος	Ἕλκον δ' ἱστία λευκὰ ἐϋστρέπτοισι βοεῦσι.	Hom. Od. β.

βοή clamor.

ἄσβεστος	Ῥώοντ', ἄσβεστος δὲ βοὴ γένετ' ἠῶθι πρό.	Hom. Il. λ.
θεσπεσίη	-- βοὴ δ' ἐπὶ πόντον ὀρώρει Θεσπεσίη.	Odyss. ω.
ἀλάλητος	Νήχετο δ' αἵματι γαῖα, βοὴ δ' ἀλάλητος ὀρώρει.	Tryphiod.
πολύδακρυς	-- ἐν δ' ἄρα τοῖσι βοὴ πολύδακρυς ὀρώρει.	Calab. lib. 13
περασία	Χάλαζα καὶ πῦρ, καὶ βοὴ περασία.	Cyr. Theod.
εὔφημος	Δαβίδος ἠλάλαξεν εὐφήμῳ βοῇ.	Apolinar.

αἰθεροδρόμος	Δηλῶν κλεϊσμὸν αἰθεροδρόμῳ βοῇ.	Nazianz.
λισίπονος	Εἰσόκε λισιπόνοιο βοῆς ἔντοσθεν ἀκούσῃ.	Opp. ἁλ. δ.
μηλίβρομος	Σεῖο δὲ βοὴν αὐλοῖο μηλίβρομον, οὐκ ἔπι νύμφαι.	Epigr. lib. 3.
ἄσπετος &c.	Ἀλλ' ἄσπετον χέασα παμμιγῆ βοήν.	Lycoph.
ὁμοκλήτειρα	Ἵπποις, ὁμοκλήτειραν ἱεῖσαι βοήν.	Idem.
ἡδύγλωσσος	Ἀμφοτέρωθεν γ' ἁδύγλωσσος βοὰ κάρυκος ἐσλοῦ.	Pind. Olym.
πάραυλος	Τίνος βοὴ πάραυλος ἐξέβη νάπους.	Soph. Aiace.
κακόφατις	Πρὸς φθόγγου σοι νόστου, τὰν κακόφατιν βοάν.	Æsch. Pers.
κακόγλωσσος	Τί δ' ὦ τάλαινα σῆς κακογλώσσου βοῆς.	Eurip. Heca.
	Nonn. Dionys. ἑτερόθροος, ἀσίγητος.	

βόθρος fouea.

πυγούσιος	Βόθρον ὀρύξαι ὅσσον τε πυγούσιον ἔνθα καὶ ἔνθα.	Hom. Od. κ.
οὐδαῖος	Πολλὰ δὲ κάγκανα κᾶλα κατ' οὐδαίῳ ἐνὶ βόθρῳ.	Id. h. Merc.
τρίστοιχος	Χώρῳ ἐπὶ πλακόεντι βόθρον τρίστοιχον ὄρυξα.	Orph.
περιηγής	-- ἐνὶ φάρεσι κυανέοισι	Apoll. lib. 3.
	Βόθρον ὀρύξασθαι περιηγέα.	
πηχυῖος	Πηχυῖον δ' ἄρ' ἔπειτα πέδῳ ἐνὶ βόθρον ὀρύξας.	Eod.
κακοεργής	Ἀλλ' εἰς ὃν περ ἔτευξε πέσοι κακοεργέα βόθρον.	Apolinar.
φθισήνωρ	Νερθεελόν μ' ἀπέθεντο μετὰ φθισήνορα βόθρον.	Idem.
δυσάλυκτος	Βόθρος ἕως δυσάλυκτος ἀπαθάλλον τι φανείη.	Idem.
εὔδρομος	Ἔνθ' ἤτοι βόθρον μὲν εὔδρομον ἀμφὶς ὄρυξαν	Opp. κυνηγ. δ.
εὐρύς	Εὐρὺν καὶ περιμήκετον.	
	Nonn. Dionys. γλαφυρὸς, εὐκλειδής.	

Βοιωτοί Bœoti.

χαλκοχίτωνες	Τὸν μὲν Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων.	Hom. Il. ο.
πλήξιπποι	Βοιωτοὶ πλήξιπποι ὑπὸ σακέων πνείοντες.	Hesiod. Scu.

βολή ictus.

κρατερή	Ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων.	Hesiod. Th.
μανιπόλος	Τοίη μανιπόλοιο βολῆς ὑπὸ νύγμασι κούρη.	Tryphiod.
εὔστοχος	Ἔχοντα καὶ τὸ πρῶτον εὐστόχῳ βολῇ.	Lycophron.
κεραύνιος	Ὁ μὲν γὰρ χαλκὸς, καὶ κεραύνιοι βολαί.	Idem.

ὐράνιος	Οὐρανίαις σελάγιζε βολαῖς γαιήοχος αἴγλη.	Nonnus.
δροσοεργὲ	Ἀκροφανὴς δροσερῇσι βολαῖς πορφύρεεν ἠώς.	Idem.
	βόμβος bombus.	
πολυηχής	Μαινομένων ῥοθίων πολυηχέα βόμβον ἀκούσας.	Musæus.
πολυδινής	Φωνῆς ἠερίης θεοδινέα βόμβον ἀκούσας.	Nonnus.
	Idem Dionys. μυκήτωρ, ὀλεσιλύωρ, ἀνεμώδης.	
	Βορέας Boreas.	
αἰθρηγενής	Ψυχὴ ὑπαὶ ῥιπῆς αἰθρηγενέος Βορέαο.	Hom. Il. ο.
ὀπωρινός	Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης νεοαρδέ' ἀλωὴν.	Id. Iliad. φ.
κραιπνός	Ὦρσε δ' ἐπὶ κραιπνὸν Βορέην, πρὸ δὲ κύματ' ἔαξεν.	Id. Od. ε.
Θρηΐκιος &c.	Πυκνὰ Θρηϊκίου Βορέου νέφεα κλονέοντος.	Hesiod. lib. 2
λαιψηροκέλευθ.	Ἀργέστην Ζέφυρον, Βορέην λαιψηροκέλευθον.	Id. Theog.
κρυερός	Εὖτ' ἐλάτη κλασθεῖσα βίῃ κρυεροῦ Βορέαο.	Calab. lib. 1.
ἀλεγεινός	-- καλεσσάμενος δ' ἀλεγεινὸν	Idem lib. 3.
	Καρπαλίμως Βορέην.	
κρατερός	Κάββαλεν ἠΰτε φύλλα μένος κρατεροῦ Βορέαο.	Idem lib. 5.
κελάδων	Τοῖς Βορέῃ κελάδοντι τέκε βλοσυρῶπις Ἐριννύς	Id. lib. 8.
Στρυμόνιος	Τείχεα μὲν ἐλάες ὑπαὶ ῥιπῆς κε πέσοιεν Στρυμονίου Βορέαο.	Callimach.
Ἰσμαρικός	Ἰσμαρικοῦ πνοιῇσιν ἐλαυνόμεναι Βορέαο.	Dionys.
ἀρκτῷος	Μῆκος ἐπ' ἀρκτῴοιο τιταινόμεναι Βορέαο.	Idem.
καθαρός	Τὸν πύματον καθαροῖο παρερχόμενος Βορέαο.	Aratus.
ζαμενής	Αὐτὰρ ἐπεὶ ζαμενὴς Βορέης στροφάδεσσιν ἀέλλαις.	Orph. Arg.
ἠχήεις	Κίνυται ἠχήεντος ὑπὸ πνοιῇ Βορέαο.	Apoll. lib. 1.
δυσαής	Κευθομένην Βορέαο δυσαέος αὐλίζεσθαι.	Opp. ἁλ. ε.
αἰθρήεις	Ἐς νότον αἰθρήεντος ἐγειρομένου Βορέαο.	Idem κυνηγ. δ.
ψυχρός	Πνοιαῖς ὄπισθεν Βορέα ψυχροῦ.	Pind. Olym.
βασιλεὺς ἀνέμων	Ἔπνευσεν βασιλεὺς ἀνέμων Ζήταν Κάλαΐν τε, πατὴρ Βορέας.	Idem Pyth.
δονῶν ἠέρα &c	Χειμερίοις αὔραισι δονῶν βαθὺν ἠέρα κόσμου.	Orph. hym.

κρυμοπαγὴς Βορέα χιονώδεος ἔλθ' ἀπὸ Θρῄκης.
λῦε τὲ πανύεφελον στάσιν ἠέρος ὑγροκελεύθου,
ῥιπίζων ἰκμάσιν νοτεραῖς ὀμβροτρυφὲς ὕδωρ·
αἴθρια πάντα τιθεὶς θαλερόμματον αἰθέρα τεύχων.

Nonn. Dyonys. νιφόβλητος, Θρῆξ, δυνησσόος, δυσίμερος, κλυτός.

Βόσπορος *Bosphorus*.

Θρηΐκιος	Τῇ δ' ἐπὶ Θρηϊκίου στόμα Βοσπόρου, ὃν πάρος Ινώ.	Dionys.
Κιμμέριος	Ορθὸν Κιμμερίου παρὰ Βοσπόρου, ᾧ παρὰ πολλοί.	Idem.
δινήεις	Πνοιῇ δινήεντ' ἀνὰ Βόσπορον ἰθύνοντο.	Apoll. lib. 2.
ἰχθυόεις	Βόσπορον ἰχθυόεντα γεφυρώσας ἀνέθηκε.	Herod. lib. 4

Nonn. Dionys. ἀστήρικτος.

βοτάνη *herba*.

χλωρή	Χλωρᾶς ἐκ βοτάνας. ὁ δὲ τὴν Γαλάτειαν ἀείδων.	Theoc. εἰδ. ια
εἰαρινή	Κεῖσο σὺ εἰαρινᾶς ἀνθοκόμου βοτάνας.	Epigr. lib. 3.
χλοερά	Θῖνα δ' ἀνὰ πρασόεσσαν ὑπὸ χλοεραῖς βοτάνῃσι.	Opp. ἁλ. α.

Nonn. Dionys. ζείδωρος, ζωαρκής.

βοτήρ *pastor*, infra βούτης.

ὀρεσσινόμος	Η δ' ὅσα που μεμέληται ὀρεσσινόμοισι βοτῆρσιν.	Apolinar.
ἱππονόμος	Συγκατακτὰς κελαινοῖς ξίφεσι βοτά, καὶ βοτῆρας ἱππονόμους.	Soph. Aiace.

Nonn. Dionys. νοοσφαλής.

βότρυς *racemus*.

μέλας	Καλήν, χρυσείην, μέλανες δὲ οἱ βότρυες ἦσαν.	Hom. Il. σ.
μελανοχρώς	Τὸν μελανοχρῶτα βότρυν Ταλάροις φέροντες ἄνδρες (βότρυας.	Anacr.
ὀμφακοράξ, ἀπέπαντος	Ἤ τοὺς ὀμφακορῆγας ἐγείναο τοὺς ἀπεπάντους	Epigr. lib. 1.
πίων	Πιοτέρην ὅτε βότρυν ἐσίνατο κνικὰς ἀλώπηξ.	Nicand. Al.

οἰνωπός

οἰνωπός	Οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.	Epigr. lib. 3.
ἀγλαός	Ἀγλαὸν ὡραίων βότρυν ἀπ' ἀκρεμόνων.	Eod.
γλυκερός	Αὐτὰρ ἐγὼ, γλυκεροῖς βότρυσιν ἡμεείδος.	Epigr. lib. 4.
πορφύρων	Εἰ δέ σε πορφύροντος ἔχει πόθος ὦ παροδῖτα Βότρυος.	Eod.
πορφύρεος &c.	Πορφύρεόν τε βότρυν μεθυπίδακα, πυκνόρωγον	Epigr. lib. 6.
ἥμερος	Βότρυν ἀπ' οἰνάνθης ἥμερον, ἀλλὰ βάτον.	Epigr. lib. 3.
γελάων	Ἀλλ' ἀμπέλοις χλοώσας, Καὶ βότρυας γελῶντας	Epigr. lib. 2.
πολύκαρπος	Ἃ καθαμέριον στάζεις τὸν πολύκαρπον οἰνάνθας ἱεῖσα βότρυν.	Eur. Phœniss.

Nonn. Dionys. ἀλήμων, θυώδης, ἀπενθὴς, λαθικηδὴς, ἀμπελόεις, οἰνοτόκος, οἶνοψ, θερειγενὲς, πολυδαίδαλον ἄνθος ὀπώρης, ἀργύρεος, ἐγκύμων ἐρευθαλίης ἐέρσης, εἰλικόεις, οἰνόχυτος, οἰνόποτος, μελιηδὴς, ἀκερσικόμης, εὐχαίτης, ὀρχηστὴρ, θρασὺς, ἐρευθήεις, ἀμεμφὴς, ἀγλαόκαρπος, πηγήων ἀνδρομένης ἀνίης.

βουλή *consilium.*

πυκινή	Τοὺς ὅγε συγκαλέσας, πυκινὴν ἠρτύνετο βουλήν.	Hom. Iliad. β.
ἀστεμφής	Ἀτρείδη, σὺ δὲ θ' ὡς πρὶν ἔχων ἀστεμφέα βουλήν.	Idem ibid.
κερδαλέη	Χρεὼ βουλῆς ἐμὲ, καὶ σὲ διοτρεφὲς ὦ Μενέλαε Κερδαλέης	Iliad. κ.
νηκερδής	-- τίς τοί νυ θεῶν νηκερδέα βουλὴν Ἐν στήθεσσιν ἔθηκε;	Iliad. ρ.
ἐπίφρων	Ἀλλ' ἕνα θυμὸν ἔχοντε νόῳ καὶ ἐπίφρονι βουλῇ.	Hom. Od. γ.
ὀλοή	Καδμείων ἤνασσε θεῶν ὀλοὰς διὰ βουλάς.	Odyss. λ.
πυκινόφρων	Ἄλλον γ' εἴσεαι Ζηνὸς πυκινόφρονα βουλήν.	Hom. h. M.
στυγερή	Γείτονα πόντον ἔχω στυγεραῖς βουλῇσι τοκήων.	Musæus.
πολύφροντις	Πολυφρόντιδές τε βουλαὶ Ἐς ἁλικτύποις ἀήτας.	Anacr.
δολίη	Ἀλλὰ καὶ ὁπλοτέρην δολίην ἐφράσσατο βουλήν.	Coluth.
δαιμονίη	Αὐτὰρ ὁ δαιμονίῃσι νόον βουλῇσιν ἑλίσσων.	Tryphiod.
τρηχεῖα &c.	Τοῖσι δὲ τρηχεῖα καὶ ἄκριτος ἔμπεσε βουλή.	Idem.
κρατερόφρων	Ἡμὶν ἦεν φέρουσα Διὸς κρατερόφρονι βουλῇ.	Calab. lib. 1.
ἐρικυδής	Προφρονέως ὁ δ' ἄρ' ὦκα θεῶν ἐρικυδέϊ βουλῇ.	Idem lib. 7.

ταχυπειθής	Ναθαναὴλ δ' ὀλόλυξεν ἔχων ταχυπειθέα βουλήν.	Nonnus.
θεοτερπής	Πᾶσαν ἀναπλήσειε τεὴν θεοτερπέα βουλήν.	Apolinar.
κρυπταδίη	Βουλαῖς κρυπταδίῃσιν ἀναίτιον ἐξεναρίζων.	Idem.
ὑψαύχην	Ἀρχὴ Ἰουδαίων ὑψαύχενος ὄμματα βουλῆς.	Nonnus.
προτόθρονος	Εἰς ἓν ἀγειρομένων προτόθρονος ἕζετο βουλή.	Idem.
σκολιόφρων	-- καὶ ὅτε σκολιόφρονι βουλῇ Αἱμύλα κωτίλλων.	Idem.
δυσπειθής	Ἀμφοτέροις οὐκ ἔστι μιῇ δυσπειθέϊ βουλῇ.	Idem.
θέσπις	Χῶρον ἐμυθήσασθε μεμηλότα θέσπιδι βουλῇ.	Idem.
πειθήμων	-- ἄμφω γὰρ μιῇ πειθήμονι βουλῇ Χριστῷ ἐφωμάρτησαν.	Idem.
βραδύποις	Ἡ βραδύποις βουλή, μέγ' ἄμεινον &c.	Epigr.lib.1.
σώφρων	Ἧς τις δ' ὄφελός ἐστι γάμῳ καὶ σώφρονι βουλῇ.	Nazianz.
πινυτόφρων	Καί τι χρεὼν κόψαιμι λαθὼν πινυτόφρονι βουλῇ.	Idem.
μεγαλήτωρ	Αἰδέομαι καὶ τήνδε πάτερ μεγαλήτορα βουλήν.	Idem.
σοφή	Οὐρανὸν ἀστερόεντα σοφῇ τεχνήσατο βουλῇ.	Apolinar.
συμφράδμων	Ἡμέας ἐφράσαθ' ἧς βασιλεὺς συμφράδμονι βουλῇ.	Idem.
πολυμήχανος	Βουλὴν κερδαλέην πολυμήχανον.	Opp. ἁλ. β.
ὠκυνόος	Βουλαῖς ὠκυνόοις στιβίης ἐρικυδέος ἔργα.	Id. κυνηγ. α.
πότνια	Αὐτὸς ἄναξ, καὶ δῆμος ἅπας, καὶ πότνια βουλή.	Epigr. lib. 5.
ἄδικος	Διέκριτα βουλομένοις τὸ πλέον βουλαῖς ἀδίκοισι.	Orp. h. νόμου.
κακή	Ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.	Hesiod.
	Nonn. Dionys. πολύτροπος, τεχνήμων, διχθαδίη, ἀλεξήτειρα ἐρώτων, ἐχέφρων, εὔφρων, ἀλεξίκακος.	

βουπλὴξ *stimulus boum, scutica.*

ἀμφίτυπος	Ἀμφίτυπον βουπλῆγα, τόν οἱ ἔρις ὤπασε δεινή.	Calab.lib. 1.
στιβαρός	Κόψας αὐχενίοις στιβαρῷ βουπλῆγι τένοντας.	Eod.
βαθύστομος	Ἄλλοτε μὲν βουπλῆγι βαθυστόμῳ.	Eod.
ἀμφίτομος	-- κατ' ἀλγινόεντα δαΐξε Ἀμφιτόμῳ βουπλῆγι.	Idem lib. 11.
θοός	Οὔτε θοοὶ βουπλῆγες, ἐπεὶ μένος Αἰνείαο.	Eod.
εὔχαλκος	Οἱ δὲ θοῶς βουπλῆγος ὑπ' εὐχάλκοιο τυπῇσιν.	Opp. ἁλ. γ.
βαρύστομος	Καί που τις βουπλῆγα βαρύστομον.	Idem ἁλ. δ. Nonn.

	Nonnus Dionyſ. ἀμφίτομος, θηημάχος, θηγαλέος.	
	Βουπράσιον *Bupraſium, locus in Elide.*	
πολύβοτρυ	Αἱ δ' ἐπὶ Βουπρασίου πολυβότρυος.	Theoc. εἰδ. λβ
πολύπυρον	Ὄφρ' ἐπὶ Βουπρασίου πολυπύρου βήσαμεν ἵπποις.	Hom. Il. λ.
	βοῦς *bos.*	
πίων, πενταέτηρος	-- βοῦν ἱέρευσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων Πίονα πενταέτηρον.	Hom. Il. β.
εἰλίπους	Βουσὶν ἐπ' εἰλιπόδεσσι, καὶ ἀργεννῇς ὀΐεσσι.	Iliad. ζ.
ὀρθοκραίρης	Ἔσθοντες κρέα πολλὰ βοῶν ὀρθοκραιράων.	Iliad. θ.
ἕλιξ	Πολλὰ δ' ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς.	Iliad. ι.
ἄγραυλος	Εὗδ', ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο.	Iliad. κ.
εὐρυμέτωπος	Σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν εὐρυμέτωπον Ἀδμήτην.	Eod.
ἀγελαίη	Αὐτὰρ Ἀθηναίῃ γλαυκώπιδι βοῦν ἀγελαίην.	Iliad. λ.
οἶνοψ	Ἀλλ' ὥστ' ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον.	Iliad. ν.
ἀργός	Πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ.	Iliad. ψ.
ἐρίμυκος	Τῇ ῥα βοῶν κέχυτ' ὄνθος ἀποκταμένων ἐριμύκων.	Eod.
αἴθων, μέγας	Αἴθωνες μεγάλοι. Et mox: Ἥλικες ἰσοφόροι.	Hom. Od. σ.
ἀροτήρ	Οἶκον μὲν πρώτιστα γυναῖκά τε, βοῦν τ' ἀροτῆρα.	Heſiod. li. 2.
ὑλοφάγος	Καὶ βοὸς ὑλοφάγοιο κρέας οὔπω τετυκήης.	Eod.
κρατερός	Δοιοὶ ὁμηλικίῃ κρατεροὶ βόες, οὐδ' ἀπέληγον.	Calab. lib. 11.
Ἰναχιώνη	Κεκλιμένοι ναίουσι βοὸς πόρον Ἰναχιώνης.	Callimach.
τείβων ἄροτρον	Αὔλακας εὐρυνόντι βόες τείβοντες ἄροτρον.	Theoc. εἰδ. ιγ.
κεραός	Μόσχοι σὺν κεραοῖσιν ἐμυκήσαντο βόεσσι.	Idem εἰδ. ιε.
ποντοπόρος	Φῶτες ἀολλήδην, θηεῦντο δὲ ποντοπόρον βοῦν.	Id. εἰδ. κ.
εὐκέραος	Ἐκ βοὸς εὐκεράοιο πάλιν μετάμειβε γυναῖκα.	Eod.
εὐρύκερως	Ὣς φάτο, τὴν δ' ὧδε προσεφώνεεν εὐρύκερως βοῦς.	Eod.

ζωοτόκος &c.	Ζωοτόκοι τ' ἦσαν περιώσια θηλυτόκοι τε.	Id. εἰδ. λβ.
ἑλικώψ	Παρδάλιας τε σύας τε βοῶν τ' ἀγέλην ἑλικώπων.	Nazianz.
ζατρεφής	Εἰροπόκοις τ' ὄϊας ζατρεφέας τε βόας.	Dolſc.
λιπαρός	Ταῦροι, καὶ λιπαροὶ ζατρεφέες τε βόες.	Idem.
γεωμόρος	Νηλειῶς βοὸς ἀμφὶ γεωμόρου αὐτόωντα.	Apoll. lib. 1.
φορβάς	Φορβάδος ἀμφὶ βοὸς κεκοτηότε δηριάασθον.	Idem lib. 2.
ἐργατίνης	Ἐργατῖναι μογέουσι βόες, περὶ δ' ἄσπετος ἱδρώς.	Eod.
κερασφόρος	Σὺ γοῦν βόας τε μὴ φύσει κερασφόρους λέξεις.	A. Politian.
ἀγρονόμος	Ἀγρονόμους τε βόας, καὶ εἰροπόκων γένος οἰῶν.	Apolinar.
κεραὴκής	Ἀμφὶ δὲ χιμάροισι βόας κεραηκέας οἴσω.	Idem.
ὠμοφάγος	Ἔστι δέ τις πηλοῖσιν ἐφέστιος ὠμοφάγος βοῦς.	Opp. ἁλ. β.
καλλίκερως	-- γαίῃ δὲ βοὸς χροῒ καλλίκερως βοῦς.	Id. κυνηγ. γ.
ταναίμυκος	Δέρμα ταναιμύκου λευρὸν ἔθηκε βοός.	Epigr. lib. 6.
στεφηφόρος	Στεφηφόρον βοῶν δηνὸς ἀρταμος δράκων.	Lycophr.

Nonn. Dionyſ. ὑγροπόρος, εἰνάλιος, ἀπλαγκτος, χαμευνάς, ἱμερόεις, ὑλονόμος.

βούτης *bubulcus, paſtor* : ſupra βοτήρ.

Nonn. Dionyſ. ὀρεσίτροφος, λιγύθροος, ἀγρονόμος, δενδρόκομος, ἀγελήκομος.

βοώτης *Bootes.*

ὀψὲ δύων	Πληϊάδας τ' ἐσορῶντι, καὶ ὀψὲ δύοντα Βοώτην.	Hom. Od. ε.
πολύσκεπτος	Παρθένος ἐγγὺς ἐοῦσα πολυσκέπτοιο Βοώτου.	Aratus.

Nonn. Dionyſ. χαλαζήεις, ὑγροχίτων.

βραχίων *brachium.*

στιβαρός	Στήθεά τ' στιβαροί τε βραχίονες.	Hom. Od. σ.
καρτερός	Κρεῖσσον τὸ δ' ἐστὶ καρτεροῦ βραχίονος.	Menand.
στερεός	Ἐν δὲ μύες στερεοῖσι βραχίοσιν ἄκρον ὑπ' ὤμων.	Theoc. εἰδ. κζ.
ἀπαρτηρός	Κλάσσον ἀπαρτηροὺς ἀλιτροῖο βραχίονας ἀνδρός.	Dolſc.

ἀτειρής	Τοῦ γὰρ δυσσεβέος βραχίων κλασθήσετ' ἀτειρής.	Idem.
μενεπτόλεμος	Οὐδὲ μενεπτόλεμος δηΐων ἐσάωσε βραχίων.	Apolinar.
πολυκυδής	Καὶ πολυκυδέεντι βραχίονι πάντα φυλάσσει.	Idem.
στιβαρός	Τοῦ μὲν γὰρ στιβαροί τε βραχίονες, ἠδὲ μέτωπα.	Opp. ἁλ. γ.
ἀνίκητος	Ὅπλον ἀνικήτοιο βραχίονος ἃ καλὸν ἔγχος.	Epigr. lib. 6.
καλλίπηχυς	Ὦ καλλιπήχυ Ἕκτορος βραχίονα.	Eurip. Troad

Βρετανοί *Britanni.*

ἀρηΐφιλοι	Τοῖς δ' ἐπὶ Βρετανῶν λαὸν ἀρηϊφίλων.	M. Musur.
αἰολόνωτοι	Τοὺς τράφεν ἄγρια φῦλα Βρετανῶν αἰολονώτων.	Opp. κυνηγ. α.

βρέτας *statua.*

ἁγνόν	Ἤθελε γὰρ Δαναοῖσι νέος βρέτας ἁγνὸν ἄγεσθαι.	Tryphiod.
εὐρυθέμεθλον	Κεῖνοι δέ τοι μετέπειτα περὶ βρέτας εὐρυθέμεθλον.	Callimach.
	Nonn. Dionys. εὐποίητον.	

βρέφος *infans.*

ἔμβρυον	Μὴ δὲ γυνὴ φθείρῃ βρέφος ἔμβρυον ἔνδοθι γαστρός.	Phocyll.
δείλαιον	-- αὐτὰρ ἐμεῖο Τοῦτο τὸ δείλαιον γένετο βρέφος.	Callimach.
νεογιλόν	Καί σε κόως ἀτίταλλε βρέφος νεογιλὸν ἐόντα.	Theoc. εἰδ. ιζ.
νήπιον	Θέλεις ἰδεῖν γέροντα νήπιον βρέφος.	Cyr. Theod.
ἀρτιγενές	Κέλητα βρεφέεσσι κροτούμενον ἀρτιγενέσσι.	Idem.
ἐπιμαστίδιον	Τῶν τ' ἐπιμαστιδίων παναπάλων τε βρεφῶν.	Dolsc.
θορόεν	Ἄλλο δ' ἀνάρθρον ἔχει θορόεν βρέφος ὠπήσασθαι.	Opp. κυνηγ. γ.
ὀβριμόπατρον	Τοῦ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὸς βρέφος ὀβριμόπατρον.	Castalio.
	Nonn. Dionys. κρυφίης αὐτάγγελον εὐνῆς, ποικιλόμορφον, ἀρτίτοκον.	

Βριάρεως *Briareus.*

ἑκατόγχειρος	Ὦχ' ἑκατόγχειρον καλέσας ἐς μακρὸν ὄλυμπον Ὃν Βριάρεων καλέουσι θεοί &c.	Hom. Il. α.

μεγάθυμος	Ἔνθα Γύγης Κόττος τε, καὶ ὁ Βριαρέως μεγάθυμος.	Hesiod. Th.
	Nonn. Dionys. εὐπάλαμος.	
	Βριμὼ, infra Περσεφόνη.	
	Βρισηΐς *Briseis.*	
καλλιπάρῃος	Πέμψω, ἐγὼ δέ κ' ἄγω Βρισηΐδα καλλιπάρῃον.	Hom. Il. α.
ἠΰκομος	Κούρης χωόμενος Βρισηΐδος ἠϋκόμοιο.	Hom. Bœot.
εἰκυῖα θεῇσι	Εἶπε δ' ἄρα κλαίουσα γυνὴ εἰκυῖα θεῇσι. (λοῖς.	Id. Iliad. τ.
εὐπλόκαμος	Νόσφιν ἐϋπλοκάμου Βρισηΐδος, ἅς ποτ' Ἀχιλ-	Calab. lib. 4
κούρη Βρισῆος	Τὰς μέν οἱ δώσω, μετὰ δ' ἔσσεται, ἣν ποτ' ἀπηύρων Κούρην Βρισῆος.	Hom. Il. ι.
	Βριτόμαρτις, supra Ἄρτεμις, *Diana.*	
Γορτυνὶς ἐλλοφόνος, εὔσκοπος	-- Γορτυνίδα φίλαο νύμφην Ἐλλοφόνον, Βριτόμαρτιν ἐΰσκοπον.	Callimach.
Δίκτυννα	-- ὅθεν μετέπειτα Κύδωνες Νύμφαν μὲν Δίκτυνναν.	Idem.
	Βροντή tonitru.	
δεινή	Δεινήν τε βροντὴν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ.	Hom. Il. φ.
στονόεσσα	Καὶ βροντὴν στονόεσσαν ἀταρβέος ἄγχοθι κούρης.	Calab. lib. 14
πολυηχής	Ἐν κύκλῳ ταῖς χαλαῖς βροντῆς πολυηχέος ὁρμή.	Apolinar.
θείη	Παμμακάρων ἕδρανον θείαις βρονταῖσι τινάσσων.	Orph. hym.
ἀκαμαντόπους	Ἐλατὴρ ὑπέρτατε βροντᾶς ἀκαμαντόποδος Ζεῦ	Pind. Olym.
πτερωτός	Διὸς πτερωτὸς ἥδε μ' αὐτίκ' ἄξεται Βροντὴ πρὸς ᾅδην.	Soph. O. C.
βαρύβρομος	Ἰὼ Νέμεσις, καὶ Διὸς βαρύβρομοι βρονταί.	Eurip. Phœ.
ἀμφίπυρος	Βροντᾷ γὰρ ἀμφιπύρῳ τοκάδα τὰν διογόνοιο Βάκχου νυμφευσαμέναν πότμῳ φονίῳ κατεύνασε.	Id. Hippolyt.
βαρυαχής	Βαρυαχέες ὀμβροφόροι θ' ἅμα βρονταί.	Aristoph. A.
	Nonn. Dionys. ἠνεμόφοιτος, βαρύδουπος.	

βροτοί

βροτοί *mortales*, coniunge ſupra ἄνθρωποι.

ὀϊζυροί	Γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσι.	Hom. Iliad. ν.
δειλοί	Καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσι.	Iliad. χ.
ἐπιχθόνιοι	Ἔτλην δ' οἷ' οὔπω τις ἐπιχθόνιος βροτὸς ἄλλος	Iliad. ω.
μογεροί	Ἀλλ' οὐ πάντα τελοῦσι θεοὶ μογεροῖσι βροτοῖσι	Calab. lib. 3.
ῥεῖα φθινύθοντες	Τοὶ δ' εἰς ἔργα τράποντο βροτοὶ ῥεῖα φθινύθοντες	Idem lib. 6.
πολυσπερεῖς	- αὐτὸν γὰρ πολυσπερέεσσι βροτοῖσι Κοιρανέειν.	Idem lib. 13.
ἠλεοί	Ὄμμασι τῶν ἠλεῶν φῶς παρέχοντα βροτῶν.	Dolſc.
αἱμοχαρεῖς	Μὴ μετ' ἀπορρίψῃς αἱμοχαρῶν με βροτῶν.	Idem.
πηλόγονοι	Τῆς χθονὸς ἀνθρώπων πηλογόνων τε βροτῶν.	Idem.
τάλανες	Ὑ μὲν τοῖς δειλοῖς καὶ ταλάνεσσι βροτοῖς.	Idem.
ἀδρανεῖς, &c.	Καὶ τῶν ἀδρανέων οὐτιδανῶν τε βροτῶν.	Idem.
χαμαιγενεῖς	Ἠὲ χαμαιγενέας τ' ἀσθενέας τε βροτούς.	Idem.
κακοῦργοι	Καὶ δήμους ἔφλεξε βροτῶν τῶν πρόσθε κακούργων.	Sibyll.
φιλοπτόλεμος	Φῦλα βροτῶν ἄχρεαντε φιλοπτολέμων κεδάσειας.	Apolinar.
ὑψίφρονες	Καὶ ὑψιφρόνων τὶν' ἔκαμψε βροτῶν.	Pind. Pyth.
δυσμενεῖς, &c.	Δυσμενέες βροτοὶ ἐγχεσίχαρες.	Epigr. lib. 7.
πονηροί, &c.	Τὰς τῶν πονηρῶν καὶ ταλαιπώρων βροτῶν.	Epigr. lib. 1.
παντλήμονες	Ἠϊόνι τόδε σῆμα βροτοῦ παντλήμονος ἄθρει.	Epigr. lib. 3
ποικιλομῆτες	Πάντα περιφραδέως βροτὲ ποικιλόμητι δολόφρον.	Sibyll. orac.
παντλέτορες	Ὦ θηρῶν βροτὲ μᾶλλον ἀνήμερε, πάντα σε μισεῖ Παντλέτορ.	Epigr. lib. 1.
πολύπονοι	Πότνια πότνια νὺξ ὑπνοδότειρα πολυπόνων βροτῶν.	Eurip. Oreſt.
πολύκλαυτοι	Αὕτη γαῖα μέλαινα πολυκλαύτοισι βροτοῖσι Τίκτει καὶ κακότητα, καὶ ἄλγεος ἄλκαρ ἑκάστου.	Orph. λίθων.

βρότος *cruor, tabus, ſanies.*

αἱματόεις	Ἀλλ' ὕδατι νίζοντες ἀπὸ βρότον αἱματόεντα.	Hom. Iliad. η

μέλας	Οἵ κ' ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων.	Idem Od. ω.
αἰνός	Ἀλλ' ἄγε δὴ βρότον αἰνὸν ἀταρβέος Αἰακίδαο.	Calab. lib. 3.
κελαινός	Πρῶτος κελαινῷ βωμὸν αἱμάξει βρότῳ.	Lycoph.

βρόχος laqueus.

αἰπύς	Ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου.	Hom. Od. λ.
ἀργαλέος	Ἢ βρόχῳ ἀργαλέῳ, ἢ καὶ ξίφεϊ στονόεντι.	Calab. lib. 14.
νεύρεινος	Δεσμῷ δὲ νευρείνοισι τοὺς πόδας βρόχοις.	Lucianus.
λυγρός	Ῥίψεν, ὁ δ' οὐχ εὑρὼν, λυγρὸν ἔδησε βρόχον.	Epigr. lib. 1.
κρύφιος	Τείνουσι κρυφίους ποσσὶν ἐμοῖσι βρόχους.	Dolsc.
εὐστρεφής	Πάντῃ εὐστρεφέες κεῖντ' ἐν ὁδοῖσι βρόχοι.	Idem.
κρεμαστός	Πρώτως κρεμαστοῖς ἐν βρόχοις ἠρτημένος.	Nazianz.
εὔστρεπτος	Ἀλλ' εἰ καί ποθ' ἕλοι ἐν εὐστρέπτοισι βρόχοισι.	Opp. κυνηγ. γ.
πανάφυκτος	Καὶ τὸν μὲν πανάφυκτος ἕλε βρόχος.	Epigr. lib. 1.
ἐναυχένιος	Ἇψε δ' ἐναυχένιον δειρᾷ βρόχον.	Epigr. lib. 3.
δύσλυτος	Ἢ μὴν παλεύσει δυσλύτοις οἴστρου βρόχοις.	Lycoph.

βρῶμη esca, cibus.

θυμηδής	Βρώμης ἱέμενοι θυμηδέος, οὐδ' ἄγρα πού γε.	Calab. lib. 8.
εὔδροσος &c.	Βρώμην μέν τ' ὀρέγουσιν εὔδροσον, αἰθεμόεσσαν.	Opp. κυνηγ. β.

βυθός profunditas, gurges.

βαθυκύμων	Ὃς ναίεις πόντοιο βυθοὺς βαθυκύμονας ἁγνούς.	Orph. hym.
	Nonn. Dionys. ὑγροχίτων, μιαιφόνος.	

βύρσα corium, bursa, pellis.

καλαμοστρεφής	Θώρηκας δ' εἶχον καλαμοστρεφέων ἀπὸ βυρσῶν	Hom. Batra.
λασιαύχην	Καὶ τότε δὴ βούλευον ὅπως λασιαύχενα βύρσαν.	Theoc. εἰδ. λβ.
ταυροδέτη &c.	Καὶ τὴν ταυροδέτην βύρσαν ἐπαυχενίην.	Epigr. lib. 6.
βεβαρή	Καὶ τάδε σοὶ βεβαρεῖς Ἡράκλεες οὐδίχα βύρσας.	Eod.

βῶλαξ,

βῶλαξ, βῶλος, gleba.

διερά	Νεῖλος ἀναβλύζων, διερὰν ὅτε βώλακα θρύπτῃ.	Theoc. εἰδ. ιζ.
βαθεῖα	Αονίου πεδίοιο βαθεῖαν βῶλον ἀροῦντες.	Idem εἰδ. κε.
δνοφερή	Σπειρομένων ὄφιος δνοφερὴν ἐπὶ βῶλον ὀδόντων.	Apoll. lib. 3.
διψάς	Ηεῖον ἐκ βώλου διψάδος ἐκπσάμην.	Epigr. lib. 3.
δαιμονία	Δέξατο βώλακα δαιμονίαν, &c.	Pind. Pyth.

βωμός ara.

εὔδμητος	Ἐξείης ἔστησαν εὔδμητον περὶ βωμόν.	Hom. Iliad. α
ἱερός	Ἡμεῖς δ' ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμούς.	Idem Iliad. β.
θυήεις	-ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις.	Idem Iliad. θ.
περικαλλής	Οὐ μὲν δή ποτέ φημι τεὸν περικαλλέα βωμόν.	Eod.
πολύκνισος	Ἔφλεγον ἱερὰ καλὰ πολυκνίσων ἐπὶ βωμῶν.	Tryphiod.
ἀπευθής	Ἀθανάτων δ' ἔχθραινον ἀπευθέας αἵματι βωμούς.	Idem.
ἕρκειος	Γήμασι κεκμηῶτα, παρ' ἑρκείῳ κτάνε βωμῷ.	Idem.
ἀκήρατος	Δώματ' ἔσαν καὶ βωμὸς ἀκήρατος ἑρκείοιο.	Calab. lib. 6.
κύκλιος	Ποτνια σὸν περὶ βωμὸν ἐγειρομένου κιθαρισμοῦ Κύκλιον ὀρχήσαντο.	Callimach.
ἐρευθόμενος	Μασὶ περιπλομένοισιν, ἐρευθομένων ἐπὶ βωμῶν	Theoc. εἰδ. ιζ.
νεόδρεπτος	Εὐφάμως κατέθεντο νεοδρέπτων ἐπὶ βωμῶν.	Idem εἰδ. λβ.
κνισήεις	Βωμοὶ κνισήεντες ἀδευκέα καπνὸν ἔχουσι.	Dionyſ.
θεόδμητος	Ἦχι θεῷ χέες ἐπὶ θεοδμήτῳ παρὰ βωμῷ.	Nonnus.
θεόκλητος	Οὗρος ὑμετέροιο θεοκλήτῳ παρὰ βωμῷ.	Idem.
εὐαγής	Ἡμεῖς δ' εὐαγέεσσιν ἀνάπτομεν ὄργια βωμοῖς.	Idem.
φλογερός	Γιγνομένα φλογεροῦ βωμοῦ ὕπερθε τέφρη.	Dolſc.
ἐπάκτιος	Τείως δ' αὖ καὶ βωμὸν ἐπάκτιον ἐμβασίοιο.	Apoll. lib. 1.
σκιόεις	Ἄλσεϊ ἐν σκιερῷ τέμενος σκιόεντά τε βωμόν.	Idem lib. 4.
πανακήρατος	Καὶ σέο βωμὸν ἄναξ πανακήρατον ὑμνοπολεύ-	Apolinar.
ἀγακλήεις	Βωμὸν ἀγακλήεντα θεοῦ μετελεύσομαι ἤδη. (σω.	Idem.
πολύξενος	Ἔχων πολυξένῳ πάτρῳ παρὰ βωμῷ.	Pind. Olym.
μαντεῖος	Βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ.	Ibidem.
ἐναργής	Ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα.	Ibidem.
θυόεις, ἔμπυρος	Ἀλλ' αἰεὶ θυόεντα καὶ ἔμπυρον.	Epigr. lib. 1.

εὔγλυπτος	Δηΐφοβος μὲν περῶντος ἐϋγλύπτῳ ἐπὶ βωμῷ.	Chriſtod.
ἀναίμακτος	Πρῶτα μὲν οἴνου σπεύδοντας ἀναιμάκτων ἐπὶ βωμῶν.	Orph. λίθ.
	Nonn. Dionyſ. θρέσαυλος, ἀνδροφόνος, εὔοδμος, εὐκέραος, θεοπρεπὴς, αἴθωψ.	

Γ.

γαγάτης gagates lapis.

αἰθαλόεις, &c.	Χροιῇ αἰθαλόεις, πλατὺς, οὐ μέγας ἔπλετ' ἰδέσθαι, κάρφαλέῃ δ' ἴκελον πεύκῃ φλόγα δῖαν ὀρίνει, ἀλλ' ὀλοὸν ποτὶ ῥῖνας ἄγει μένος.	Orph. περὶ λ.

Γάγγης Ganges.

μελανδίνης	Οὐ δ' οὕτω σὺν παισὶ μελανδίνην ἀνὰ Γάγγην.	Dionyſ.
	Nonn. Dionyſ. χρυσαυγής.	

γαῖα ἢ γῆ terra, ſupra αἶα.

μέλαινα	Ζωὸς ἐὼν, ποτὲ δ' ἤδη ἔχε κατὰ γαῖα μέλαινα.	Hom. Bœot.
ἀπείρων	Ζεῦ πάτερ ἦ ῥά τίς ἐστι βροτῶν ἐπ' ἀπείρονα γαῖαν.	Idem Iliad. η.
πολυφόρβη	Πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία.	Idem Iliad. ι.
ἀπειρεσίη	-- αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξε Γαῖαν ἀπειρεσίην.	Iliad. υ.
κωφή	Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.	Iliad. ω.
ἐρικυδής	Καὶ Τιτυὸν εἶδον γαίης ἐρικυδέος υἱόν.	Hom. Od. λ.
συχερή	Οσσομένη, καὶ γαῖαν ὑπὸ συχερὴν ἀφικοίμην.	Odyſs. υ.
ἐρεμνή	Αμφίμεδον τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε.	Odyſs. ω.
φερέσβιος	Κινήθη δ' ἄρα γαῖα φερέσβιος, ἤ δ' ἐσιδοῦσα.	Hom. h. Ap.

ἀθέσφατος

ἀθέσφατος	Ὅς πρὶν μὲν κατὰ γαῖαν ἀθέσφατον ἠδὲ θάλασσαν	Id. hy. Herc.
παμμήτειρα	Γαῖαν παμμήτειραν ἀείσομαι ἠϋθέμεθλον.	Id. h. Terræ.
πότνια	Ἐκ σέο δ᾽ εὔπαιδές τε καὶ εὔκαρποι τελέθουσι Πότνια.	Ibidem.
εὐρύστερνος	Γαῖ᾽ εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεί.	Hesiod. Th.
πελώρη	-- ἡ δ᾽ ἐντὸς στοναχίζετο γαῖα πελώρη.	Ibidem.
κλεινή	Οὐδὲν γαῖα κλεινᾶ γυναικὸς βαρύτερον.	Epichar.
πολύβοσκος	Αὐξομέναν πεδόθεν πολύβοσκον γαῖαν.	Pind. Olym.
ζαθέη	Ποικίλον, ὠμηστήν, ζαθέης ὑπὸ κεύθεσι γαίης.	Hesiod. Th.
δνοφερή	Ἐνθάδε γῆς δνοφερῆς καὶ ταρτάρου ἠερόεντος.	Ibid.
ἀπείριτος	Αἱ δ᾽ αὖτε κατὰ γαῖαν ἀπείριτον, αἱ θεμόεσσαν.	Ibid.
ξείνη	Οἰκτροτέρῳ θανάτῳ, ξείνη δέ με γαῖα καλύψει.	Tryphiod.
βαρεῖα	Ἥρης ἀπερχομένης, ἐπὶ δ᾽ ἔβραχε γαῖα βα-	Idem.
ἀμπελόεσσα	-ὅς ῥ᾽ ἐπὶ γαῖαν Καρῶν ἀμπελόεσσαν. (ρεῖα.	Calab. lib. 1.
ζαφερή	-- ζαφερὴ δ᾽ γελᾷ ἐπὶ γαῖα καὶ αἰθήρ.	Id. lib. 2.
κυανέη	Ἴαχε, κυανέη δὲ περὶξ ἐλελίζετο γαῖα.	Eod.
πολύκμητος	-- ἐπεὶ οἱ σῶμα πολύκμητος χάδε γαῖα.	Idem lib. 5.
ἐρατεινή	Πάσης τ᾽ ἀγλαΐης καὶ κτήσιος, ἠδ᾽ ἐρατεινῆς Γαίης.	Idem lib. 9.
πίων	Ὃν τέκετ᾽ Ἀμφιδίκη Ῥοδίων ἐνὶ πίονι γαίῃ.	Idem lib. 10.
ὀλοή	-- ὀλοὴ δ᾽ ὑπεδέξατο γαῖα Σῶμα.	Idem lib. 11.
στυφελή	Αἶψα μίγη πρὶν γαῖαν ἐπὶ στυφελὴν ἀφικέσθαι.	Eod.
μεγάλη &c.	Ὦ μεγάλ᾽, ὦ πολύβωμε, πολύπτολι, πολλὰ φέρουσα,	Callimach.
ἐπήρατος	Γαῖαν ναιετάοντες ἐπήρατον, ἧς διὰ μέσσης.	Dionys.
ἀπηνής	Τοῖς δ᾽ ἐπὶ καὶ Χάλυβες στυφελὴν καὶ ἀπηνέα γαῖαν.	Idem.
ἐριθηλής	Τὴν μὲν πρὸς βορέην ἐριθηλέα γαῖαν ἔχουσι.	Idem.
ξηρή &c.	Ἠὲ σπόρος ὡς ἐπὶ γαῖαν ἰὼν ξηρὴν καὶ ἄκαρπον.	Nazianz.
μήτειρα βροτῶν	Ὄφρα μὲν οὖν μήτειρα βροτῶν ἐπεδεύετο γαῖα.	Idem.
πολύμοχθος	Καὶ γαῖαν πολύμοχθον ἅθ᾽ ἕσπεται ὀλλυμένοισι.	Idem.
αἰπεινή	Γαῖαν ἐς αἰπεινήν, τῆς δ᾽ ἤλυθες βιότου.	Idem.
διψάς	Ὄμβρῳ διψάδα γαῖαν ἐπέκλυσεν, ὅς μιν ἔδησεν.	Idem.
πολύμετρος	Οὐ γαῖαν πολύμετρον ὁμοιΐα κυμαίνουσαν.	Idem.
ἀγάσταχυς	Αἰγύπτου πεδίοισιν ἀγάσταχυν. præcessit γαῖαν	Idem.

εὔσταχυς, ἀκανθοφόρος	Εὔσταχυς, ἠδὲ ἄκαρπος ἀκανθοφόρος θ' ἅμα σίτῳ.	Idem.
ἁπαλή	-- εἰ δ' ἀπὸ γαίης Ἦλθες ἄκανθ' ἁπαλῆς.	Idem.
βαθύκρηπις	Ταῦτα βαθυκρήπιδι Καφερναοὺμ ἐνὶ γαίῃ.	Nonnus.
εὐρύαλος	-- ἀπ' εὐρυάλοιο γὰρ γαίης Πολλοὶ Ἰουδαίων &c.	Idem.
ἄνυδρος	Ποσσάκις ἐν γαίῃ μὲν ἀνύδρῳ, καὶ ναετήρων.	Dolsc.
ἐρχοειδής	Στήειξας θεμέθλοις ὀχυροῖς ἐρχοειδέα γαῖαν.	Idem.
πολύδροσος	Καὶ πίεταί σου γαῖα πολύδροσος αἷμα κελαινόν	Sibyll.
τελεσφόρος	Πορφυρέη καὶ γαῖα τελεσφόρος, ἠδὲ θάλασσα.	Ibid.
παγγενέτειρα	Γαῖα γὰρ παγγενέτειρα καλεύσεται ἤμασι κείνοις.	Ibidem.
θαλερή	Ἐν γαίῃ θαλερῇ, ὀλοὸν δάπος ἐξαπολέσθαι.	Ibid.
πλατυώωτος	Οὐ γαῖαν πλατυώωτον, ὅθεν φύουσιν ἅπαντα.	Ibid.
πολυθρέμμων	Ὧς αἰῶσι θέλοντας ἔχειν πολυθρέμμονα γαῖαν.	Ibidem.
σιδηροφόρος	Αἰεὶ γὰρ μάρναντο σιδηροφόρου περὶ γαίης.	Apoll. lib. 2.
ψαμαθώδης	Ὑψόθεν αὐθέμενοι ψαμαθώδεος ἔνδοθι γαίης	Idem libr. 4.
μελανόχροος &c.	Γαῖα δ' ἀνέπνευσεν μελανόχροος, οὐθατόεσσα.	Opp. κυνηγ. β.
πολύκαρπος	Ὅσσα τ' ἐν οὐρανῷ ἐστι, καὶ ἐν γαίῃ πολυκάρπῳ.	Orph. hym.
ὀλβιόμοιρος	Γαῖάν τ' ὀλβιόμοιρον, ὑπέρ θέ τε καὶ δι' ἀμολγοῦ.	Ibidem.
βωτιάνειρα	-- ἢ βωτιανείρη; Δηρὸν ἀπεσσεῖται γαίης.	Castalio.
εὐρυόδεια	Καὶ τότε δὴ ποτὶ γαῖαν ἀπ' οὐρανοῦ εὐρυόδειαν.	M. Musur.
ἀκίνητος	Οὐ γὰρ ἀκινήτου γαίης ὕπερ ἀθλεύουσιν.	Opp. ἁλ. α.
πολυμήτωρ	Οὐ μὲν γὰρ γαίης πολυμήτορος ἔλπομαι ἄλμην.	Eod.
ἀλιερκής	Ὅσσοι δ' αὖ γαίης ἀλιερκέος ἄγχι νέμονται.	Id. ἁλ. γ.
θρέπτειρα	Γαῖα φίλη θρέπτειρα, σὺ μὲν τέκες, ἡ δ' ἐκόμισσας.	Id. ἁλ. ε.
εὐλάχανος &c.	Θῆκε μὲν εὐλάχανον, θῆκε δ' ὀπωροφόρον.	Epigr. lib. 3.
εὐρύπεδος	Φυρηθὲν γαίης εὐρυπέδοιο βάρος.	Epigr. lib. 4.
μεταλλόχευτος	Μεταλλόχευτον γαῖαν. πόῤῥω πέφυκε πλεῖστα.	Epigr. lib. 7.
εὔκαρπος	Ὄρος εὐκάρποιο γαίης μέτωπον.	Pind. Pyth.
φυσίζοος	Γῆ φυσίζοος ἥ τε κατὰ κρατερόν περ ἐρύκει.	Iliad. φ.
πυροφόρος	Καὶ χρυσὸς, καὶ γῆς πυροφόρου πεδία.	Theogn.
παμφάγος	Μὴ γῆ χανοῦσα παμφάγος δέξαιτό σε.	Cyr. Theod.
ἀνθοῦσα	Ἀνθοῦσα γῆ πέφυκεν, ὧδε χειοίτης.	Idem.
εὐρύχορος	Γῆς περ ἀφ' ὑσπαίων εὐρυχόροιο μυχῶν.	Dolsc.
πολυδένδρεος	Ἄλλος γῆν τέμνων πολυδένδρεον &c.	Solon.

καρποδότειρα

καρποδότειρα	Ἄνθ' ὧν ἑπτὰ χρόνων δεκάδας γῆ καρποδότειρα.	Sibyll.
πάντροφος	Ἀλλά σε θαυμάζομαι γᾶ πάντροφε.	Epigr. lib. 3.
ἁλιπλάκτος	Φαμὶ γὰρ ταύταν ἐξ ἁλιπλάκτου ποτὲ γᾶς.	Pind. Pyth.
βαθύκολπος	Ἐν ὀλυμπιοῖσί τε, καὶ βαθυκόλπου γᾶς ἀέθλοις.	Ibid.
διάμφυλλος	Ὅταν δὲ τούτων γῆ, διάμφυλλος τύχῃ.	Soph. Oe. C.
	Γαῖα θεά, μῆτερ μακάρων, θνητῶν τ' ἀνθρώπων, πάντροφε, πανδώτειρα, τελεσφόρε, παντολέτειρα, αὐξιθαλής, φερέκαρπε, καλαῖς ὥραισι βρύουσα· ἕδρανον ἀθανάτου κόσμου, πολυποίκιλε κούρη, ἣ λοχίαις ὠδῖσι κύεις καρπὸν πολυειδῆ· ἀιδία, πολύσεπτε, βαθύστερν', ὀλβιόμοιρε, ἡδυπνόοις χαίρουσα χλόαις πολυανθέσι δαῖμον· ὀμβροχαρής, περὶ ἣν κόσμος πολυδαίδαλος ἄστρων εἱλεῖται φύσει ἀενάῳ, καὶ ῥεύμασι δεινοῖς. ἀλλὰ μάκαιρα θεὰ καρποὺς αὔξοις πολυγηθεῖς, εὐμενὲς ἦτορ ἔχουσα, σὺν ὀλβίοισιν ἐν ὥραις.	Hymnus Orphei εἰς γῆν.
ὀρεστέρα &c.	Ὀρεστέρα παμβῶτι γᾶ μᾶτερ αὐτοῦ Διός.	Soph. Phil.
χλοηφόρος	Νοτὶς ἐπέρχεται γαίας δίρκας χλοηφόρους.	Eur. Phœnis.
ἐρίβωλος, λαοβότειρα	Τρεῖς δ' ἑτέρας γαίης ἐριβώλου λαοβοτείρης. Nonn. Dionys. βιαρκής, καρποτόκεια, ἀμαλλοτόκος, ζωοτόκος, τελεσίγονος, ἐλεφαντόβοτος, εὐώδιν, μεσόμφαλος, οἰνόφυτος.	Orph. λίθ.

γάλα lac, γλάγος.

λευκόν	Μυρίαι ἑστήκασιν ἀμελγόμεναι γάλα λευκόν.	Hom. Il. δ.
γλυκερόν	Τυροῦ καὶ κρειῶν, οὐδὲ γλυκεροῖο γάλακτος.	Id. Od. δ.
ἐπηετανόν	Ἀλλ' αἰεὶ παρέχουσιν ἐπηετανὸν γάλα θῆσθαι.	Eod.
πολιόν	Ἔμμεναι εἰσορόων πολιὸν γάλα.	Calab. lib. 10

ἀμελγόμενον	Κὴκ τούτων τὸ κράτιστον ἀμελγόμενον γάλα πίνω	Theoc. εἰδ. ια.
λιαρόν	-- λιαροῖο πέπλειντο δὲ πάντα γάλακτος.	Idem εἰδ. λβ.
δυσαλθές, πικρόν	-- ἐκ τὸ δυσαλθὲς	Epigr. lib. 1.
	Τραύματος ἐξ ὀλοοῦ πικρὸν ἔβρωξε γάλα.	
ἀμβρόσιον	Καὶ γάλα δ' ἀμβρόσιον ῥεύσει πάντεσσι δικαίοις	Sibyll. Orac.
θεσπέσιον	Θεσπεσίοιο γάλακτος ἐνίπλεον, ἠΰτε μαζόν.	Orph. λιθ.
νεόβδαλτον	Καρκίνον εὐθρύψαιο νεοβδάλτοιο γάλακτος.	Nicand. Th.
πῖον	Ἄλλοτ' ἀλιθαίνοντι ποθὲν γάλα πῖον ἀρήξει.	Id. Alexiph.
νεκτάρεον	Σὸν γὰρ νεκταρέοιο γάλακτος λαιμὸν ἐπλήρουν.	Politian.
λαρόν	Θήσατο δὲ γάλα λαρὸν, ἐπεί ῥά οἱ ὤπασε δαίμων.	Opp. ἁλ. α.
ἀργινόεν	Πηγαὶ δ' ἀργινόεντος ἀναθλίβοιντο γάλακτος.	Epigr. lib. 3.
εὔαρνον	Καί τις ἀπ' εὐάρνοιο καταχραίνοιτο γάλακτος.	Eod.
εὔποτον	Βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα.	Æsch. Pers.
εὐτραφές	Οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα.	Idem Χοηφορ.
	Nonn. Dionys. χιόνεον, φρέσβιον, ἠραῖον, παιδόκομον.	

Γαλάτεια Galatea.

ἀγακλειτή	Δωρὶς καὶ Πανόπη, καὶ ἀγακλειτὴ Γαλάτεια.	Hom. Il. σ.
εὐειδής	Δωρὶς καὶ Πανόπη καὶ εὐειδὴς Γαλάτεια.	Hesiod. Th.
λευκή	Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ.	Theoc. εἰδ. ια
καλή	-- τὸν μὲν ἔφευγεν Ἁ καλὰ Γαλάτεια.	Idem εἰδ. ιθ.
	Nonn. Dionys. βυθίη, εἰναλίη.	

γαλακτίτης galatites, lapis siue gemma.

ἀρηγὸν λᾶας	Δεύτερον εὐχομένῳ τοι ἀρηγόνα λᾶαν ὀπάσσω, θεσπεσίοιο γάλακτος ἐνίπλεον, ἠΰτε μαζὸν πρωτοτόκου κούρης &c.	Orph. λίθων.

γαλῆ felis, mustela, catus.

παμφάγος	Ὁ ψιχολείχης συμβαλὼν τῇ παμφάγῳ.	Galeomy.
ἀγελωπός, μυοκτόνος	Τῆς ἀγελωποῦ καὶ κακῆς μυοκτόνου.	Ibidem.

γαλήνη serenitas.

λευκή	Οὔτε μέγ' οὔτ' ὀλίγον, λευκὴ δ' ἦν ἀμφὶ γαλήνη	Hom. Od. κ.
ὁμαλή	-- ὁμαλὴ δ' ἄρα περίαθε γαλήνη Ἔπλετο.	Calab. lib. 5.
λιπαρή	Αἶψα δ' ἀπολήγουντ' ἄνεμοι, λιπαρὰ δὲ γαλάνα.	Theoc. εἰδ. κζ
μαλακή	Καὶ δ' αὖ που γέρανοι μαλακῆς προπάροιθε γαλήνης.	Arat.
μειλιχίη	Μειλιχίη δέ τοι αἰὲν ἐπ' ὀφρύσι νεῦσε γαλήνη.	Orph.
κυδιάνειρα	Ζωῆς κυδιάνειραν ἐσαθρήσειε γαλήνην.	Nonnus.
φαιδρή &c.	Τῇ σὺ φαιδροτέρην βιοτήσιον ἔχε γαλήνην.	Idem.
ἀχάλινος	Ἀβρεκέως τ' ἀχάλινον ἐσαθρήσειτε γαλήνην.	Idem.
εὔκηλος	-- εὐκήλῳ δὲ κατείχετο πάντα γαλήνῃ.	Apoll. lib. 4.
αἰλώεμος	Ἀλλ' ἐν γαλήνῃ φεῦ πάλας αἰλωέμῳ.	Epigr. lib. 3.
φιλοζέφυρος	Ὑπνώει δὲ θάλασσα φιλοζεφύροιο γαλήνης.	Epigr. lib. 1.
γελόωσα	Οὐδ' εἴ μοι γελόωσα κατεστορέσειε γαλήνη.	Epigr. lib. 3.
ἠπιόδωρος	Γαύτη δ' ἠπιόδωρος ἔην βιότοιο γαλήνη.	Procl. Lic. εἰς
	Nonn. Dionys. ἄκλυστος, σιγαλέη, ἀκύμαντος, ἄφλοισβος, ἐχεννής.	Ἀφροδίτην.

Γαλιλαίη Galilæa.

ἀεξίφυτος, παιδοτόκος	Ἀμφὶ πέδον Κανανᾶιον ἀεξιφύτου Γαλιλαίης Παιδοτόκου.	Nonnus.
εὔπυργος	ἦχι πέδον Κανανᾶιον ἐν εὐπύργῳ Γαλιλαίῃ.	Idem.
ἁλίκρηπις	Μὴ γὰρ ἁλικρήπιδος ἐλεύσεται ἐκ Γαλιλαίης.	Idem.
βωπιάνειρα	Ὅσσοι ναιέταον Γαλιλαίην βωπιάνειραν.	Castalio.

Γαλιλαῖοι Galilæi.

τανυπλόκαμοι	Εἰς πόλιν εὐώδινα τανυπλοκάμων Γαλιλαίων.	Nonnus.
ἀκερσεκόμαι	Ἔνδιον αἰπύδμητον ἀκερσεκόμων Γαλιλαίων.	Idem.
φιλόσοργοι	Καὶ πάλιν ἐς πέδον ἦλθε φιλοσόργων Γαλιλαίων.	Idem.
φιλόχριστοι	Καὶ πάλιν ἐς πέδον ἦλθε φιλοχρίστων Γαλιλαίων	Idem.
θεόσοργοι	Ἄσμενος ἐσμὸς ἔδεκτο θεοσόργων Γαλιλαίων.	Idem.

Γάλλοι Galli.

πολύχρυσοι	Ἔσσεται ἐν Βρύτεσσι, καὶ ἐν Γάλλοις πολυχρύσοις.	Sibyll. Orac.

γαμβρός gener.

ἀμύμων	Ἣ δ' ἔκυσεν ἑλοῦσ', ἐπεί οἱ πέλε γαμβρὸς ἀμύμων.	Calab. lib. 5.
εὐπένθερος	Χαίροις ὦ νύμφα, χαίροις εὐπένθερε γαμβρέ.	Theoc. εἰδ. ιη.
ἀριστοπόνος	Πέμψεν ἀριστοπόνοιο δόμον γαμβροῖο φυλάσσειν	Apolinar.

γαμετή nupta, uxor.

μαχίμη	Τέχνης γραμματικῆς, καὶ γαμετῆς μαχίμης.	Epigr. lib. 1.
ἀκόλαστος	-- οὐδ' ἀκολάστου	Eod.
	Οὔσης μοι γαμετῆς χρή με μύσαντα φέρειν.	

γάμος nuptiæ.

στυγερός	Ἡ δ' οὔτ' ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτήν.	Hom. Od. α.
θαλερός	Ὣς ἔφατ', αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι	Idem Od. ζ.
πολυήρατος	Μνῆμ' Ἑλένης χειρῶν πολυηράτου ἐς γάμου ὥρην.	Odyss. ο.
γλυκερός	Κύρησ' αἰτήσουσα τέλος γλυκεροῖο γάμοιο.	Odyss. υ.
ἱμερόεις	Ταῦτα δὲ ποιήσας, δαίνυ γάμον ἱμερόεντα.	Hom. h. Ven
ἀχλυόεις	Καὶ γάμον ἀχλυόεντα, τὸν οὐκ ἴδεν ἄφθιτος ἠώς.	Musæus.
ὅσιος	Ἀμφαδὸν οὐ δυνάμεσθα γάμοις ὁσίοισι πελάσσαι	Idem.
κρύφιος	Ὡς οἱ μὲν κρυφίοισι γάμοις συνέθεντο μιγῆναι.	Idem.
ἀχόρευτος	Ἦν γάμος, ἀλλ' ἀχόρευτος· ἔην λέχος, ἀλλ' ἄτερ ὕμνων.	Idem.
πολυγηθής	Τῆς νύ σε πρόσθε γάμου πολυγηθέος.	Calab. lib. 14
ἱερός	Ὣς δὲ καὶ ἀθανάτων ἱερὸς γάμος ἐξετελέσθη.	Theoc. εἰδ. ιζ.
κεδνός	Ἔνθα γάμοι κεδνοὶ καὶ ἀληθέες, ἔνθα μέγιστα.	Naumach.
φύσις γενεῆς, ἄλκαρ ὀλέθρου	Καὶ γάμος ἀνδρομένης γενεῆς φύσις, ἄλκαρ ὀλέθρου.	Nazianz.
ἐχέφρων	Δέρκεο τοῖς μερόπεσσι γάμος πόρσυνεν ἐχέφρων.	Idem.
τεκέων ἀρότης	Ὥς ῥα γάμος τεκέων ἀρότης πινυτούς τε καλούς τε.	Idem.
ἁγνός	Τόσσον παρθενίης ἁγνὸς γάμος ἀμφιβίοιο.	Idem.
πολύτλητος	Στυγνὰ δέ μοι πόρεν ἕδνα πολυτλήτοιο γάμοιο.	Epigr. lib. 1.
ἀρχὴ βίου	-- γάμος ἔσκε βίου πρωτόσπορος ἀρχή.	Nonnus.

ὄλβιος

ὄλβιος	Καὶ γάμος ὄλβιος ἦεν, ὅτι χθονίῳ παρὰ πᾶσιν.	idem.
ἀθέσμιος	Καὶ τοῖς ἀθέσμοις οὐδὲ κἂν κλέπτῃ γάμοις.	Cyr. Theod.
πολύμνηστος	Παρθένε, πολλάκι σοῖσι πολυμνήστοισι γάμοισι.	Sibyll.
θυμηδής	Δῶκά τοι ὄφρα γάμου θυμηδέος αἰπάσσαις.	Apoll. lib. 4.
τιμήεις, ἀοίδιμος	-- ὄφρα πέλοιτο Τιμήεις τε γάμος καὶ ἀοίδιμος.	Eod.
ὀλοός	Πουλύποδος δ' ὀλοοί τε γάμοι, καὶ πικρὸς ὄλεθρος	Opp. ἁλ. α.
μιαιφόνος	Ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβα μιαιφόνων γάμων ἁμιλλήμαθ'.	Soph. Elect.
	Nonn. Dionys. τελεσσιγόνος, πολύολβος, ἐρόεις, θανατηφόρος, βιοσσόος, ἀτάσθαλος, δολόεις, βρόμιος, ἀσύλητος, πολύυμνος.	

Γανυμήδης Ganymedes.

ἀντίθεος	Ἶλός τ' Ἀσσάρακός τε, καὶ ἀντίθεος Γανυμήδης	Hom. Iliad. υ.
ξανθός	Ἤτοι μὲν ξανθὸν Γανυμήδεα μητίετα Ζεύς.	Id. h. Ven.
ἀγακλυτός	Εἰ μὴ ἄρ' αἶψ' ἐνόησεν ἀγακλυτὸς Γανυμήδης.	Calab. lib. 8.
χαροπός	Ἤ που τὸν χαροπὸν Γανυμήδεα πόλλ' ἐπιβωστρεῖ.	Theoc. εἰδ. ιϐ.
οἰνοχόος	Αἰετώ, οἰνοχόον Κρονίδᾳ Διὶ παῖδα φέροντες.	Id. εἰδ. ιε.
Δαρδανίδης, Φρύγιος	Ὁ δὲ Δαρδανίδας Διὸς λέκτρων τρύφημα φίλον ὁ Φρύγιος Γανυμήδης.	Eur. Iph. Aul
	Nonn. Dionys. Τρώϊος, βουκόλος, ἀστερόφοιτος, εὐχαίτης, ἡβητήρ, δρηστὴρ Διὸς κυπέλλων, ἱμερόεις.	

γαστήρ venter.

λασίη	Τοῦ κατὰ νῶτα λαβών, λασίην ὑπὸ γαστέρ' ἐλυσθείς.	Hom. Od. ι.
οὐλομένη	Ἀλλ' ἕνεκ' οὐλομένης γαστρὸς κακὰ κήδε' ἔχουσιν.	Odyss. ο.
ἄναλτος	Βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.	Odyss. ρ.
λυγρή	Αὐτὰρ ἔμ' Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς.	Eod.
μάργη	Πτωχεύεσκ' Ἰθάκης, μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ.	Odyss. σ.
κακοεργός	-- ἀλλά με γαστὴρ Ὀτρύνει κακοεργός.	Eod.

ταλαίπωρος	Νικᾷ δ' ἡ χρεία μ' ἡ ταλαίπωρός τε μου γαστήρ.	Diph.
πλήθουσα	Γαστέρα δ' ἡ πλήθουσαν ἀνακλίνασ' ἀναβοήσῃ.	Tryphiod.
ὠμοτόκος	Γαστέρος ὠμοτόκοιο χύδην ὠδῖνα μεθεῖσαι.	Idem.
αἱμοβόρος	-- ἐπὶ χθονὶ γαστέρας ἄμφω	Theocr.
	Αἱμοβόρως ἐκύλιον.	
κυνόμυια	Ὦ γαστὴρ κυνόμυια, δι' ἣν κόλακες παράσιτοι.	Epigr. lib. 1.
πολυχανδής	-- οὐδὲ τράπεζαν	Nazianz.
	Ἠλάθην λιπαρήν, πολυχανδέα γαστέρα βόσκων	
μαχλοσύνης	-- γαστέρα βόσκων	Idem.
μήτρα, &c.	Μαχλοσύνης μήτραν, ἀπάθαλον.	
ἀρχέκακος	Γαστρός τ' ἀρχεκάκοιο μόγος, καὶ μέγα γέλωτος.	Idem.
ἀτρής	Οὐ πελάγη πλώουσιν ἀτρέος εἵνεκα γαστρός.	Idem.
μογερή	Ἕλξω τὴν μογερὴν γαστέρα τρόμενος.	Idem.
ἀπλήρωτος &c.	Γαστέρος ὕβριν ἔπαυσας ἀπληρώτοιο βερέθρου.	Idem.
ἀργή	-- ἐπεὶ διὰ μηδὸς ἀργήν	Nicand. Th.
	Γαστέρ' ἀναβρώσαντες.	
ἔγκυμων	Μητέρος ἀργαίης ἔγκυμονα γαστέρα δινῶν.	Nonnus.
τεκνόγονος &c.	Τεκνογόνου κευθμῶνος ἄναξ σύ με λύσαο γαστρός	Apolinar.
ἀναιδής	Λύσσαν ἀεὶ βούβρωσον ἀναιδέϊ γαστρὶ φυλάσσει.	Opp. ἁλ. β.
ἀείμαργος	Σῆμα δέ τοι τόδε γαστρὸς ἀειμάργοιο πιφάσκω.	Eod.
εὐρυχανής	Γαστὴρ τ' εὐρυχανής, δέλεαρ δέ οἱ ἔνδον ὀνείης.	Idem ἁλ. γ.
ἀριστοτόκος	Γαστρὸς ἀριστοτόκοιο κλυτὸν βασιλῆα λέοντα.	Id. κυνηγ. γ.
μιαρή	Τῇ θ' ὑπὸ τὴν μιαρὰν γαστέρα μαργοσύνῃ.	Epigr. lib. 1.
σιτοδόκος	Σιτοδόκῳ δ' ἄγραυλος ἀνὴρ βαρύμοχθος ἰάλλοι Γαστρί.	Epigr. lib. 2.
δυσκόλπος	Γαστρὶ δ' δυσκόλπῳ, νεκρὸν ἔνεστι τέκος.	Epigr. lib. 3.
πολιά	Καί τις ἀνθρώπων σε χαμαιγενέων, πολιᾶς ἐξ-ανῆκεν γαστρός;	Pind. Pyth.
ἀτέκμαρτος	-- ἀλλά μιν ἄτη	Opp. κυν. β.
	Γαστρὸς ἀτεκμάρτοιο κακὴ λάχεν.	
τρισίβιος &c.	Καὶ φειδωλοῦ καὶ τρισιβίου γαστρὸς θυμβρεπιδεί-πνου.	Aristoph. Nebul.
ἀργή	Epimenides, citante Paullo Apostolo cap. 1. ad Titum:	
	Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.	Nonn.

Nonn. Dionys. μείλιχος, ἀρσενόπαις, δασύθριξ, ἀμαίευτος.

γείτων vicinus.

ἀγχίθυρος	Λάτρεισι, καὶ δμωσὶν, γείτοσί τ' ἀγχιθύροις.	Theogn.
βαθύδοξος	Λευκοπώλων Τυνδαριδᾶν βαθύδοξοι γείτονες.	Pind. Pyth.

γέλως risus.

ἄσβεστος	Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν	Hom. Il. α.
ἄκαιρος	Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν.	Menand.
γλυκύς	Ἀμφὶ γέλως γλυκὺς ὦρσεν χάειν.	Pind. Pyth.

γενεὰ ἢ γενέθλη genus, generatio, progenies, soboles.

νώνυμος	Οὐ μέν τοι γενεήν γε θεοὶ νώνυμον ὀπίσσω θῆκαν.	Hom. Od. α.
ἐελκυδής	Κείνης τοι γενεῆς ἐελκυδέος ἐκγεγαῶτες.	Dionys.
ἄσπερμος &c.	Ὅ φεῦ μοι ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄλωλεν.	Falc. Proba.
πολυσπορής	Ἀθάνατον κατέναιε πολυσπορέων γενεάων.	Apolinar.
ἀλίπλαγκτος	Κεκριμένοι γεγάασιν ἀλιπλάγκτοιο γενέθλης.	Opp. ἁλ. α.
ἀτέρμαντος	Καί μιν ἐνὶ πλήσαιμι ἀτερμάντοισι γενέθλαις.	Apolinar.
ὀψίγονος	Υἱέας, οἵ κε τέκοιεν ἐν ὀψιγόνοισι γενέθλης.	Idem.
ἄληκτος	Καί σφισι μῶμον ἔδωκεν ἐπ' ἀλήκτοισι γενέθλης.	Idem.
ἀταρτηρός	Ἔμμεναι, ὃν δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης.	Hesiod. Th.
χαμαιγενής	Ὅττι χαμαιγενέος μεθέπων βλάστημα γενέθλης	Nonnus.
ἀγλαόπαις	Σίμων ἀγλαόπαιδος Ἰωάνναο γενέθλης.	Idem.
μεροπηΐς	Αὐτὰρ ὁ δωτίνας μεροπηΐδος εἷλε γενέθλης.	Apolinar.
εὐρυσθενής	Διορθῶσαι λόγον Ἡρακλέος εὐρυσθενεῖ γενεᾷ.	Pind. Olym.
δύσποτμος, πολυθρήνητος	Δυσπότμου γενεῆς λείψανον ἡμετέρης Τῆς πολυθρηνήτου.	Epigr. lib. 3.
κλειτή	Ἀλκιμίδας τόγ' ἐπάρκεσε κλειτᾷ γενεᾷ.	Pind. Nem.
κεδνή	Ἀμφὶς ἔχει καὶ σῆς κεδνὰ γένεθλα φρενός.	Musurus.
χρυσόγονος	Χρυσογόνου γενεᾶς ἰσόθεος φώς.	Æsch. Pers.
βαρύφλοισβος	Εἰς ἥλιον εὐνάζει μέγα κῦμα βαρυφλοίσβοιο γενέθλης.	Proclus.

ἀγλαόμητις	Ἔμπεδος, ἀγλαόμητις, ἀνασταχύεσκε γενέθλη.	Idem.
	Nonn. Dionyſ. ἀρσενόπαις, εὔπαις, ἀγλαόκαρπος, ὁμόφυλος, εὐώδιν, διφυής, κερόεσσα, μιαρόρινος, ἀβάκχευτος, θεόπαις, πολύτεκνος, τελεσίγονος, βοόκραιρος, ταχύποτμος.	

γένειον *mentum.*

πολιόν	Ἀλλ' ὅτε δὴ πολιόν τε κάρη, πολιόν τε γένειον.	Hom. Il. χ.
ἁπαλόν	Πλησίον ἐν λίμνῃ ἁπαλὸν προσέθηκε γένειον.	Id. Batrach.
εὐγενές	Καλῆς ἐκ κεφαλῆς, καὶ εὐγενέος τε γενείου.	Id. h. Ven.
τρυφερόν	Τρυφεροῦ δ' ἔσω γενείου Περὶ λυγδίνῳ τραχήλῳ.	Anacr.
βλοσυρόν	Ἀλλ' ἅτε μηκάδες αἶγες ὑπὸ βλοσυροῖσι γενείοις.	Calab.
ἀγλαόν	Ἔζεεν, εἰς ἔτι δάκρυ, καὶ ἀγλαὰ δεῦε γένεια.	Idem lib. 7.
λαχνῆεν	Καὶ κεφαλήν, καὶ στέρνα, γένειά τε λαχνήεντα.	Idem lib. 13.
λάσιον	Ἀφρὸς ἄδην λεύκαινε κάρη, λάσιόν τε γένειον.	Idem lib. 14.
μαλακόν	Ὡς μαλακὸν τὸ γένειον ἔχεις, ὡς ἁδέα χαίταν.	Theoc. εἰδ. κδ.
δροσερόν	Καλὸς Ὕλας πυκνὸν οὔπω ὑπὸ δροσεροῖο γενείου.	Orph. Arg.
σεμνόν	Αἰδεσθεὶς τε σέβας πολιῶν, καὶ σεμνὰ γένεια.	Muſurus.
	Nonn. Dionyſ. τανύγλωσσον, ἰχθυῆεν, κήτειον, ὀξυόδοις.	

γένεσις *geneſis, generatio, ortus.*

εὔκαρπος	Εὐκάρποις χαίρων γενέσεις ἐπάγουσαι ἀμέμφως.	Orph. hym.

γενετὴρ ἢ γενέτης *parens.*

πολυκτέανος	Μιῶν ἐμῶν ἀπότηλε πολυκτεάνων γενετήρων.	Muſæus.
φιλότεκνος	Καὶ γενέτης φιλότεκνος ἴσῳ μαστίζετο πυρσῷ.	Nonnus.
τεκνογονῶν	Ηνίδε γὰρ πρῶτον γενέταο με τεκνογονοῦντος.	Dolſc.
ἀρχέγονος	Ἀρχέγονος γενετὴρ τοῦ Ἰακώβος ἔην.	Idem.

ἀμύμων

ἀμύμων	Μόχθος ἐμοῦ γενετῆρος ἀμύμονος οὐ τέλος εὗρεν.	Epigr. lib. 1.
	Nonn. Dionyſ. βαρυώδυνος.	
	γένος genus.	
θεῖον	Ἤ δ' ἄρ' ἔην θείου γένος, οὐδ' ἀνθρώπων.	Hom. Il. ζ.
εὐγενές	Γένους γὰρ φυεὶς εὐγενοῦς ἐξόσφυος.	Galeomyo.
ἱερόν	Τίκτε δὲ θυγατέρων ἱερὸν γένος.	Heſiod. Th.
ὀλώϊον	Τῆς γὰρ ὀλώϊόν ἐστι γένος, καὶ φῦλα γυναικῶν.	Ibidem.
ἐρατόν	Ξεῖνε πόθεν τελέθεις; ἐρατὸν γένος εἰπέ τε πάτρην.	Coluth.
πολύκλητον	Ἐξ οὗ πολύκλητον καθ' Ἕλλανας γένος.	Pind. Olym.
λαμπρόν	Θέλεις ἀνυψῶσαι σε πρὸς λαμπρὸν γένος.	Cyr. Theod.
δωδεκάφυλον	Δι' ὧν κυΐσκει δωδεκάφυλον γένος.	Niceph. Xan
ὀμβριμόθυμον	Τῶν δὴ καὶ μετέπειτα πάλιν γένος ὀμβριμόθυμον.	Sibyll.
μιαιφόνον &c.	Ὁπλότατον γένος ἄλλο μιαιφόνον ἀκριτόβουλον.	Ibid.
ἀμφιβόητον	-- ὅτοι γένος ἀμφιβόητον Ἦσε θεῶν.	Diog. L. li. 4.
ζάθεον	Ἄλλοτε δὲ ζάθεον μακάρων γένος, ἠδὲ καὶ αὐτῶν.	Calab. lib. 14
ἀμφήριστον	Ευ δοίη μάλα θυμὸς, ἐπεὶ γένος ἀμφήριστον.	Callimach.
μογερόν	Οὐδ' ἄρα Κηφῆος μογερὸν γένος Ιασίδαο.	Aratus.
ἔμφυτον, αὐτόπρεμνον	-- ἓν γένος ἐσμὲν Ἔμφυτον αὐτόπρεμνον.	Nonnus.
ἀρσενογενές	Γένος γὰρ Αἰγύπτιον ὕβριν δύσφορον ἀρσενογενές.	Æſch. Suppl
	Nonn. Dyonyſ. διιπετές, ἀλλοπρόσαλλον, ὀλύμπιον.	
	γένος ἀνθρώπων genus humanum.	
πολυδάκρυτον, ἀσθενές, οἰκτρόν	Ὦ γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενές, οἰκτρόν.	Epigr. lib. 1.
ἀνεμώλιον, αὐτοχόλωτον	Ὦ γένος ἀνθρώπων, ἀνεμώλιον, αὐτοχόλωτον.	Eod.
ἱερόν	Ῥήξεν μερόπων ἱερὸν γένος ἐκ φιλότητος.	Nazianz.
ῥευστόν	Ἕλκηται μερόπων ῥευστὸν γένος, οἷα ῥέεθρον.	Idem.

δειλόν	Ἀνθρώπων μερόπων δειλὸν γένος, ὥς κε τόσ' εἴπῃς.	Idem.
ἁμαρτωλόν,	-- σύμπαν γένος ἀνθρώπειον	Bapt. Cam.
μαινόμενον	Σύμπαν ἁμαρτωλόν, πάντα τε μαινόμενον.	

γένυς *gena, mala, maxilla.*

γναμπτή	Θῆγον λευκὸν ὀδόντα μετὰ γναμπτῇσι γένυσι.	Hom. Il. λ.
σμερδαλέη	Μή πως σμερδαλέῃσιν ἐπαΐξασα γένυσσι.	Apoll. lib. 4.
ἰοτόκος	Γράπτα μὲν ἰοτόκοισι περιασπέρχει γενύεσσι.	Opp. ἁλ. β.
δαφοινή	Αἶψα δέ μιν κατέμαρψε, γένυν δ' ἀνέρρηξε δαφοινήν.	Eod.
βελαρή	Χεῖρας ἐφοπλίζει βελαρὴ γένυς.	Idem ἁλ. ε.
αὐτόρριζος, ἀκαχμένος	-- ὑπὸ γένυν ἐσήλιξεν Ὄρθιον, αὐτόρριζον, ἀκαχμένον.	Id. κυ. β.
φθονερή	Ἥρπασε, καὶ φθονερὴν οὐκ ἐκόρησε γένυν.	Epigr. lib. 3.
ξανθή	Οἱ φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον.	Pind. Pyth.
καρπαλίμη	Ἐκ καρπαλιμᾶν γενύων χειμφθέντα.	Ibid.
χαλκόπληκτος	Οὐδ' ἁ παλαιὰ χαλκόπληκτος ἀμφήκης γένυς.	Soph. Elect.
ἁπαλόχρως	Ὄνυχι δ' ἁπαλόχροα γένυν ἔδευσε φονίαισι πλαγαῖς.	Eurip. Hele.
πολυφάγος	Ἐκ κάλυκος αὐξανόμενα γένυσι πολυφάγοις.	Aristoph. A.

Nonnus Dionys. καρχαρόδους, ἄδρυπτος, παιδοβόρος, ἱππείη, ξεινοκτόνος, ἰοβόλος, ὀμβρηρή, βαρύδεσμος γένυς ἵππων, ῥηχαλέη.

γέρανος *grus.*

ἠερόφωνος	Χείματος ἀμφίπολοι γεράνων στίχες ἠεροφώνων.	Tryphiod.
κραιπνή	Κλαγγηδὸν κραιπνῇσιν ἐειδόμεναι γεράνοισιν.	Calab. lib. 3.
τανύφθογγος	Ὡς δ' ὅτε τις γεράνοισι τανυφθόγγοισι χολωθείς	Idem lib. 11.
ὑψιπετής &c.	Σπέρματος ὑψιπετῆ Βιστονίαν γέρανον.	Epigr. lib. 3.
γλαγερή	Ἀρῶ τε γλαγερῶν λαιμοπέδαν γεράνων.	Epigr. lib. 6.

Nonn. Dionys. Θρηΐκεος, ἠεροφοίτης.

γέρας *præmium, honorarium.*

καλόν	Σὸν δ' οὔπω τις ἔχει καλὸν γέρας.	Hom. Od. λ.
βασιλήϊον	Γλευτοδότῃ, καὶ τοῦτο γέρας βασιλήϊον ἔχον.	Hesiod. li. 1.

ἄφθιτον

ἄφθιτον	Καὶ τὸ μὲν ἠέλιος γέρας ἄφθιτον ᾔει τεύχων.	Calab. lib. 5.
ἀγακλειτόν	Τοὔνεκά μιν πέσκον ἀγακλειτοῖς γεράεσσιν.	Idem lib. 7.
περικαλλές	Ὄφρα οἱ ἐκ πολέμοιο γέρας περικαλλὲς ἄροιτο.	Idem lib. 14.
θεόσδοτον	Ἔμπαγε μὴν γέρας ἐστὶ θεόσδοτον, ὕβελος ἐκ- (τός.	Nazianz.
λαμπρόν	Γέρας τὸ λαμπρὸν τῆς ἀρχιεροσύνης.	Niceph.
τιμῆεν, &c.	Τιμήεντα διδοὺς καὶ πολύολβα γέρα.	Musurus.
ἐπίηρον	Δῶκαν ἔχειν ἐπίηρον ἀμειβόμενοι γέρας ἀνδρί.	Lesches.
ἀγλαόν	Ὧι ἐπὶ σὸν γέρας ἕσπητ' ἀγλαόν.	Pind. Olym.
εὔαθλον	Μητέρες εὐάθλων γεράων, φρένες, οὐ κράτος ἥ-βης.	Christod.

Γερμανοί Germani.

ἀρειμανεῖς	Λευκά τε φῦλα νέμονται ἀρειμανέων Γερμα-νῶν.	Dionys.
ἀνδρογίγαντες	Γερμανῶν τε φάλαγγας ἀπείρονας ἀνδρογιγάν- (των.	Musurus.
ἐλλόγιμοι	Ὄρχαμε ἐλλογίμων Γερμανῶν, τοὺς μὲν Ἀθήνη.	M. Antonius
	Nonn. Dionys. σκολιοπλόκαμοι, ἐχέφρονες, ὀμβριμόθυμοι, δορυθαρσεῖς, εὐπήληκες, πῦρ πνείοντες, ἀρηΐφιλοι.	Antimachus

γέρων senex.

μεγάθυμος	Βουλὴν γὰρ πρῶτον μεγαθύμων ἷζε γερόντων.	Hom. Iliad. β
πολιοκρόταφος	Παῖδας πρωθήβας, πολιοκροτάφους τε γέροντας	Idem Iliad. θ
πολύτλητος	Νύμφαι τ', ἠΐθεοί τε, πολύτλητοί τε γέροντες.	idem Od. λ.
πολυπενθής	Καὶ σὺ γέρον πολυπενθὲς, ἐπεί σε μοι ἤγαγε δαί-μων.	idem Od. ξ.
πολυΐδρις	Αἰεὶ δ' ἐν βουλῇσι γέρων πολυΐδρις ἀμείνων.	Calab. lib. 5.
ἀμενηνός	Ἀλλ' ἀσκεμφὲς ἔκειτο γέρων ὡσεὶ ἀμενηνός.	Theoc. εἰδ. κε
πολιός	-- πολιοὶ δ' ἅμα τοῖσι γέροντες Ἕζοντ' εἰσορόωντες.	Calab. lib. 9.
πολύπειρος	Μείζων τὴν πινυτὴν πολυπείρων εἰμὶ γερόντων	Dolsc.
πολύμοχθος	Οὔτε γέρων πολύμοχθος ἄτερ σέο γίνεται ἀνήρ.	Orph. hym.
	Nonn. Dionys. λιποσθενής.	

γεωργία agricultura.

ἀδρά, εὔφορος	Ἀμᾶς μὲν ἀδρὰν εὔφορον γεωργίαν.	Cyr. Theod.

ἡδυπάθεια &c.	Xenoph. Oeconom. ἔοικε ἡ ἐπιμέλεια τῆς γεωργίας εἶναι ἅμα τε ἡδυπάθειά τις, καὶ οἴκου αὔξησις, καὶ σωμάτων ἄσκησις, εἰς τὸ δύνασθαι, ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει &c.	
	γεωργὸς agricola.	
ὀπωρολόγος	Ἡνίκα δῶμα πέλεν ὀπωρολόγοιο γεωργοῦ.	Opp. κυνηγ. α
ἀρουροπόνος	Καὶ τείνακας ξυλίνας χεῖρας ἀρουροπόνου.	Epigr. lib. 6.
	γῆ, supra γαῖα, αἶα.	
	γῆρας senectus.	
ὁμοίϊον	Ἀλλά σε γῆρας τείρει ὁμοίϊον.	Hom. Iliad. δ
λυγρόν	Ἄμφω τηλυγέτω, ὁ δ' ἐτείρετο γήραϊ λυγρῷ.	Idem Iliad. ε.
χαλεπόν	Σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ὀπάζει.	Iliad. θ.
λιπαρόν	Γήρᾳ ὕπο λιπαρῷ ἀρημένον.	Hom. Od. κ.
στυγερόν	Ἀλλ' ὅτε δὴ πάμπαν στυγερὸν κατὰ γῆρας ἐπείγειν.	Hom. h. Ve.
νηλειές	- τάχα γῆρας ὁμοίϊον ἀμφικαλύψει Νηλειές.	Ibidem.
οὐλόμενον &c.	Οὐλόμενον, καματηρόν, ὅτε στυγέουσι θεοί περ.	Ibidem.
δειλόν	Νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος, οὐδέ τι δειλὸν Γῆρας ἐπῆν.	Hesiod. li. 1.
ὠμόν	Εὗει ἄτερ δαλοῦ, καὶ ὠμῷ γήραϊ δῶκεν.	Idem lib. 2.
ὀλοόν	Μὴ γῆμαι ἐθέλων, ὀλοὸν δ' ἐπὶ γῆρας ἵκηται.	Id. Theog.
πολιόν	Πολιὸν δὲ γῆρας ἑκὰς Νέος ἐν νέοις χορεύσω.	Anacr.
χαρίεν	Χάριεν ῥόδων δὲ γῆρας Νεότητος ἔσχεν ὀδμήν.	Idem.
βαρύ	Σκληρὸν ὁ χρόνος ὁ πολὺ γῆρας βαρύ.	Menand.
ἐπαχθές &c.	Ὦ γῆρας ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ, Καὶ πανταχῇ λυπηρόν.	Pherecr.
εὐπρεσήγορον	Ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπρεσήγορον.	Anax.
ἄμορφον	-- ἄμορφον Αὐτίκ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται.	Theogn.
ἀργαλέον	Κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.	Idem.
ἐλεύθερον	Οἰόμενοι καὶ γῆρας ἐλεύθερον	Tryphiod.
ἀτερπές	Ὀχθήσει μέγα πένθος ἀτερπεῖ γήραϊ κύρσας.	Calab. lib. 3.
ἀμείλιχον	Ἀνέει, ὅν τάχα γῆρας ἀμείλιχον ἀμφὶ μέμαρψε.	Eod.

Σφόν

σοφόν	Ἐλθὼν εἰς ἀΐδην, ὅτε δὴ σοφὸν ἤνυσε γῆρας.	Epigr. lib. 1.
ὀκνηρὸν &c.	Ὀκνηρόν μοι ἔπλω καὶ γῆρας ἀφαυρὸν ἐπέλθῃ.	Dolsc.
ἠπεδανόν	Γήραος ἱκομένη πὰρ σχεδὸν ἠπεδανοῦ.	Ibidem.
ξηρόν	Καὶ θάλερ' ἔσσονται ξηροῦ ἐπὶ γήραος οὐδῷ.	Ibidem.
ἀμήρυτον	-- καὶ γῆρας ἀμήρυτον εἰς τέλος ἕλκω.	Apoll. lib. 2.
ὀρφαίον	Ὀρφαῖον κλαίω γῆρας ὀδυρομένη.	Epigr. lib. 3.
ῥικνῆεν	Γήραϊ ῥικνήεντι κατάσχετοι.	Christod.
νουσοφόρου	Γήραϊ νουσοφόρῳ βελθομένης παλάμης.	Epigr. lib. 6.
τρομερόν	Δῶρα φέρε, τρομεροῦ γήραος ἀντίπαλα.	Eod.
εὔθυμον	Φέρειν γῆρας εὔθυμον εἰς τελευτάν.	Pind. Olym.
ἀπεχθόμενον	Εἰ μὴ θανατόν τε φυγεῖν, καὶ γῆρας ἀπεχθόμενον.	Idem Nem
αἰνόν	Νῦν δ' ὥς τίς τε λέων ὑπὸ γήρως ἄχθομαι αἰνοῦ.	Calab. lib. 2.
πολύτλητον	Γήραϊ γὰρ καθύπερθε πολυτλήτῳ βεβαρύτο.	Eod.
καμπυλόεν	Νούσῳ τε στυγερῇ, καὶ γήραϊ καμπυλόεντι.	Nazianz.
ἀδρανέον	Οὐκ ἄλκαρ παθέων, οὐ γήραος ἀδρανέοντος.	Idem.
κατάμεμπτον	Τό τε κατάμεμπτον ἐπιλέλογχε πύματον, ἀκρατὲς, ἀπροσόμιλον, γῆρας ἄφιλον.	Soph. Oed. Colon.
δυσπάλαιστον	Ὦ δυσπάλαιστον γῆρας ὡς μισῶ σ' ἔχων.	Eurip. Supp.
δύσκολον	Ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ, ἔν τ' ὄμμασι σκυθρωπόν.	Idem Bacch.

γῆρυς vox, sonus.

ἀμοιβαίη	Μοῦνος ἀμοιβαίην ἀνεβάλλετο γῆρυν ἀνοίξας.	Tryphiod.
κραιπνή	Κραιπνὴ Ἀαρωνίτης ἀδελφικὴ ἤπυε γῆρυς.	Cyr. Theod.
κραιπνοβάτης	Αὐτὰρ ἐμὸν βραδύγλωσσον ἐπὶ στόμα γῆρυν ὀπάσσῃς Κραιπνοβάτην.	Idem.
ἐρόεσσα	Ἀλλ' ἐρόεσσα τεοῦ γῆρυς ἐμ' ἐστὶ νόμου.	Dolsc.
ῥιγεδανή	-- τοῖς δ' οὔ νύ τι γῆρυς ἐτύχθη Ῥιγεδανή	Apoll. lib. 4.
ἀμειδής	Παρδαλίων δ' οὐ γῆρυν ἀμειδέα πεφρίκασι.	Opp. κυνηγ. β.
δακρυόεσσα	Κύμασι δακρυόεσσαν ἐπὶ στόμα γῆρυν ἵησι.	Idem ἁλ. δ.
ἀηγινόεσσα	-- ὃς δέ κε γῆρυν ἐν οὔασιν ἀηγινόεσσαν.	Idem ἁλ. α.
πολύχορδος	Ὑμνεῖ πολυχορδοτάτᾳ γήρυϊ παιδολέτωρ μελοποιὸς ἀηδονίς.	Eurip. Rhes.

Γηρυονεύς Geryon.

τρικέφαλος	Χρυσάορ δ' ἔτεκε τρικέφαλον Γηρυονῆα.	Hesiod. Th.
ἀκάματος	Εν δὲ καὶ ἀκαματοιο δέμας πέλε Γηρυονῆος.	Calab. lib. 6.
ἀγήνωρ	-- οἵ ποθ' ἵκοντο Γηρυόνος μετὰ πότμον ἀγήνορος.	Dionys.
τρισώματος	Βέλεσί τ' ἀμφέβαλε τὸν τρισώματον, οἷσιν ἔκτα βοτῆρ' ἐρυθείας.	Eurip. Herc. furente.

Nonn. Dionys. τρίλοφος.

γίγαντες gigantes, γίγας.

ὑπέρθυμος	Ος ποθ' ὑπερθύμοισι γιγάντεσσιν βασίλευεν.	Hom. Od. η.
ἀτάσθαλοι	Αλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον.	Eod.
γηγενεῖς	Γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα γιγάντων.	Hom. Batra.
κρατεροί	Αὖθις δ' ἀνθρώπων τε γένος, κρατερῶν τε γιγάντων.	Hesiod. Th.
ἀτειρεῖς	Μάρνατο ὥς τε γίγαντας ἀτειρέας.	Calab. lib. 2.
πηλόγονοι	Πηλογόνων ἐλατῆρα δικασπόλον.	Callimach.
ἄδικοι	Τεύχεα τῶν ἀδίκων λῦθ' ἀπὸ γηγενέων.	Idem.
σκολιοί	Γίγαντες σκολιοὶ μιαρῶς δύςφημα χέοντες.	Sibyll.
σίθωνες	Ρ' ίζαν γιγάντων σιθώνων κεκτημένοις.	Lycoph.

Nonn. Dionys. δρακοντόκομοι, ὑψίλοφοι, ὀδοντόφυτοι, ἀπέλεθρος, ὑψικάρηνοι, ὑψαύχενες, φλογόεις, αἰνογίγας πολύπηχυς, ἠλίβατοι, πολυαστερεῖς.

γλάγος, supra γάλα.

Γλαῦκος Glaucus.

ἀμύμων	Σαρπηδὼν δ' ἦρχεν Λυκίων, καὶ Γλαῦκος ἀμύμων.	Hom. Bœot.
φαίδιμος	Τὸν δ' αὖθ' Ιππολόχοιο προσηύδα φαίδιμος υἱός	Idem Iliad. ζ.
κρατερός	Τεῦκρος δὲ Γλαυκὸν κρατερὸν παῖδ' Ιππολόχοιο	Idem Iliad. μ.
μεγαλήτωρ	Ος Λυκίηθεν ἵκανεν ὑπαὶ μεγαλήτορι Γλαύκῳ	Calab. lib. 3.
ἀντίθεος	Αντιθέου Γλαυκοῖο φίλον, καὶ πιστὸν ἑταῖρον.	Idem lib. 8.
εὐμελίης	- καὶ ὡς κτάνε καρτερὸς Αἴας Γλαῦκον ἐϋμελίην.	Idem lib. 14.

Γλαῦκος *Glaucus, deus marinus.*

Nonn. Dionys. ἰχθυβολεὺς, ἀείζωος, ὑγρόβιος, πρόμος εὐρυγένειος ἀπόσπορος ἀνοσιγαίου.

γλαύξ *noctua.*

νυκτερίη	Καὶ φλόγες ἥσυχαι λύχνων, καὶ νυκτερίη γλαύξ.	Aratus.

γλῶσσα ἢ γλῶττα *lingua.*

ἀραιή	Λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ.	Hom. Il. π.
φιλοκέρτομος	Γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομος.	Musæus.
φειδωλή	Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος Φειδωλῆς.	Hesiod. li. 2.
δνοφερή	Γλώσσῃσι δνοφερῇσι λελειχμότες.	Id. Theog.
φιλολοίδορος	Φιλολοιδόροιο γλώττης Φεύγω βέλεμνα κοῦφα.	Anacr.
αὐδήεσσα	-- περῆσε δ' ἄρα στόμα χαλκὸς Γλῶσσαν ἔτ' αὐδήεσσαν.	Calab. lib. 11
μαψίδιος	Γλώσσης μαψιδίοιο χαριζόμενον παρ' οὖσι.	Theoc. εἰδ. λβ
ἑτοιμότ. βέλος	Γλῶσσαν ἐφοπλίζουσιν ἑτοιμότατον βέλος &c.	Nazianz.
ἀχάλινος	Εἰ δὲ χόλῳ πλήθοντι πέσοι νόος, ἠδ' ἀχάλινος Γλῶσσα θέοι.	Idem.
λάλος	Καὶ γλῶσσαί τις ἔδησε λάλον καὶ χείλεα σιγῇ.	Idem.
ἀχάριστος	Εὖ δὲ παθὼν, ἀχάριστον ἔχων γλῶτταν τε νόον τε.	Idem.
πολυηχής	Μῦθος δ' αὖ γλώσσης πολυηχέος εὖτ' ἀπορούσῃ.	Idem.
ἀδάμαστος	Γλῶσσαν ἔχων ἀδάμαστον, ἄναλκον.	Idem.
ἐπεσβόλος	Οὐ γλῶσσαν ἐφέηκα ἐπεσβόλον, οὔτε τι ῥέξα.	Idem.
μάργη	Γλῶσσα καὶ ἀπλαίστοισι κακὸν βάλε πολλάκι μάργη.	Idem.
εὔφημος	-- γλώσσην δὲ πέλω εὔφημον ἐγείροις.	Idem.
λιγεῖα	Χαῖρ' ἀγαθὴ κραδίη, χρυσοῦν στόμα, γλῶσσα λιγεῖα.	Cyr. Theod.
πῦρ πνέουσα	Ἢ γλῶσσαν εὑρὼν πῦρ πνέουσαν ζωγράφει.	Psellus.
μέλι σταλάουσα	Γλῶσσα μέλι σταλάουσα, Ὑμηττίου ἥδιον.	Cyr. Theod.

μιαρή	Χ' ὅσα μὲν ἡ μιαρὴ κέρτομα γλῶσσα λέγει.	Dolic.
κενηγόρος	Δόσσον ἐμ' ἀνθρώπων, οἷς γλῶσσα κενηγόρος ἐστί.	Idem.
εὐκέλαδος	Δεῖ πάντας γλώσσαις εὐκελάδοισι φέρειν.	Idem.
ἄθεσμος	Οἱ γὰρ κακοὶ στείλαντες ἐπ' αἰθέρα γλῶσσαν ἄθεσμον.	Sibyll.
διχόμυθος	Γλῶσσα δὲ οἱ διχόμυθος &c.	Diog. L.li. 1.
ψυδαλέη	Γλώσσης ψυδαλέης ὀλετὴρ ἐν πᾶσιν ἐτύχθης.	Apolinar.
ἐρόεσσα &c.	Τριπωλῆς δ' ἐρόεσσαν ὅλης εὐκύμονα γλῶσσαν.	Idem.
δολόεσσα	Γλῶσσαν ἀεὶ δολόεσσαν ἔχει περίφορτον ἀνίης.	Idem.
δολόφρων	Et mox: δολόφρων.	
μεγαλαυχής	Καὶ μεγαλαυχέα γλῶσσαν ὑπερφιάλων ἀλεγεινῶν	Idem.
οὐλομένη	Οὐλομένην δολεροῖσιν ἐν ἄλγεσι γλῶσσαν ἀέξων	Idem.
πολύμυθος	Γλῶσσαν ἀπαθαλίην μευ ἐπὴν πολύμυθον ὀρίνῃ	Idem.
ἡδυλόγος	Νέστωρ γὰρ γλώσσης ἡδυλόγου σοφίη.	Epigr. lib. 3.
κελαδῆτις	Εμαὶ γλῶσσαν εὑρέτω κελαδῆτιν.	Pind. Nem.
θοή	Θοαὶ γλῶσσαν. ὃς ἐξέπεμψας παλαισμάτων.	Ibid.
ἐλευθερόστομος	Σαφῆ δ' ἀκούεις ἐξ ἐλευθεροστόμου γλώσσης.	Æſch. Suppl
ἀκόλαστος	Ακόλαστον ἔχε γλῶσσαν, αἴσχιστην νόσον.	Eurip. Oreſt
ἄγγελος λόγων	Πρῶτον μὲν ἐνθεὶς σωύεσιν, εἶτα δ' ἄγγελον Γλῶσσαν λόγων δούς.	Id. Supplic.
πολυδαίδαλος	— πολυδαίδαλος αὐτοῦ Γλῶσσα συναρμόζει πᾶν κατὰ μοῖραν ἔπος. Nonn. Dionyſ. γλῶσσαν ἐῆς ἐπιμάρτυρα δίψης, ὀϊστεύουσα ἄλλον βέλος.	Matth. Illyr.

γλωχὶν *aculeus, ſpiculum, cuſpis.*

Nonn. Dionyſ. γειοτόμος, γηοτοφόνος, ὀξυτενής, διστότομος, ἀρραγής, αὐχενίη, μαρμαρέη, παιδοφόνος.

γναθμὸς, γνάθος *maxilla.*

κυκλωπία, ἀνδροβρώς	— τὸ κυκλωπίαν γνάθον Τὴν δ' ἀνδροβρῶτα δυστυχῶς ἀφιγμένοι.	Eurip. Cycl.
	Nonn. Dionyſ. ἀργιόδοις.	

γνώμη

	γνώμη gnome, dictio πολύσημος.	
ἔμπεδος	Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί.	Theogn.
ἰθεῖα	Ἰθείη γνώμη στήθεσιν ἐμπεφύη.	Idem.
πολύβουλος	Γνώμα πεπιθὼν πολυβούλῳ.	Pind. Isthm.
δύσφορος	Ἐγὼ σφ' ἀπείργω, δυσφόροις ἐπ' ὄμμασι Γνώμας βαλοῦσα.	Soph. Aiace.
	γνωτοί consanguinei.	
ἐέλπιμοι	Αἱ δ' ἄρ ὑπὲρ παίδων, ἠδὲ γνωτῶν ἐελπίμων.	Calab. lib. 10
προτερηγενεῖς	Τῷ τοι καὶ γνωτοὶ προτερηγενέες περ ἐόντες.	Callimach.
	γόμφος clauus.	
πολύκμητος	Ἀνέρες ἄσπετα δεσμὰ πολυκμήτων ἀπὸ γόμφων	Calab. lib. 11
σιδηροφόρος	Ὄρθιος οὗτος ὄλοιτο σιδηροφόρων ἀπὸ γόμφων.	Nonnus.
κρατερός	Ὄφρα νοπαθέντα κρατεροῖς ἀνέχοιατο γόμφοις	Apoll. lib. 1.
θοός	Ὡς δ' ὅτε νήϊα δοῦρα θοοῖς ἀντίξοα γόμφοις.	Idem libr. 2.
ἐχετλήεις	Καὶ βουπλῆκτην ἄκαιναν, ἐχετλήεντά τε γόμφον	Epigr. lib. 6.
	γόνυ, γόνατα, ἢ γούνατα genua.	
λαιψηρά	Γνῶ ῥ' ἄνδρας δηΐους, λαιψηρὰ δὲ γούνατ' ἐνώμα.	Hom. Il. x.
ἐλαφρά	Ταῦτ' ἐσορῶν, κραδίην εὖ πείσομαι, ὄφρα τ' ἐλαφρὰ Γούνατα.	Theogn.
ἱκετήσια	Οὐδ' ὀρθοὶ κτείνοντο, χαμαὶ δ' ἱκετήσια γοῦνα	Tryphiod.
στιβαρά	Βρόντεω τε στιβαροῖσιν ἐφεσσαμένου γονάτεσσιν.	Callimach.
χλωρά	Λευκαίνων τε χρόνος, ποιεῖν τι δεῖ, οἷς γόνυ χλωρόν.	Theoc. εἰδ. ιδ.
ψυχρά	Ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι.	Id. εἰδ. 15.
ἀκαμπῆ	Καί οἱ ἀνάπλιῶσαι, καὶ ἀκαμπέα γουνάτ' ἐρεῖσαι	Orph. Arg.
ἀκροπαγῆ	Ἀκροπαγῆ κάμπτοισι συνήορα γουνάτα γαίῃ.	Nonnus.
νωθρά	Κέκλιτο νωθρὰ φέρων πεπεδημένα γούνατα νούσῳ	Idem.
θοά	-- ὅτε μὲν θοὰ γουνάτ' ἔπαλλεν Συνεχέως.	Apoll. lib. 1.

ἀσκύλα	Ῥικνὰ ποδῶν σείουσα, καὶ ἀσκύλα γούνατα μόχθῳ	Opp. ἁλ. ε.
εὔφορτα	Γούνασιν εὐφόρτοισι, καὶ ἔσκασι κουφοτέροισι,	Idem κυνηγ. δ.
κραιπνοπόρα	-- ἀλλὰ καὶ ἔμπης	Cyr. Theod.
	Γούνασι κραιπνοπόροισι φέρᾳ.	
σφαλερά	Ἄχρις ἐπὶ σφαλεροῦ ζωροπότης γόνατος.	Epigr. lib. 2.
	Nonn. Dionys. ἀνεμώδεα, δοῦλα.	

γονή *fœtus, semen, genitura.*

ἄχραντος	-- ὄφρα νόμον ἀνδρομέου τελέσῃ	Nazianz.
	Ἀχράντοισι γονῇσι.	
τελεσσίγαμος	-- οὐ βροτέης γὰρ Εἰμὶ τελεσσιγάμοιο γονῆς.	Nonnus.
εὔκαρπος	Θεσμοῖς τ' εὐφυέεσσι, καὶ εὐκάρποισι γονῇσι.	Opp. ἁλ. β.
ἄρρητος	Ἣν Ζεὺς ἀρρήτοισι γοναῖς τεκνώσατο κούρην.	Orph. hym.
	Nonn. Dionys. θηλύτοκος, πολύπαις, παιδοτόκος.	

γόνος *filius, proles, stirps.*

ἠΰς	Ἀλλ' ὅτε δὴ γίνωσκε θεοῦ γόνον ἠῢν ἐόντα.	Hom. Il. ζ.
θαλερός	Ποίει δ' εἰσοπίσω θαλερὸν γόνον.	Id. h. Ven.
ἱμερόεις	Ἱμερόεντα γόνον περὶ πάντων οὐρανιώνων.	Hesiod. Th.
αὐτογένεθλος	Γηραλέης κονίης ξεῖνον γόνον αὐτογένεθλον.	Nazianz.
γλυκερός	-- γλυκεροῦ πλῆσε γόνοιο δόμον.	Idem.
τηλύγετος	Ὡς δ' ὅτε τηλύγετον μήτηρ γόνον, ἠδὲ καὶ ἀκοίτην.	Opp. ἁλ. δ.

γόος *lamentatio, luctus, ploratus.*

ἄρρητος	Ἄρρητον δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.	Hom. Il. ρ.
ἀδινός	Τοῖσι δὲ Πηλείδης ἀδινοῦ ἐξῆρχε γόοιο.	Id. Iliad. σ.
κρυερός	Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.	Iliad. ω.
ἀλίαστος	Ὣς ἔφατο κλαίουσα· γόον δ' ἀλίαστον ὄρινε.	Eod.
δακρυόεις	Παῦσέ κε κλαυθμοῖο, γόοιό τε δακρυόεντος,	Hom. Od. δ.
ὀϊζυρός	Ἐκ τοῦ δ' οὔπω παύσατ' ὀϊζυροῖο γόοιο.	Odyss. θ.
ἱμερόεις	Πᾶσιν δ' ἱμερόεις ὑπέδυ γόος.	Odyss. κ.
θαλερός	Μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε, οἶδα καὶ αὐτή.	Eod.
πολυδάκρυτος	Ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο.	Odyss. τ.

ἀπείρατος

ἀπείρετος	Ἐπῆχες ἄρτι τοῖς ἀπειρέτοις γόοις.	Galeomy.
ἄληκτος	Καὶ ῥόος Αἰσήποιο, γόος δ' ἄληκτος ὀρώρει.	Calab. lib. 2.
λαρός	Ὡς τῶν μυρομένων λαρὸς γόος ἀμφιδεδήει.	Idem lib. 13.
δυσηχής	Νῦν μὲν ἀποσχώμεσθα δυσηχέος αἶψα γόοιο.	Idem lib. 3.
ἀεικής	Ἀλλὰ γόου λήσασθαι ἀεικέος, οὕνεκ' ἄμεινον.	Idem lib. 5.
ἐλεεινός	-- ἔνθ' ἐλεεινὸν Ἄμφω ἐπαλλήλοισι θέσαν γόον.	Apoll. lib. 3.
κινυρός	Μύρονται κινυρὸν μέλεαι γόον.	Id. lib. 4.
ὀξύς	Νυκτὸς δ' αὖ γόον ὀξὺν ὀδυρομένων ἐσάκουον.	Eod.
πολύστονος	Ἂ ἃ πολυστόνων αἰὼν ἰαχὰν γόων.	Nazianz.
ἐρικλάγκτης	Σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον.	Pind. Pyth.
ὀξύτονος	Ἐκτόποις ἴσχουσα πτέρυγας ὀξυτόνων γόων.	Soph. Elect.
ψυχαγωγός	Καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις.	Æsch. Pers.
οἰωνόθροος, ὀξυβόας	Ἢ ζὰς οἰωνόθροον γόον ὀξυβόαν &c.	Id. Agamem

Γοργώ Gorgo, Γοργόνες.

βλοσυρῶπις	Τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο.	Hom. Il. λ.
ἀναιδής	Ἐν δ' ἄρα Γοργόνες ἔσκον ἀναιδέες.	Calab. lib. 5.
λιθοδερκής	Ἁ προτομὰ Γοργοῦς λιθοδερκέος ἆθλον ἔρωτος	Epigr. lib. 4.
θρασεῖα	Θρασειᾶν Γοργόνων οὔλιον θρῆνον διαπλέξαισ' Ἀθάνα·	Pind. Pyth.
κατάπτεροι, δρακοντόμαλλοι	Πέλας δ' ἀδελφαὶ τῶνδε τρεῖς κατάπτεροι Δρακοντόμαλλοι Γοργόνες βροτοστυγεῖς.	Æsch. Prom.
καρατόμος	Καὶ μὴν προτείνω Γοργόν' ὡς καρατόμῳ.	Eurip. Alcest
Λίβυσσαι	Λεαίνας δέ γε τινὸς ἢ Γοργόνων Λιβυσσᾶν γένος.	Id. Bacch.
Τιθάρσιαι	Διασπάσονται Γοργόνες Τιθάρσιαι.	Arist. Ranis.
ὀψοφάγοι &c.	Γοργόνες ὀψοφάγοι βατιδοσκόποι.	Idem Pace.
Περσηΐς &c.	Γοργόνα γὰρ Περσηΐδα δρακοντοέθειραν ἀκούεις Παρθένον, ἀργαλέην, ἐρεβώπιδα, κῆρα μέλαιναν.	Orph. λιθ.

Nonn. Dionys. χρυσόχορος, ἀνδροφόνος.

γουνάζω, supra γονάζω.

γραΐδιον, γραῖα, γραῦς anus.

παλαιγενής &c	Γρηῒ δέ μιν εἰκυῖα παλαιγενέϊ προσέειπεν Εἰροκόμῳ.	Hom. Il. γ.

πυκιμηδής	Καὶ τὸ μὲν γραίης πυκιμηδέος ἔμβαλε χερσίν.	Idem Od α.
καμινῷ	Γρηῒ καμινοῖ ἶσος, ὃν αὖ κακὰ μητισαίμην.	Odyss. σ.
ἐγγαστρίμυθος νερτερόμαντις	Ἐγγαστριμύθῳ νοῦ ληρεῖς γραϊδίῳ. & paulo post sequitur: νερτερόμαντις.	Cyr. Theod.
πολύμυθος	Ἡ πολιὴ κροτάφοισι Κοτυτλαεὶς, ἡ πολύμυθος Γραῖα.	Epigr. lib. 2.
δύσκωφος	Τὴν δύσκωφον γραῖαν Ὀνήσιμε, πρὸς Διὸς ἔξω	Eod.
πλουσία σορός	-- ὅτι πᾶσα Ἔγκληρος γραῖα, πλουσία ἐστὶ σορός.	Eod.
	γράμματα literæ.	
ψυχῆς ἰατρός	Ψυχῆς ἰατρὸν κατέλιπεν τὰ γράμματα.	Philemon.
ἀκρίβεα	Ποῖοι ζωογράφοι τἀκρίβεα γράμματ᾽ ἔγραψαν	Theoc. εἰδ. ιε.
φωνήεντα	- καὶ οὐ προέρχεσθε μαθόντες Γράμματα φωνήεντα	Nonnus.
κωφά	Κωφὸν δὲ στήλη γράμμα λέλογχε τόδε.	Epigr. lib. 3.
	γραμματική grammatice.	
βαρύμοχθος	Λίτραν ἐσθίων ζήσας μετὰ γραμματικῆς βαρυμόχθου.	Epigr. lib. 1.
ἄπορος	Γραμματικῆς ἀπόρου, καὶ γαμετῆς μαχίμου.	Epigr. lib. 2.
φισίζωος	Ἵλαθι γραμματικὴ φισίζωε, ἵλαθι Μούσῃ.	Ibidem.
	γραμματικοί grammatici.	
μώμου τέκνα	Γραμματικοὶ μώμου στυγίου τέκνα, σῆτες ἀπαύτων.	Epigr. lib. 2.
τελχῖνες βίβλων	Τελχῖνες βίβλων, Ζηνοδότου σκύλακες.	Eod.
καλλ. στρατιῶται	Καλλιμάχου στρατιῶται, ὃν ὡς ὅπλον ἐκτανύσαντες.	Eod.
συνδ. θηρήτορες	Συνδέσμων λυγρῶν θηρήτορες, οἷς τὸ μὶν, ἢ σφίν.	Ibidem.
ἀλιτροί	Τείβοισθ᾽ εἰς αἰῶνα, κατατείζοντες ἀλιτροί.	Ibid.
περίεργοι &c. σῆτες ἀκανθοβ.	Γραμματικῶν περίεργα γένη, ῥιζώρυχα μούσης Ἀλλοτρίης, ἀτυχεῖς σῆτες ἀκανθοβάται,	Ibid.
κηλῖδες &c. πικροὶ &c.	Τῶν μεγάλων κηλῖδες, ἐπ᾽ Ἠρίννῃ δὲ κομῶντες, Πικροὶ καὶ ξηροὶ, Καλλιμάχου πρόκυνες.	
ποιητῶν λῶβαι λαθροδάκναι	Ποιητῶν λῶβαι, παισὶ σκότος ἀρχομένοισι, Ἔρροιτ᾽ εὐφώνων λαθροδάκναι κόρεες.	Eod.

ἀοιδομάχοι

ἀοιδομάχοι &c	Τούτοις τοῖς παρὰ δεῖπνον ἀοιδομάχοις λογολέσχαις.	Eod. lib. 2.
ἀκανθολόγοι	Οἵ τ' ἀπ' Ἀριστάρχου σῆτες ἀκανθολόγοι.	Ibid.
παρακαδημιμάχοι	Ἴσο ἐλιτήκοι τοὺς παρακαδημιμάχους.	Ibidem.
	γραφὴ ἡ γραφίς *scriptura.*	
ἱρή, θεόπνευστος	Οὐδὲν τῶνδε γραφὴν τὴν ἱρὴν καὶ θεόπνευστον.	Dolsc.
ἀείμνηστος	Χρυσείαις γραφίδεσσιν ἀειμνήστοισι γεραίρειν.	Epigr. lib. 4.
Ἀπέλλειος	Κύπριν Ἀπελλείου μόχθον ὅρα γραφίδος.	Eod.
	γύαλον *penu, concauitas thoracis.*	
μεγαλάμπεπλον	Χαῖρε μεγαλαμπέπλοις Εὐελπίδη ἐν γυάλοισιν.	Epigr. lib. 3.
καρποφόρον	Δηλίας ἐν καρποφόροις γυάλοις χρυσοκόμαν.	Eurip. Iph. T
	Γύγης *Gyges.*	
ἄατος πολέμοιο	Κόττος τε Βριάρεώς τε, Γύγης τ' ἄατος πολέμοιο	Hesiod. Th.
	γύη *iugerum.*	
πυροφόρος	Πυροφόροι τε γύαι, καὶ ἀλωαὶ δενδρήεσσαι.	Theoc. εἰδ. λβ
πίων	Πίονας εὐαρότοιο γύας πεδίοιο ταμοίμην.	Apoll. lib. 2.
θερείποτος	Ἐπόψεται δὲ τὰς θερειπότους γύας.	Lycophr.
βαθυσπόρος	Νοτὶς ἐπέρχεται γαίας δίρκας χλοηφόρους, καὶ βαθυσπόρους γύας.	Eur. Phœnis.
πολυπέλεθρος	Πολλῶν μὲν ἀρχὰς, πολυπελέθρους δέ σοι γύας λείψω.	Id. Alcest.
εὔιππος	Διέβα δὲ Φρυγῶν καὶ πρὸς εὐκάρπους γύας.	Id. Androm.
πολύχρυσος	Λιπὼν δὲ Λυδῶν τὰς πολυχρύσους γύας.	Id. Bacch.
	γυῖα *membra.*	
ἐλαφρά	Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας καὶ χεῖρας ὕπερθεν	Hom. Il. ε.
φαίδιμα	Καὶ μὲν τῶν ὑπέλυσε μένος, καὶ φαίδιμα γυῖα.	Iliad. ζ.
ἔμπεδα	Οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι.	Iliad. ν.
παναίολα	Φραζομένοις δ' ἐπὶ τοῖσι παναίολα γυῖα κομίζων	Tryphiod.
ἀμαιμάκετα	-- ἀμαιμακέτοις ἐνὶ γυίοις Ἔζεεν αἷμα κελαινόν	Calab. lib. 3.

ὄμβριμα	Θυμὸν τολμήεντα, καὶ ὄμβριμα γυῖα βαρυνθείς	Eod.
θοά	Ἀλλ' εἶθαρ θοὰ γυῖα βαρύνεται, οὐδέ τι μῆχος.	Idem lib. 4.
ὠκέα	Βαῖνε θοῶς ἐπὶ νῆα, φέρον δέ μιν ὠκέα γυῖα.	Idem lib. 7.
εὐήρεα	Κεδρίδας ἐνθρύπτων λιπόεις εὐήρεα γυῖα.	Nicand. Th.
τελεσφόρεα	Πρίν γ' ὅτ' ἂν ἡβήσωσι τελεσφόρεα γυῖα καὶ ἀλ	Opp. ἁλ. α.
	Nonn. Dionys. ἀθαλπέα. (κλω.	

γυνὴ mulier, γυναῖκες.

εὔζωνος	Χωόμενον κατὰ θυμὸν εὐζώνοιο γυναικός.	Hom. Il. α.
εὐειδής	Μιχθεὶς ἀλλοδαποῖσι γυναῖκ' εὐειδέ' ἀνῆγες.	Id. Iliad. γ.
ἄναλκις	Ἦ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις;	Iliad. ε.
καλλίζωνος	Ἄνδρες κίκλησκον, καλλίζωνοί τε γυναῖκες.	Iliad. η.
ἀμύμων	Δώσω δ' ἑπτὰ γυναῖκας ἀμύμονας ἔργ' εἰδυίας	Iliad. ι.
βαθύζωνος	Τέκνα δὲ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.	Eod.
χερνῆτις	Ἀλλ' ἔχον ὥστε τάλαντα γυνὴ χερνῆτις ἀληθής.	Iliad. μ.
πολυμνήστη	Οἶκόν τε κλῆρόν τε, πολυμνήστην τε γυναῖκα.	Hom. Od. ξ.
ἀκηδέες	-- τοὶ δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσι.	Odyss. ρ.
πυγοστόλος	Μὴ δὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω.	Hesiod. lib. 1
ἀγνώμων &c.	Ἀγνώμον', ὀργίλην, χαλεπὴν ἐὰν τύχῃ λαβών.	Menand.
εὔμορφος (νος	-- πᾶσα δ' εὔμορφος γυνὴ Ἔρωτα φοιτᾷ.	Eubulus.
τευτλοκομπά-	Τευτλοκομπάνος θρεπταμενακύλλια.	Idem.
δειπνολόχη	-- τοῦ δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο Δειπνολόχης.	Hesiod. lib. 2
πολύστονος	Οὕνεκα ἔοικε γυναικὶ πολυστόνῳ.	Calab. lib. 1.
αἰδοίη	Ὦ γύναι αἰδοίη, μὴ δή νύ με τειρόμενόν περ.	Idem lib. 10.
εὔκομος	Ἀτρείδης ὀάριζε μετ' ἠϋκόμοιο γυναικός.	Idem lib. 14.
δῖα	Δῖα γυνή, τὸ μὲν οὐ παλινάγρετον αὖθι γένοιτο.	Callimach.
εὔφορος &c.	Εὔφορος ἠδὲ ταχεῖα, περίδρομος, εἶδος ἀείση.	Phocyll.
ἄγριος	Ἡ δὲ κύων, χαλεπή τε καὶ ἄγριος.	Idem.
βαρύθυμος	Τὰν δὲ γυνὰ βαρύθυμος ἀμείβετο δακρυχέουσα	Callimach.
ἀσκητὴ πέπλῳ	Ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι, πὰρ δέ οἱ ἄνδρες.	Theoc. εἰδ. α.
τρίγαμος	Ὅσον παρθενικὴ προφέρει τριγάμοιο γυναικός.	Idem εἰδ. ιβ.

ἄστοργος

ἄστοργος	Ἀστόργου δὲ γυναικὸς ἐπ' ἀλλοτρίῳ νόος αἰεί.	Idem εἰδ. ιζ.
πανάποτμος	Οἷα γυνὴ πανάποτμος ἀναψύξαιμι φίλον κῆρ	Idem εἰδ. κϛ.
οἰκωφελής	Γυναιξὶ νόος οἰκωφελέεσσι πρὸς ἐπήβολος.	Id. εἰδ. λδ.
ἀκριτόμυθος (τη	Μηδέ μιν ἀκριτόμυθον ἑταιρείσσαιο γυναῖκα.	Naumach.
σύμφωνος ἀκοί-	Οὕτως οὐδέποτ' ἐστὶ γυνὴ σύμφωνος ἀκοίτῃ.	Epigr. lib. 1.
κακόγλωσσος	-- σὺ δὲ τέκνα κακογλώσσοιο γυναικὸς Ἔλλαχες.	Callimach.
θεόγλωσσος	Τὰς δὲ θεογλώσσους Ἑλικὼν ἔθρεψε γυναῖκας.	Epigr. lib. 1.
φιλόξενος	Ὅσσον ἀφύσσετο χερσὶ φιλοξείνοιο γυναικός.	Nazianz.
ζυγίη	Αὐτὴ δὲ παρθενικῆς γε γυνὴ ζυγίη καλέεσθαι.	Idem.
πρηνή &c.	Πρηνή, μαρμαρόεσσα, μεγάλαχος, μιλτοπάρηε.	Idem.
δολόεσσα &c.	Δειπνολόχην, δολόεσσαν, ἀναιδέα, μειλιχόμυθον,	Id. κατὰ γυναι-
περιπ. ὀλοή &c.	Περιπωλὴν ὀλοήν, δαλὸν ἀειφλεγέα.	κῶν.
πολύανδρος	-- ἀγκυλόμητιν ἀμοιβαίῳ τινὶ μύθῳ	Nonnus.
	Ἰησοῦς πολύανδρον ἐπελείπιζε γυναῖκα.	
ἐγερσίνοος	Μαρτυρίην ἀΐοντες ἐγερσινόοιο γυναικός.	Idem.
βαρύφορτος	Ὅττι γυνὴ βαρύφορτος ἄχος περὶ θυμὸν ἑλίσ-	Idem.
	σει.	
κακότεχνος	Τίπτε γύναι κακότεχν' ὀλοὸν γένος.	Cyr. Theod.
δύσπαις &c.	Δύσπαις, σχετλιότεκνε, κακηλεχές, οὐ κατὰ μοῖραν	Idem.
φλαυροτόκεια	Ὠδῖνας. & paulo post, φλαυροτόκεια.	
ταλαεργός	Οἷα γυνὴ ταλαεργὸς ἀφυσσαμένη πόμα γαίης.	Nonn. Dion
περικαλλής	Ἀλλ' ὥστ' ἠΐθεοι περικαλλέος ὄμμα γυναικός.	Opp. ἁλ. δ.
νυμφοκόμος	Ὡς δέ τις ἠϊθέων ὑπὸ νυμφοκόμοισι γυναιξί.	Id. κυνηγ. α.
καλλιπλόκαμος	Ἄνδρες τε κρατεροί, καλλιπλόκαμοί τε γυναῖκες	Castalio.
δολοφρονέουσα	Μηκέτι πιστὰ φέροιτε γυναιξὶ δολοφρονεούσαις.	Epigr. lib. 1.
ἀνδροφόνος	Λυμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων.	Pind. Pyth.
καλλίκομος	Καὶ γυναιξὶ καλλικόμοισιν ἀεισεύει.	Id. Nem.
ἄμορφος	Ὁ τὴν γυναῖκα τὴν ἄμορφον δυστυχῶν.	Epigr. lib. 2.
τανύπεπλος	Τῶν τινα καρρέζουσα Ἀχαιϊάδων τανυπέπλων.	Hom. Il. ε.
ἀπειλητήρ	Ὤ μοι ἀπειλητῆρες Ἀχαιΐδες, οὐκ ἔτ' Ἀχαιοί.	Id. Iliad. η.
τανυπλοκαμίς	Τάων αἳ πάρος ἦσαν ἐϋπλοκαμῖδες Ἀχαιαί.	Odyss. β.
βαθύκολπος	Καί τινα Τρωϊάδων, καὶ Δαρδανίδων βαθυκόλ-	Hom. Il. σ.
	πων.	
φιλοίκτιστον	Δάκρυε, κάρτα τοι φιλοίκτιστον γυνή.	Soph. Aiace.
ὁμόλεκτρος	Εἰ τόνδ' ἀποκτείνειεν ὁμόλεκτρος γυνή.	Eurip. Orest

ἀθλιώτατον φυτ	Γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν.	Id. Medea.
εἰς ἐσθλ' ἀμήχανοι &c.	Γυναῖκες, εἰς μὲν ἔσθλ' ἀμηχανώταται, Κακῶν δὲ πάντων τέκτονες σοφώταται.	.Ibid.
	Nonnus Dionys. ἐρωμανέοντες, φιλόκλαυστοι, χαμαιγενεῖς, φιλόθρηνοι, ἀεισώδινες, ἀγλαόδωροι, ἐγερσίμοθοι, ἀθώρηκτοι, κορυμβοφόροι, βαρύτλητοι, φιλοκρόταλοι, ἁβροχίτωνες, κισσοφόροι, ἐρωμανεῖς, θρηνομανεῖς, ἑλκεχίτωνες, ἀχάλινοι, ζηλήμονες, παίζουσα, χοροίτυπος, χοροπλεκεῖς, λυσίκομοι, φιλότεκνοι, βαρύφορτοι.	

Γυρτὼν *Gyrton, vrbs Thessaliæ.*

ἀφνειὴ	Ἤλυθε δ' ἀφνειὴν προλιπὼν Γυρτῶνα Κόρωνος.	Apoll. libr. 1.
ἀλιστεφής	Ἄλκωνος δὲ Φάληρος ἀπ' Αἰσήποιο ῥοάων Ἤλυθεν, ὃς Γυρτῶνος ἀλιστεφὲς ἔκπσεν ἄστυ.	Orph. Arg.

Δ.

Δαβὶδ *Dauid.*

ἀεισογόνος	-- ἢ ῥάνυ Δαβὶδ Οὗτος ἀεισογόνοιο βοώμενος υἱὸς ἱκάνει. (βίδ.	Nonnus.
λυροκτύπος	Πατρίδος ὁππόθι δῶμα λυροκτύπος ᾤκεε Δα	Idem.
θρασυκάρδιος	Ὦ μέγα τολμῆεν θρασυκαρδιώτατε Δαβίδ.	Cyr. Theod.
προφητάναξ	Ὃς τὸν προφητάνακτα Δαβὶδ βλαστάνει.	Niceph. Xan
ταπεινός	Δαυὶδ ταπεινὸς ἐν θυσιαστηρίῳ.	Idem.
γεραρός	Δαυὶδ γεραρὸς, Ἀβισὰκ ἡ παρθένος.	Idem.
ψαλμογράφος	Ψαλμογράφος δηλοῖ ἐνθάδε πᾶσιν ἄναξ.	Dolsc.
θεόσσυτος	Idem Dolscius vocat eũ θεόσσυτον ἀοιδόν	
μάχλος, ἀνδροφόνος	Μάχλος κἀνδροφόνος γεγονὼς, ὡς ἤθετο θείης &c.	Idem.

Ιεσσαΐδης

Ἰεσσαΐδης	Ὅσσ᾽ ὁ Ἰεσσαΐδης δάκρυσι δευόμενος.	Idem.
πολύπλαγκτος	Μυρί᾽ ὁρᾷς πάγχυ πολύπλαγκτον ἐόντα Δαβίδον	Idem.
κρατερός	Δαβίδου κρατεροῖο δυωδέκατος πέλεν ὕμνος.	Apolinar.
στιβαρός	Δαβίδου στιβαροῦ τρεισκαιδέκατος πέλει ὕμνος.	Idem.
πινυτός	Δαβίδου πινυτοῦ δέκατος καὶ τέτρατος ὕμνος.	Idem.
χαρίεις	Δαβίδου χαρίεντος ἐπὶ στήλης ἐριτίμου.	Idem.
καλλίνικος	Τῷ καλλινίκῳ τοῦτο Δαβίδῳ μέλος.	Idem.
θεοτερπής	Δαβίδου πινυτοῦ θεοτερπέος ἄξιος ὕμνος.	Idem.
μενέχαρμος	Στήλης ἧς μενέχαρμος ὑπὲρ Δαβίδος ἔγραψε.	Idem.
μέγας	Αἶνον ἀγακλήεντα μέγας Δαβίδος ἔμελψε.	Idem.
ῥηξισθενής	Δαβίδου ῥηξισθενέος μετὰ δώμασι θῶκοι.	Idem.
ἀμύμων	Πρόσθεν ἀνακτορίης γεραρῆς Δαβίδος ἀμύμων	Idem.
περικλεής	Δαβίδου πινυτοῦ περικλεέος ἐκτελυπεδσαι.	Idem.

δαίμονες *dæmones.*

στυγεροί	Δηρὸν τηκόμενος, στυγερὸς δέ οἱ ἔχραε δαίμων.	Hom. Od. ε.
χαλεποί	-- χαλεπὸς δέ τις ὤρορε δαίμων.	Id. Od. τ.
ἀγαυοί	Οἷά τ᾽ ἀγάσσεσθαι καὶ ἀγαυοῦ δαίμονος ἔργα.	Id. h. Merc.
ἄφθονοι	Οὕς κέ σὺ τιμήσῃς σεμνὴ θεά, ἄφθιτε δαίμον.	Id. hymn.
ἐσθλοί &c.	Ἐσθλοὶ ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων.	Hesiod. li. 1.
πλουτοδόται	Πλουτοδόται, καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.	Eod.
δῖοι	Νηοπόλον νύχιον ποιήσατο, δαίμονα δῖον.	Id. Theogon
φαυλοί	Εἰσὶν δ᾽ οἱ βουλῇ τ᾽ ἀγαθῇ, καὶ δαίμονι φαύλῳ.	Theogn.
διςώνυμοι	Τίς σε πάλιν κακόμαντιν διςώνυμος ἤγαγε δαί- μων;	Tryphiod.
ἐπίρροθοι	- οὕς τ᾽ ἐσάωσεν Ἤ θεὸς, ἢ δαίμων τις ἐπίρροθος	Calab. lib. 14
δεξιοί	Ἀλλ᾽ ὅκα Τριοπίδαισιν ὁ δεξιὸς ἄχθετο δαίμων.	Callimach.
σκληροί	Αἴ αἲ τῶ σκληρῶ μάλα δαίμονος, ὅς μ᾽ ἐλελόγχει.	Theoc. εἰδ. δ.
λυγροί	Οὕνεκεν ἡμετέροιο λυγροῦ μετὰ δαίμονος ἴσχες.	Idem εἰδ. κς.
θηροφόνοι	Δαίμοσι θηροφόνοισι παλίντροπος ἄρχομ᾽ ἀείδειν	Opp. κυνηγ. α.
σωτῆρες	Ποῦ δὲ σωτῆρες τότε δαίμονες ἔτρεπον ἄμμα.	Epigr. lib. 1.
νηλεεῖς &c.	Ἀλλά σε νηλεὴς καὶ βάσκανος ὤλεσε δαίμων	Epigr. lib. 3.
ἀλεγεινόεντες	Δῶκε ἀνιηρόν τι Ἰήσονα πῆμα γενέσθαι Δαίμων ἀλεγεινόεις.	Apoll. lib. 4.
ἠγάθεοι &c.	Δαίμονά τ᾽ ἠγάθεον, καὶ δαίμονα πήμονα θνητῶν	Orph. hym.

ἄψυχοι	Δαίμονας ἀψύχοις νεκύων εἴδωλα καμόντων.	Sibyll. Orac.
ἀγελόθυμοι	Δαίμονες ἀνθρώπων δηλήμονες, ἀγελόθυμοι.	Procl. L. εἰς ἥλ
οὐράνιοι &c.	Δαίμονας οὐρανίους, καὶ ἠερίους, καὶ ἐφύδρους.	Orph. hym.
χθόνιοι	Καὶ χθονίους, καὶ ὑποχθονίους, ἠδὲ πυριφοίτους.	Idem.
θαλασσόποροι	Δαίμοσιν ἀγρόδοτησι θαλασσοπόροις πόρε Βαί- των.	Epigr. lib. 6.
πολιοσσοῦχοι	Ὦ μεγάλε Ζεῦ, καὶ πολιοσσοῦχοι δαίμονες. Nonnus Dionyſ. ἀγχιπλανεῖς, ἀγρονό- μοι, μανιώδεες.	Æſchyl. ἑπτὰ ἐπὶ Θήβαις.
	δαίμων dæmon.	
λυσσήεις, κακοεργός	-- καὶ ἔκποθι μυρία δαίμων Λυσσήεις κακοεργός. (γνων.	Nazianz.
δολόμητις	Ὥς καὶ ἐμοὶ δολόμητις, ἐπεὶ ζόφον ὄντα μιν ἔ-	Idem.
βάσκανος	Ὄρσας οἶδμα κελαινὸν, ὁ βάσκανος ἤλασε δαί- μων.	Idem.
ἀντίπαλος	--ἀλλά τι δαίμων Ζωῆς ἡμετέρης ἤλυθεν ἀντίπαλος.	Idem.
δυσμαχος	Ἤλυθες ὄφρα φάεις με φίλης τ' αἰῶνος ἀμέρ- σῃς Δύσμαχε.	Idem.
δολομήχανος	Φεῦγ' ἀπ' ἐμῆς κραδίης δολομήχανε, φεῦγε τάχιστα.	Idem.
κλώψ &c.	Κλὼψ, ὄφι, πῦρ, βελίη, κακίη, μόρε, χάσμα, δρά- κων, θὴρ, (φόνε.	Id. Nazianz.
ἀνδροφόνος	Νὺξ, λόχε, λύσσα, χάος, βάσκανε, ἀνδρο	
κακόχολος	Οὐ λήξεις λοχόων με κακόχολε, οὐκ ἐπὶ κρημνοὺς	Idem.
ἀγελόθυμος	Ἦχι πυρὸς ποταμοὶ, καὶ δαίμονες ἀγελόθυμοι.	Idem.
πάντων ὀλοώτ.	Αὐτοκασιγνήτης πάντων ὀλοώτατε δαῖμον.	Idem.
φθονερός	Πολλὰ μάλα φθονερῷ δαίμονι μεμφόμενον.	Idem.
βαρύστονος	Ἀλλ' ἔμπης εἰ καί με βαρύστονε δαῖμον ἐλαύνεις	Idem.
δυσμενής &c.	Apud eundem audiunt dæmones, δυσ- μενεῖς, ἀγελόθυμοι, σαρκοχαρεῖς, ἰλυόεντες: & μισάνθρωποι apud Baſiliū magnū.	
ἠέριος	-- τὸν νόου οἶστρος ἐλαύνει Δαίμονος ἠερίοιο.	Nonnus.

μελανίφρων

μελανίφρων	Δαίμονος οὐ μεθέπει μελανίφρονος ἦχος ἱμάσθλης.	Idem.
ἀλάστωρ	Δαίμονος ἠερόφοιτος ἀλάστορος οἶστρος ἐλαύνει.	Idem.
ἀχλυόεις	-- μὴ ἀχλυόεις ποτὲ δαίμων	Idem.
(σύνης	Ὀφθαλμοὺς ἀγαοῖο δυνήσεται αὐτὸς ἀνοῖξαι.	
πομπὸς ἀλιτρο-	Πομπὸς ἀλιτροσύνης ὅλον ἀνέρα δύσατο δαίμων.	Idem.
ἀρχέκακος	Δαίμονος ἀρχεκάκοιο δυσαντήτων ἀπὸ θεσμῶν.	Idem.
βροτοκτόνος	Καὶ μή μ' ἐάσῃς χάρμα τῷ βροτοκτόνῳ.	Naz. in Trag.
βροτοφθόρος	Καὶ χάρμ' ἔσεσθαι δυσμενεῖ βροτοφθόρῳ.	Idem.
πολύστονος	-- ὦ δαίμονος πολυστόνου μοίρας τε σᾶς γυναι.	Eurip. Helena.
	Nonn. Dionys. ἄστοργος, βαρύμηνις, δηϊοπερσέδηλος, ὑγρόπορος, χρυσώνιος.	

δαίς conuiuium.

ἐΐση	Δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.	Hom. Iliad. α
θάλεια	-- πίθοντο δὲ δαῖτα θάλειαν Πανάχαιοι.	Idem Iliad. η.
μενοεικής	Ἐς κλισίην, παρὰ δέ σφι τίθει μενοεικέα δαῖτα.	Idem Iliad. ι.
ἐπήρατος	Δαίνυσθ', ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν.	Eod.
πίειρα	Αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίῃς ἀρεσάσθω Πιείρῃ.	Idem Iliad. τ.
στυγερή	Ἀλλ' ἤτοι μὲν νῦν στυγερῇ πειθώμεθα δαιτί.	Iliad. ψ.
ἐρικυδής	Εὖ συναγειράμενοι δαίνυντ' ἐρικυδέα δαῖτα	Iliad. ω.
ἐρατεινή	Τοὺς δ' ἔρον, ἀμφίθ' ἕπον, τετύκοντο δὲ δαῖτ' ἐρατεινήν.	Hom. Od. θ.
ἀτερπής	Ἰχθῦς δ' ὡς πείροντες ἀτερπέα δαῖτα φέροντο.	Idem Od. κ.
πολύξεινος	Μηδὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι.	Hesiod. li. 2.
πολύκωμος	Στυγέω μάχας παροίνους Πολυκώμους κατὰ δαῖτας.	Anacreon.
ἄμβροτος	Ἄμβροτον ὡς ἐπάσαντο Δαῖτα ἐν εἰλαπίνῃσι	Calab. lib. 4.
θυμαρής	---ὦ ἐνὶ δαῖτας	Callimach.
	Αἰὲν ἐμοῖς ἑτάροισιν ἄδην θυμαρέας ἄξω.	
ἑτοίμη	Ἐξ εὐνᾶς ἐπάτευσεν ἑτοιμοτάτην ἐπὶ δαῖτα.	Theoc. εἰδ. ιϛ.
ζωαρκής	Πᾶσι δὲ πιναλέοισι δίδοι ζωαρκέα δαῖτα.	Apolinar.
θρεψήνωρ	Θυμῷ ἀποπλύξαντες ὅλην θρεψήνορα δαῖτα.	Idem.

γαμήλιος	Καὶ τηθὴ γε δαῖτα γαμήλιον &c.	Naziang.
γενέθλιος	Οὐδ' ἱερὴν ἐπὶ δαῖτα γενέθλιον, ἠὲ θανόντας.	Idem.
παχεῖα	Ἄσθμα κόροιο φέρων, ἄλλην ἐπὶ δαῖτα παχεῖαν.	Idem.
διψαλέη	Διψαλέην παρὰ δαῖτα, διχοστασίην ἡ μενοινῆς	Nonnus.
νυμφιδίη	Νυμφιδίην μετὰ δαῖτα μεθυσφαλέων ὑμεναίων	Idem.
μνωσθαδίη	Δαῖτα μνωσθαδίην ἀπεσείσατο ταῦτα βοήσας	Idem.
βιοτήσιος	Ἄλλην δαῖτα φέρω βιοτήσιον, ἣν ἐνὶ μύθῳ.	Idem.
παλιναυξής	Ἄρτων αὐτομάτων παλιναυξέα δαῖτα γεραίρων	Idem.
ταχυφθιμένη	-- ἐάσατε σύνδρομον αὔραις Δαῖτα ταχυφθιμένην.	Idem.
καταθύμιος	Καί σφισιν ἐλδομένοις καταθύμιον ὤπασε δαῖτα	Apolinar.
δυσπρεπής	Δαῖτα δ' ὑπ' ἀγκίστρῳ δυσπρεπέα πορσύνουσι	Opp. ἁλ. ε.
εὔδειπνος	-- ἵνα εὔδειπνοι δαῖτες, τί μάτην τείνουσι βοάν;	Eurip. Med.
	Nonn. Dionys. μυσιπόλος.	

δάκος dacos, *serpens venenosus, morsus.*

αἱμόρροον	Σῆμα δέ τοι δάκεος αἱμορρόον αὐτίκ' ἐνίσπω.	Nicand. Th.
βλοσυρόν	Οἷσιν ἐνισκήψῃ βλοσυρὸν δάκος.	Ibidem.
βλαβερόν	Ἀλλ' ἤτοι θέρεος βλαβερὸν δάκος ἐξαλέασθαι.	Ibidem.
φοινόν	Φοινὰ δάκη, κοίλη τε φάραγξ, καὶ τρηχέες αἰγμοί.	Ibidem.
ἀβληχρόν	Οὐ μὲν θὴν ἀβληχρὸν ἔχει δάκος.	Opp. ἁλ. β.
ὀλοόν	Παρδαλίων γαίης ὀλοὸν δάκος.	Idem ἁλ. ε.
σαλαμάνδρειον	Καὶ σαλαμάνδρειον δόλιον δάκος, αἰὲν ἀπεχθές	Nicand. Th.
αἰνοπέλωρον	Ὡς οἵγ' αἰνοπέλωρον ἀναψάμενοι δάκος ἄγωσι.	Opp. ἁλ. ε.

δάκρυ ἢ δάκρυον *lacryma.*

θαλερόν	Πλῆξεν, ὁ δ' ἰδνώθη, θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.	Hom. Iliad. β
θερμόν	Δάκρυα θερμὰ χέοντες ἀμαξάων ἐπάειραν.	Idem Iliad. η.
πικρόν	-- αὐτὰρ ὃ πικρὸν ὑπ' ὀφρύσι δάκρυον εἶβε.	Hom. Od. δ.
ἐλεεινόν	Ὣς Ὀδυσεὺς ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβε.	Odyss. θ.
λαθρίδιον	Δάκρυσι λαθριδίοισιν ἐπικλαύσαντες Ἀχαιοί.	Tryphiod.

ἀλεγεινόν

ἀλεγεινόν	-- τῆς δ' ἀλεγεινὸν Οὔποτ' ἐτέρπετο δάκρυ.	Calab. lib. 3.
πολύστονον	Ἐσθλὴ Δηϊδάμεια πολύστονα δάκρυα χεῦεν.	Idem lib. 7.
αἰνόν	Αἰνὸν ὁμῶς στοναχῇσι κατὰ βλεφάρων ῥέε δάκρυ.	Idem lib. 14.
αὐδηεόν	-- παρειῇσι δ' ἔπι δάκρυ Αὐδηέον περίκειτο.	Eod.
φιλόξενον	Φιλόξενον δάκρυον Ἰωσὴφ χέει;	Cyr. Theod.
φιλάδελφον	Οὐκ, ἀλλὰ φιλάδελφον ἐκχέω δάκρυ.	Idem.
δείλαιον	Εἰ δάκρυον δείλαιον ἐκβλύζειν θέλεις.	Idem.
πένθημον	Καρῶν δ' ἀλλαγὴν πένθημά τε δάκρυα πολλά.	Sibyll.
τέρεν	-- τέρεν δέ οἱ ἀμφὶ παρειὰς Δάκρυον αἰνοτάτῳ ἐλέῳ ῥέεν.	Apoll. lib. 3.
γοερόν	Καὶ γοεροῖς ἔπιον πόμα δάκρυσ' ὁμοῦ κεκεράσας	Apolinar.
δισδάκρυτον	Δάκρυα δισδάκρυτα. πολυκλαύτῳ δ' ἐπὶ τύμβῳ.	Epigr. lib. 3.
περιτύμβιον	Πολλά σοι ἐκ βλεφάρων ἐχύθη περιτύμβια φωτῶν Δάκρυα.	Eod.
χλωρόν	Εἶπ' Ἐρατὼ χλωροῖς δάκρυσι λειβομένα.	Eod.
λιαρόν	Θεσπέσιον λιαροῖσι παρηΐδα δάκρυσι δεῦε.	Apoll. lib. 3.
ψυχοτακές	Κλαῖε μάλα, στάζων ψυχοτακῆ δάκρυα.	Epigr. lib. 4.
κρυερόν	Γίνεσθαι κρυεροῖς δάκρυσι μυδαλέοι.	Epigr. lib. 7.
γλυκύ	Ὄμμα δὲ σῖγα πόθοις τὸ γλυκὺ δάκρυ φέρει.	Eod.

Nonn. Dionys. ῥυηφαὲς, αὐτόχυτον, ἄφθογγον, ἱκετήσιον, μελιηδές.

δάκτυλα, δάκτυλοι digiti.

ῥοδοειδέα	Ἠρέμα μὲν θλίβων ῥοδοειδέα δάκτυλα κούρης.	Musæus.
ἁπαλοί	Ὅτι δὴ γυναικὸς ἐπιφθύσης δακτύλους ἁπαλούς	Alexis.
εὔτροχα	Οὗτος ὁ τῆς πλαγκτῆρσιν εὔτροχα δάκτυλα παλμοῖς.	A. Polit.
μενεδήϊα	Τεῦξε δὲ νωϊτέρων μενεδήϊα δάκτυλα χειρῶν.	Apolinar.
θοά	Καί τις ἀνὴρ ἀγέρωχος ἔχων θοὰ δάκτυλα χειρός	Epigr. lib. 1.

Nonn. Dionys. νοήμων, μάρτυρ φωνῆς, ὀρχηστήρ, ὁμόπλοκα, πολύπλοκα, ῥοδόχροα, ἑτερότροπα, πολύτροπα, ἐκβόλα, ἁπαλόχροα.

δάκτυλος dactylus.

κοιλιφάραγξ.	Κοιλιφάραγγος δακτύλου πάσματι.	Eubulus.

	δαλός fax, lampas.	
αἰθόμενος	Ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσι.	Hom. Iliad. ν.
εὐφεγγής	Ἀγγελίην ἀνέφαινε Σίνων εὐφεγγέϊ δαλῷ.	Tryphiod.
ἀειφλεγής	Τερπωλὴν ὀλοὴν δαλὸν ἀειφλεγέα.	Nazianz.
ἐπιχάειος	Εὗρε, αὐγάζων δαλὸν ἐπιχάειον.	Epigr. lib. 3.
τηλαυγής	Πᾶσιν ὁδευομένοις τηλαυγέα δαλὸν ἀνάπτων.	Epigr. lib. 4.
	Nonn. Dionyſ. σελασφόρος, φεραυγής, λιγνυόεις, αἴθωψ, πυραυγής.	
	δαμάλη ἢ δάμαλις iuuencus.	
μυκωμένη	Ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι ὧδε ποθεῦνται.	Theoc. εἰδ. γ.
λευκή	Λευκαὶ ἐκ δαμάλαι καλὰ δέρματα, ἅσμοι ἁ πάσας.	Idem εἰδ. θ.
εὔγληνος	Ἀμφὶ μὲν εὐγλήνους δαμάλας βλοσυρῶπε.	Opp. κυνηγ. α.
λευκόστικτος	Λευκόστικτον ὡς δάμαλιν ἀμπέτραις μόσχω ἠλιβάτοισιν.	Æſchyl. Supplicib.
	δάμαρς uxor.	
κοινόλεκτρος	Ὅτε τὰν ὁμοπάτειον πιθὼν δάμαρτα κοινόλεκτρον.	Æſchyl. Prometh.
	Nonn. Dionyſ. εὔκραιρος.	
	Δανάη Danae.	
καλλίσφυρος	Οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης.	Hom. Iliad. ξ
ἠΰκομος	Ἐν δ' ἦν ἠϋκόμοιο Δανάης ἱππότα Περσεύς.	Heſiod. Scu.
καλή	Νύμφαι Πραξιτέλους, ἥ τε καλὴ Δανάη.	Epigr. lib. 4.
	Nonn. Dionyſ. Ιναχίη.	
	Δαναοί Danai	
θεράποντες Ἄρηος	Ὦ φίλοι ἥρωες Δαναοὶ θεράποντες Ἄρηος.	Hom. Iliad. ς
ταχύπωλοι	Καί ῥ' οὓς μὲν σπεύδοντας ἴδοι Δαναῶν ταχυπώλων.	Idem Iliad. δ.
ἴφθιμοι	Ιφθίμων Δαναῶν, ἵν' ὑπέρτερον εὖχος ἄρηαι.	Iliad. λ.
φιλοπτόλεμοι	Ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσα.	Iliad. υ.

αἰχμηταί

αἰχμηταί	Αἴτιος ἀλλὰ Ζεὺς Δαναῶν στρατὸν αἰχμητάων	Hom. Od. λ.
μενεχάρμαι	Ὥς τοὺς ἐγχείησι βάλον Δαναοὶ μενεχάρμαι.	Calab. lib. 3.
εὐσθενεῖς	Ὅσσοι ἔσαν Δαναοῖσιν εὐσθενέεσσιν ἀρωγοί.	Idem lib. 4.
ὄβριμοι	Ὣς Δαναοὶ Πριάμοιο τότ' ἀμφεχέοντο πόληϊ Ὄβριμοι. (μων.	Calab. lib. 8.
καρτερόθυμοι	Καὶ πυρὶ δαιομένην Δαναῶν ὑπὸ καρτεροθύ-	Idem lib. 10.
ἐρίδουποι	Χασσαμένου πόντοιο καὶ ἐκ Δαναῶν ἐριδούπων.	Idem lib. 14.
ἀλκᾶντες	Ἔστα σὺν Ἀχιλλεῖ μόνος, ὅτ' ἀλκᾶντας Δαναοὺς τρέψας.	Pind. Olym.
ξανθοκόμαι	Ξανθοκόμαι Δαναῶν ἦσαν μέγιστοι.	Id. Nem.
χαλκέοπλοι	Μενελάδας τε χαλκεόπλων Δαναῶν.	Eurip. Hele.
	Δαναός Danaus.	
πεντηκοντόπαις	Δαναὸς δ' ἀδελφός ἐστι πεντηκοντόπαις.	Æsch. Suppl.
	Nonn. Dionys. λιπόπατρις, ἀρχέκακος, ὑδροφόρος, θυγατρογόνος.	
	Δάρδανοι Dardani.	
ἀγχιμαχηταί	Τρῶες καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταί.	Hom. Iliad. θ.
μενεπτόλεμοι	Κεῖτο μενεπτολέμων ἐπὶ τείχεσι Δαρδανιώνων	Calab. lib. 11
	Δάρδανος Dardanus.	
ἀγαυός	-- παῦροι ἀφ' αἵματος ἐσμὲν ἀγαυοῦ Δαρδάνου.	Calab. lib. 1.
ἀντίθεος	- ὁ δ' ἄρ' ὤπασεν υἱεῖ δῶρον Δαρδάνῳ ἀντιθέῳ.	Idem lib. 2.
	δάφνη laurus.	
ἐριθηλής	Καί μοι σκῆπτρον ἔδον, δάφνης ἐριθηλέος ὄζον.	Hesiod. Th.
ἱερή	Γλαζομένη κραδίην, ἱερὴν διεσείετο δάφνην.	Tryphiod.
μελάμφυλλος	Ταὶ δ' αἱ μελάμφυλλοι δάφναι τὶν Πύθιε Παιάν.	Theoc. Epig
Δηφίς	Ἀλλ' οὐ στέφοισι Δηφίδος φύλλῳ δάφνης.	Lucian.
εὐθαλής	Κεὐθαλῆ ὡς δάφνην, ἔσθ' ὅτ' ἐώρακ' ἔμεν.	Dolsc.
τεμπίς	Πολλάκι δ' ἢ οἴνης ἀμιγῆ πόσιν, ἢ ἀπὸ δάφνης Τεμπίδος.	Nicand. Al.
χρυσόκομος	Κωρυκίοις δάφνης πλέγμασι χρυσοκόμου.	Politian.

εὐώδης	Μύρτων ἢ δάφνης εὐώδεος, ἠέ τευ ἄλλου.	Opp. ἁλ. δ.
ἡμεροθαλής	Πάντη δ' αὖ πλατάνοισι, καὶ ἡμεροθαλέσι δά-φναις.	Epigr. lib. 4.
εὐπέταλος	Εὐπετάλῳ δὲ κόμας ἐστεμμένος ἔπρεπε δάφνῃ.	Christodor.
Παρνασία ποία	Ποίᾳ Παρνασίᾳ, Δωριεῖ τε κώμῳ.	Pind. Pyth.
χρυσέα	Δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαντες εἰλαπι-νάζοισιν.	Ibid.
ἀπειρόγαμος	Ἀμφιβρύων δ' ἤστραπτεν ἀπειρογάμῳ τείχεα δά-φνῃ Στεψάμενος.	Christod.
εὐερνής	Φοίνικά θ' ἁβροκόμαν, δάφναν τ' εὐερνέα.	Eurip. Iph. T
πυθική	Ὁ Φοῖβος αὐτὸς πυθικὴν σείσας δάφνην.	Aristoph. Pluto.
	Nonn. Dionys. μαντώδης, φιλοπάρθενος, ἀπειρήτη ὑμεναίων, σώφρων, πινυτόφρων.	

Δάφνις Daphnis.

τάλας	Κῆφα, Δάφνι τάλαν, τὺ τὺ τάκεαι, ἁ δέ τε κώρα	Theoc. εἰδ. α.
δυσέρως &c.	Ζατεῦσ' ἆ δύσερώς τις ἄγαν καὶ ἀμήχανος ἐσσί.	Eod.
χαρίεις	Δάφνιδι τῷ χαρίεντι συνήντετο βουκολέοντι.	Idem εἰδ. η.
λευκόχρως	Δάφνις ὁ λευκόχρως ὁ καλὰ σύριγγι μελιζόμενος.	Idem Epigr.

δεήσεις preces.

Cicero lib. 9. epistolar. ad Atticum ex Platone: αἱ γὰρ τῶν τυράννων δεήσεις οἶσθ' ὅτι μεμιγμέναι ἀνάγκαις.

δεῖμα pauor, metus.

δεινόν	Καὶ δεῖμα δεινὸν δέδειγμαι, καὶ τρέμω.	Galeomyo.
ἀλεγεινόν	-- πάντων γὰρ ὑπέκλασε δεῖμ' ἀλεγεινὸν Ἠνορέην.	Calab. lib. 4.
ἀργαλέον	-- τί νύ σε δεῖμα κιχάνει Ἀργαλέον.	Idem lib. 6.
ἀμείλιχον	Μεῖναι ἔτλη, πάντας γὰρ ἀμείλιχον ἄμφεχε δεῖ-μα.	Idem lib. 12.
στυγερόν	Ἴσχεν ἐασυμένως, στυγερὸν δέ μιν ἄμφεχε δεῖμα.	Id. lib. 13.
ἰκμαλέον	Καὶ δακρύων ὀχετοῖσιν ἐλέγχεται, ἰκμαλέῳ τε Δείματι.	Nazianz.

πέλωρον	Οἵ μιν δεῖμα πέλωρον ἀμάσχετον ἀθρήσαντες.	Orph. Arg.
λευγαλέον	Δείματι λευγαλέῳ, ὁπότε Θρηΐκες ἴασι.	Apoll. lib. 1.
ἀτυζηλόν	Τηλοῦ ἀτυζηλῷ ὑπὸ δείματι κεκληγυῖαι.	Idem lib. 2.
δυσδερκές	Πρὸς δ' ἔτι καὶ βλοσυρῆς δυσδερκέα δείματα λί- μνης. (πόντου.	Opp. ἁλ. α.
ἀναιδές	Καὶ μέγεθος περιβέβηκεν ἀναιδέα δείματα	Idem ἁλ. ε.
δαιμόνιον	Δείματι δαιμονίῳ πεπληότες.	id. κυνηγ. δ.
ἱμερόν	-- ἱμερῷ δ' ὑπὸ δείματι πάλλετο θυμός.	Apoll. lib. 4.
νυκτίφοιτον	Χρησμῶν δ' ἀπῶσαι νυκτίφοιτα δείματα.	Lycophron.
νυκτίπλαγκτον	Καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη.	Æsch. χοηφορ.
	δεῖπνον cœna.	
λαρόν	Αὐτὸς ἐνὶ κλισίῃ λαρὸν παρὰ δεῖπνον ἔθηκας.	Hom. Il. τ.
λαμπρόν	-- οὐχὶ δὲ τοῖς λαμπροῖσι γὰρ Δείπνοις &c.	Antiph.
ἀσύμβολον	Καὶ νῦν πορίζεταί γε δεῖπν' ἀσύμβολα.	Alexis.
γαμήλιον	Ἦν θάλαμος, καὶ δεῖπνα γαμήλια, πάντα γεγήθει	Nazianz.
ἁβρόν	Ἦ δεῖπνος ἁβρὸς ὃν ἔπλασέ τις τὸ ὄναρ.	Idem.
ἰχθυόεν	Ἰχθυόεν μετὰ δεῖπνον ἀδαιτρεύτοιο τραπέζης.	Nonnus.
ἀμβρόσιον	Δεῖπνον ἐπ' ἀμβρόσιον, τόσος ἐς γάμον ἤρτυνε πατήρ.	Cyr. Theod.
ἀμοιβαῖον	Ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων.	Pind. Olym.
ἁρμόδιον	Ἔνθα μοι ἁρμόδιον δεῖπνον κεκόσμηται.	Id. Nem.
	Nonn. Dionys. οἴνου μὴ παρεόντος ἀτερ- πέα δεῖπνα τραπέζης, ἀλώφητον, ἁλίτροφον, σι γαλέον, ἀδαίτρευτον, πολύχρος.	
	δειρή collum, ceruix.	
ἁπαλή	Ἄγχε δέ μιν πολύκεστος ἱμὰς ἁπαλὴν ὑπὸ δει- ρήν.	Hom. Il. γ.
περικαλλής	Καί ῥ' ὡς οὖν ἐνόησε θεᾶς περικαλλέα δειρήν.	Eod.
εὔθριξ	Ἐξ εὐνᾶς κελαδήσῃ, ἀναχῶν εὔτειχα δειρήν.	Theoc. εἰδ. ιη.
δολιχή	Ἰσοπαλὲς θανάτῳ, δολιχὴν δ' ἀμφ' αὐχένι δει- ρήν.	Orph. Arg.
περιμήκης	Αὐτὰρ ὁ ἀντικρὺ περιμήκεα τείνετο δειρήν.	Apoll. lib. 4.
βαθύθριξ	Βαιὸς μὲν κεφαλήν, πολλὸς δὲ βαθύτειχα δειρήν.	Opp. κυνηγ. α.
λεπταλέη	Οἱ δ' ἄρα λεπταλέην δειρήν, καὶ στέρνον ὕπερθεν.	Id. κυνηγ. β.

χρυσοφόρος	-- ἐκ χρυσοφόρου δέρης, νασμὸν διαναυγεῖ.	Eurip. Heca.
καλλιπάρθενος	Ἄχραντον αἷμα καλλιπαρθένου δέρης.	Id. Iph. Aul.
	Nonn. Dionyſ. πανύφυλλος, οἰδαλέη, ἐπίκυρτος.	

δελφὶν, δελφίς delphin.

μεγακήτης	Ὡς δ᾽ ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι.	Hom. Il. φ.
χορευτής	Ὑπὲρ ἀργύρῳ δ᾽ ὀχθῶνται	Anacr.
	Ἐπὶ δελφῖσι χορευταῖς.	
ἁλιτρεφής	Κήτεος, ἢ δελφῖνος ἁλιτρεφέος μεγάλοιο.	Calab. lib. 3.
ἅλιος	Οὔθ᾽ ἅλιοι δελφῖνες ἐπὶ χθονὸς, οὔτε τι ταῦροι.	Theoc. εἰδ. κ.
ἁλίδρομος	Δελφὶς δ᾽ ὡς ἐπὶ χέρσον ἁλίδρομος ἤεε θνήσκω	Nazianz.
εἰναλίων βασιλεύτατος	Δελφὶς εἰναλίων βασιλεύτατος, ὧν τιν᾽ ἴδηται.	Idem.
ἠΰγλυφος	Δελφὶς δ᾽ ἠΰγλυφος ὑπαντιόωντος ὁμίλου.	Opp. ἁλ. β.
ἐνηής	Ἤδη γὰρ δελφῖνες ἐνηέες ἀνδράσιν οἶοι.	Id. ἁλ. ε.
ὠκύτατος	Ὠκύτατος δελφὶς ἑτέρων προφερέστατος ἦεν.	Eod.
ἐλαχυπτέρυξ	Ἀντὶ δελφίνων δ᾽ ἐλαχυπτερύγων ἵπποις ἀμείψαντες θοάς.	Pind. Pyth.
θαλάσσιος	Καὶ θαλάσσιον παραμείβεται δελφῖνα.	Ibid.
ἰχθυφάγος	Δελφῖνες πελάγους ἰχθυφάγοι σκύλακες.	Epigr. lib. 1.
ἱερός	Καὶ ἱερὸν δελφῖνα περίσχετο, χειρὶ κομίζων.	Chriſtod.
καλλίχορος	Εἰρεσίᾳ φίλα χορηγὲ τῶν καλλιχόρων δελφίνων.	Eurip. Hele.
φίλαυλος	Ἵν᾽ ὁ φίλαυλος ἔπαλλε δελφὶς	Id. Elect.
	Πρῴραις κυανεμβόλοισιν εἱλισσόμενος.	
	Nonn. Dionyſ. σιγαλέης κυβιστητῆρε γαλήνης, ἁλιβρεχεῖς ἵπποι, ἕλιξ, αὐτοέλικτος, θαλάσσιος, ἀφραδὴς, πουλυπόρος.	

δέμας corpus.

ὠχρόν	Βάτραχος ὑψώσας ὠχρὸν δέμας ὕδατι λευκῷ.	Hom. Batr.
θνητόν	Ἄνοσοι δέμας θνητὸν Ἄνοσοι γλυκύ τε θυμόν.	Anacr.
ἁπαλόν	Ἁπαλὸν δέμας χυθεῖσαν	Idem.
	Σκιερῶν ὕπερθε φύλλων.	
βελαρόν	Αἴας δ᾽ αὐτοφόνῳ βελαρὸν δέμας ἕλκεν ἱλύσας	Tryphiod.

αἰόλον	Οἱ δ' ὅτε τεχνήεντος ἴδον δέμας αἰόλον ἵππου.	Idem.
πολιόν	Ἀργείη δ' Ἑλένη πολιὸν δέμας ἀσκήσασα.	Idem.
λυγρόν	Νόσφι δὲ Θερσίταο λυγρὸν δέμας οὐτιδανοῖο.	Calab. lib. 1.
περικαλλές	Θαρσαλέῳ Ἀχιλῆϊ δέμας περικαλλὲς ὁμοῖον.	Idem lib. 7.
ἄμβροτον	Ἄμβροτον ἀθανάτοιο θεοῦ δέμας.	Idem lib. 8.
νωθρόν	Δέμας δὲ νωθρὸν οὐχ ὑπηρετεῖ πόθοις.	Lucian.
λυπρόν &c.	Ὥς μου τὸ λυπρὸν καὶ ταλαίπωρον δέμας.	Idem.
σκολιόν	Κεῖθι γὰρ εἰς ὀφίων σκολιὸν δέμας ἠλλάξαντο.	Dionyſ.
βαρυώδυνον	Ῥυόμενος βαρυώδυνον ἱμασσομένων δέμας ἀνδρῶν.	Nonnus.
ἄμωμον	Τίκτεν ἄμωμον ἔχουσα δέμας, καὶ ἐπίφρονα μῆτιν.	Orph. Arg.
τέρεν	Εὐαγέως θείοιο τέρεν δέμας, &c. (ρηνον.	Apoll. lib. 3.
εὐρυκάρηνον	Ὄμμα θοόν, σφυρὸν ὠκύτατον, δέμας εὐρυκά-	Opp. κυνηγ. Γ.
καρτερόν &c.	-- ἀτὰρ δέμας ἔπλετο τοῖον Καρτερὸν, εὔσαρκον.	Eod.
ἀμόλυντον	Χεύατο κἀκ κεφαλῆς, καὶ νίψε δέμας ἀμόλυντον.	Caſtalio.
ξανθόχροον	Τοῦ δ' ἤτοι τὸ μὲν ἄλλο δέμας ξανθόχροον ἔσκεν.	Theoc. εἰδ. κ.
ὡραιόκαρπον	Ἡδὲ πάλιν πρὸς ὄλυμπον ἄγεις δέμας ὡραιόκαρπον.	Orph. hym. Adonid.
	Nonnus Dionyſ. φαιδρωπὸν, ἀγνάμπτον, πολύμορφον, ἀλλοπρόσαλλον, ἀσκεπὲς, ἁβρόν.	

δένδρον ἢ δένδρος arbor.

μακρόν	Πολλὰ δ' ὅγε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρά.	Hom. Il. ι.
ὑψιπέτηλον	Ἀλλ' ὥστε στήλην, ἢ δένδρεον ὑψιπέτηλον.	Id. Iliad. ν.
τηλεθόον	Ἔνθα δὲ δένδρεα μακρὰ πεφύκει τηλεθόωντα.	Odyſs. η.
εὐθαλές	-- ἄλσος ἀμείβει Δένδρεσιν εὐθαλέεσσι κατάσκιον.	Orph. Arg.
ἀγλαόν	Δένδρει ἰσοφυὴς ἀγλαῷ ἧκεν ἀνήρ.	Dolſc.
τανύφυλλον	Τοῖς τε πυκαζομένοις τανυφύλλοις δένδρεσι δρυμοῖς.	Idem.
ὑψιτρεφές	Χ' ὡς ὑψιτρεφέων τμέων τὰ πρέμνια δένδρων.	Idem.
ἀνθεμόεν	Καί σφεων ἀνθεμόεντα κατέκλασε δένδρεα γαίης	Apolinar.

ἠΰκομον	Εὕρεμεν, οὔτε λίθων, οὔτ' ἠϋκόμων ἀπὸ δενδρῶν.	Opp. κυνηγ. δ.
ἀγλαόκαρπον	Ἀλλὰ γὰρ ὡς δενδρῶν καρποὺς φύσατ' ἀγλαοκάρπων.	Castalio.
ὑψικάρηνον	Δένδρη δ' ὑψικάρην' ἐκ ῥιζῶν ἐς χθόνα πίπτει.	Orph. hym.
εὔκαρπον	Ἀγχαῖς ἐν εὐκάρποις δένδρεσιν ἐγγράφομαι.	Epigr. lib. 1.
εὐπέταλον	Ἀλλὰ τὰ μὲν δένδρεσσιν ὑπ' εὐπετάλοισι κρέμανται.	cpigr. lib. 4.
βαρύφυλλον	Ὡς δένδρον βαρύφυλλον, ἔχει δ' ἡδεῖαν ὀπωπήν	Eod.
	Nonnus Dionys. αὐτόπρεμνον, λιπόσκιον, τανύπτορθον, εὔοδμον, ῥυηφενές, πολυαστερές, ὑψιτενές.	

δεξιτερά dextra.

πανίλαος &c.	Δεξιτερὴν ὀπάσειε πανίλαον, ὀλβοδότειραν.	Opp. κυνηγ. α.
	Nonn. Dyonys. ἀσίδηρος.	

δέος timor.

ἀκήελον	Οὔτε τί με δέος ἴσχει ἀκήελον, οὔτε τις ὄκνος.	Hom. Il. ε.
χλωρόν	Σμερδαλέα κτυπέων, τοὺς δὲ χλωρὸν δέος ᾕρει.	Iliad. η.
κρατεράν	Καί μιν τίς ὄπιθεν κρατερὸν δέος ἐν φρεσὶ πίπτει	Hom. Od. ξ.
ἀργαλέον	- μέγα γὰρ δέος ἔλλαβε πάντας Ἀργαλέον.	Calab. lib. 6.
ἀνιηρόν	Εὐρυπύλῳ· πάντας γὰρ ἀνιηρὸν δέος ᾕρει.	Idem lib. 7.
αἰνόν	Κεῦθον ὑπὸ κραδίῃ, ἵνα μὴ δέος αἰνὸν ἵκηται.	Eod.
στυγερόν	Τοὔνεκ' ἀπωσάμενοι στυγερὸν δέος.	Idem lib. 9.
ὀκνηρόν	Ἄνσταθ' Ἀμφιτρύων· ἐμὲ γὰρ δέος ἴσχει ὀκνηρόν.	Theoc. εἰδ. λα
ὀλοόν	Τοὺς δ' ὀλοὸν μεσσηγὺ δέος λάβεν εἰσαΐοντας.	Apoll. lib. 4.
ἄπλατον	Ἐκ δ' ἄρ' ἄπλατον δέος πλᾶξε γυναῖκας.	Pind. Nem.

δέπας poculum.

ἀμφικύπελλον	Ὣς ἄρ' ἔφη καὶ ἀναΐξας δέπας ἀμφικύπελλον.	Hom. Il. α.
χρύσεον	- τοὶ δὲ χρυσέοις δεπάεσσι δειδέχατ' ἀλλήλους.	Id. Iliad. δ.
περικαλλές	Πὰρ δὲ δέπας περικαλλές, ὃ οἴκοθεν ἦγ' ὁ γεραιός	Iliad. λ.
πολυχανδές	Ὣς εἰπὼν, παλάμῃσι δέπας πολυχανδὲς ἀείρας	Calab. lib. 2.
γεράμνιον,	-- πόροις δέπας ἔμπλεον οἴνης	Nicād. Alex.
αὐτοκρηές	Γεράμνιον, αὐτοκρηές.	
εὐκραές	Ἀκρήτου παλάμῃ μάκαρος δέπας εὐκραὲς οἴνου.	Apolinar.

ἀμοιβαῖον

ἀμοιβαῖον	Τέρπονται κρητῆρος ἀμοιβαίοις δεπάεσσι. Nonn. Dionys. ἔμπλεον οἴνου, ἄζαυλον, ἱμερόεν, Κυάθιον, εὔοδμον, εὐποίητον, ἀέθλιον, ἁβρόν.	Opp. ἁλ. γ.

δέρη, supra δειρή.

δέρμα *pellis.*

κελαινόν	Ἀμφὶ δέ μιν σφυρὰ τύπτε, καὶ αὐχένα δέρμα κελαινόν.	Hom. Iliad. ζ
λαχνῆεν	Ἀμφὶ συὸς κεφαλῇ, καὶ δέρματι λαχνήεντι.	Iliad. ι.
δαφοινόν	-- δαφοινὸν ἑέσσατο δέρμα λέοντος	Iliad. κ.
ποδηνεκές	Αἴθωνος μεγάλοιο ποδηνεκές.	
πυκινόν	Δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ' ἀνὰ δῆμον ἑταίροις	Hom. Od. β.
ψιλόν	Ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἕσσ' ἐλάφοιο Ψιλόν.	Odyss. ν.
βόειον &c.	Τάμνων δέρμα βόειον εὔχροές. οἱ δὲ δὴ ἄλλοι.	Odyss. ξ.
νεόδαρτον	-- ἀμφὶ δὲ δέρμα Ἕστο βοὸς νεόδαρτον.	Odyss. χ.
λάχνῃ κατάσκιον	Τῶν δὲ λάχνῃ δέρμα κατάσκιον.	Hesiod. lib. 2
κνακόν	Κνακὸν δέρμ' ὤμοισι, νέας ταμίσοιο ποτόσδον.	Theoc. εἰδ. ζ.
λεόντειον	Δέρμα λεόντειον μάλα οἱ κεχρισμένον αὐτῷ.	Idem εἰδ. λα.
λάσιον	Ἀλλ' ἄρκτου λάσιον στέρνοις ἀμπίσχετο δέρμα.	Orph.
ὠμόν	-- ἀμφὶ δὲ δέρμα πελωρίου ἕστο λέοντος Ὠμὸν ἀδέψητον.	Apoll. lib. 4.
βαθύμαλλον	Δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν. Nonn. Dionys. πολυδαίδαλον. Δέρματα φωκάων Ποσιδήϊα πέπλα θαλάσσης.	Pind. Pyth.

δεσμὸς ἢ δέσμα, *vinculum.*

κρατερός	Παῖδες Ἀλωῆος δῆσαν κρατερῷ ἐνὶ δεσμῷ.	Hom. Iliad. ε.
χαλεπός	Ἤδη τειρόμενον, χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα.	Eod.
νηλής	Ἤ ἐμὲ δήσαντες λίπετ' αὐτόθι νηλέϊ δεσμῷ.	Iliad. κ.
ἄρρηκτος	-- περὶ χερσὶ δὲ δεσμὸν ἴηλα Χρύσεον ἄρρηκτον &c.	Iliad. ο.
σιγαλόεν	Τῆλε δ' ἀπὸ κρατὸς χέε δέσματα σιγαλόεντα.	Iliad. χ.

σιδήρεον	Ἔσεται, οὐδ᾽ εἴπερ τε σιδήρεα δέσματ᾽ ἔχῃσι.	Hom. Od. α.
ἄλυτος	-- κόπτε δὲ δεσμοὺς Ἀρρήκτους, ἀλύτους.	Odyss. θ.
ἀργαλέος	Δεσμοί τ᾽ ἀργαλέοι, καὶ βουκόλοι ἀγροιῶται.	Odyss. λ.
θυμαλγής	Σὺν δὲ πόδας χεῖράς τ᾽ ἔδεον θυμαλγέϊ δεσμῷ.	Odyss. χ.
ὀλοός	Ὣς ὁ μὲν αὖθι λέλειπτο ταθεὶς ὀλοῷ ἐνὶ δεσμῷ.	Eod.
ἀμήχανος	Ἦ τάχ᾽ ἀμήχανα δεσμὰ περὶ πλευρῇσιν ἔχοντα.	Hom. h. M.
δυσηλεγής	Ἐς φάος ἂψ ἀφίκεσθε δυσηλεγέος ὑπὸ δεσμοῦ.	Hesiod. Th.
ἀμείλικτος	Ἄψορρον δ᾽ ἐξ αὖτις ἀμειλίκτων ὑπὸ δεσμῶν.	Ibid.
μελίφρων	Ὡς θοὸν ἔγχος ἔχουσα μελίφρονα δεσμὸν ἐρώτων	Coluth.
λοφόεις	Ἐκ κορυφῆς λοφόεντι κατεσφρηγίζετο δεσμῷ.	Tryphiod.
πελώρειος	Φεύγειν ἀνδροφόνοιο πελώρια δεσμὰ σιωπῆς.	Idem.
μαλακός	-- πέδαι μαλακῷ κατὰ φάεα δεσμῷ.	Theoc. εἰδ. κ.
ἀναγκαῖος	Δεσμοῦ ἀναγκαίου τειρόμενοι ἔκλισιν εὑρεῖν.	Id. εἰδ. λα.
ἀξόνιος	Πρόσθε μὲν ἀξονίοις φθιτὸν εἴρυσας Ἕκτορα δεσμοῖς.	Epigr. lib. 1.
ἄφυκτος	Ἀλλ᾽ οὐ γὰρ λύοντο κάλοι, δεσμοῖσι δ᾽ ἀφύκτοις.	Orph. Arg.
γλυκύ	Ὄμμα βαλεῖν ἐπέρωσε, γλυκὺς δ᾽ ἐμὲ δεσμὸς ἐρύκει.	Nazianz.
ἀτειρής	Ῥηξάμενος μελέων κρατερὸν καὶ ἀτειρέα δεσμόν.	Apolinar.
ἀχλυόεις &c.	Δεσμῷ ἐν ἀχλυόεντι σιδηρέῳ ἔσβεσαν ὕβριν.	Herod. Terp
πολύπλεκτος	Τὸν μὲν καὶ δεσμοῖσι πολυπλέκτοισι πιέξας.	Nicād. Alex.
πολύστρεπτος &c.	-- ἢ γὰρ ὁ δεσμοῖς Βλάπτεται εὐκάμπτοιο πολυστρέπτοισιν ἀκάνθου.	Id. Theriac.
ἀκαμπής	Ποσσὶν ὁμοπλεκέεσσιν ἀκαμπέα δεσμὸν ὀλέθρου	Nonnus.
ὀπισθότονος &c.	Χεῖρας ὀπισθοτόνῳ πεπεδηκότα δίζυγι δεσμῷ.	Idem.
ἀστεμφής	Ἀστεμφὴς ἅτε δεσμὸς ἐπειγομένοιο βαρύνει.	Opp. ἁλ. β.
ἀπηνής	Θηεῖ παγίην ἤρτυνεν, ἀπηνέϊ δ᾽ ἔνδοθι δεσμῷ	Id. ἁλ. γ.
λινόζευκτος	Χείλεος ἐν δίνῃσι λινοζεύκτῳ ὑπὸ δεσμῷ.	Id. ἁλ. δ.
εὐαγής	Κούρη ληϊσθεῖσα γάμων εὐαγέϊ δεσμῷ.	Eod.
πολύστονος	Δίκτυά τε, γαλίδας τε, βρόχων τε πολύστονα δεσμά.	Id. κυνηγ. α.
τετράκνημος	Τὸν δὲ τετράκναμον ἔπραξε δεσμόν.	Pind. Pyth.
βούστροφος	Κέντρα τ᾽ ὀπισθονυχῆ, καὶ βούστροφα δεσμὰ πενόντων.	Epigr. lib. 6.

Nonn.

Nonn. Dionys. ἑλικώδης, πηλώεις, δυσπένθερος, ὀφιώδης, ἀπειλητήρ, φιλόστοργος, ἀεργαῖος, ἀμπελόεις, ἐχιδναῖος, κισσώδης, βοτρυόεις, ἡλικόεις, αὐχένιος, γαμψώνυξ, σφιγκτήρ, εὐπάλαμος, Ἀμυκλαῖος, γηθηκής, φιλΐος, ὁμόζευκτος, καρχαρόδους, αἱμοβαφής, ζύγιος, ὁμόπλεκτος, ἀγχόνιος, εὐΐωρ, πολυκαμπής, πανύπλεκτος, ἀδήλητος, πολυπλεκής, εὐπέταλος, φρενοθελγής, εὐπάλαμος, κυπρίδιος.

δεσπότης herus.

ἀπράγμων	Ὅστις παραλαβὼν δεσπότην ἀπράγμονα.	Menand.

Δευκαλίων Deucalion.

μεγάθυμος	Παιδὸς ἐμεῖο, πατὴρ μεγαθύμου Δευκαλίωνος.	Hom. Od. τ.

δῆγμα morsus.

κάρχαρον	Μὴ κάρχαρον πορθεῖ με δῆγμα Κερβέρου.	Lucian.
κερδαλέον	Δήγματι κερδαλέῳ πίννην ἕλεν.	Opp. ἁλ. 6.
πυελόσπαρτον	Νόσφι πυελοσπάρτου δήγματος ἐστὶν ἔρως.	Epigr. lib. 4.

Δηϊδάμεια Deidameia.

ἐπαινή	Υἱὸς Ἀχιλλῆος καὶ ἐπαινῆς Δηϊδαμείης.	Tryphiod.
εὔφρων	Τῷ νύ σε φασὶ τεκέσθαι εὔφρονα Δηϊδάμειαν.	Calab. lib. 7.
ἐπήρατος	Ἀλλ᾽ οὐ Δηϊδάμειαν ἐπήρατον ὕπνος ἔμαρπτεν.	Idem.

δήϊος hostis.

θυμοραϊστής	Ἠὲ καὶ ἐν πολέμῳ δηΐων ὑπὸ θυμοραϊστέων.	Hom. Il. π.
δυσηλής	-- οὔτε γὰρ ἄστυ Δήϊοι ἀμφὶς ἔχουσιν δυσηλέες.	Calab. lib. 1.
νηλεόθυμος	Πληθὼν ἐμῶν δηΐων ἐπιδέρκεο νηλεοθύμων.	Apolinar.

δηϊοτής pugna, hostilitas.

αἰνή	Ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι.	Hom. Il. γ.
ὀλοή	Εἷλεν ἐπεσσυμένας ὀλοὴν ἀνὰ δηϊοτῆτα.	Calab. lib. 7.
κελαδεινή	Τοὔνεκα δηϊοτῆτος ἀποσχόμεναι κελαδεινῆς.	Eod.
δυσηλής	Ὥς οἵ γε προλιπόντες δυσηλέα δηϊοτῆτα.	Id. lib. 2.
λευγαλέη	Οὐδ᾽ ἄρ᾽ ἀπολλυμένην χρειὼ ἐν δηϊοτῆτι Λευγαλέῃ.	Idem lib. 8.

Nonn. Dionys. ἀναίμακτος, ἀφεγγής, εὐτρόχαλος.

Δηΐφοβος Deiphobus.

θεοειδής	Τῶν δὲ τρίτων Ἕλενος, καὶ Δηΐφοβος θεοειδής.	Hom. Il. μ.
Πελαμίδης	Δηΐφοβός δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει Πελαμίδης.	Id. Iliad. ν.
ὑπερθυμορέων	Ἀσπίδα Δηϊφόβοιο λαβὼν ὑπερθυμορέοντος.	Eod.
λεύκασπις	Δηΐφοβον δ' ἐκάλει λευκάσπιδα μακρὸν ἀΰσας	Iliad. χ.
θεοείκελος	Καί τοι Δηΐφοβος θεοείκελος ἕσπετ' ἰούσῃ.	Hom. Od. δ.
τολμήεις	Δηΐφοβος μὲν πρῶτος ἐϋγλύπτῳ ἐπὶ βωμῷ	Christod.
ὄβριμος	Ἵστατο τολμήεις, κεκορυθμένος, ὄβριμος ἥρως.	
δόχμιος	Δόχμιος ἦν, μανίῃ δὲ κεκυφότα νῶτα συνέλκων	Idem.
μενεπτόλεμος	Δηΐφοβός τε μενεπτόλεμος, κρατερός τε πολίτης.	Calab. lib. 11

Δῆλος Delus.

κραναή	Τὴν μὲν ἐν Ὀρτυγίῃ, τὴν δὲ κραναῇ ἐνὶ Δήλῳ.	Hom. h. Ap.
ἀμφιρύτη	-- κραναῇ ἐνὶ νήσῳ Δήλῳ ἐν ἀμφιρύτῃ.	Ibidem.
περικλύστη	Αὐτὸς δ' αὖ Δήλοιο περικλύστης μέγ' ἀνάσσεις.	Ibidem.
ἀπειρεσίη	Πᾶσα μὲν ἐπλήσθη Δῆλος ἀπειρεσίη.	Theogn.
ἱερή, Ἀπόλλ. κουροτρόφος	Τὴν ἱερήν, ὦ θυμέ, τίνα χρόνον ἢ πότ' ἀείσεις Δῆλον Ἀπόλλωνος κουροτρόφον.	Callimach.
ἠνεμόεσσα &c	Κείνη δ' ἠνεμόεσσα καὶ ἄτροπος, οἷά θ' ἁλιπλήξ.	Idem.
Ἀστερίη	-- οὔνομα δ' ἦν σοι Ἀστερίη τὸ παλαιόν.	Idem.
φιλόμολπος	Ἀστερίη φιλόμολπε, σὺ δ' Εὐβοίηθε κατήεις.	Idem.
πλαγκτή	Ὡς ἐγὼ Ἀπόλλωνι, καὶ ἔσσομαι οὐκ ἔτι πλαγκτή.	Idem.
θυόεσσα	Ἀστερίη θυόεσσα, σὲ μὲν περί τ' ἀμφί τε νῆσοι.	Idem.
κυανάμπυξ	Δῆλον ἐτίμασεν κυανάμπυκα Φοῖβος Ἀπόλλων.	Theoc. εἰδ. ιζ.
ἀνέστιος	Ἱστίη, ὦ νήσων εὐέστιε, χαῖρε μὲν αὐτή.	Callimach.
πολύβωμος &c	Ἀστερίη πολύβωμε, πολύλλιτε, τίς δέ σε ναύτης.	Idem.
ἀμφιβόητος	Ἔμπορος ἀλλ' αἰεί σε καταβλέπει ἀμφιβόητον.	Idem.

ἠγαθέη

ἠγαθέη	Δῆλον ἀν' ἠγαθέην ἠὲ Κλάρον.	Apoll.lib. 1.
ἐρημαίη	Δῆλος ἐρημαίη, τὸ πάλαι σέβας.	Epigr. lib. 1.
ἱερὴ τροφός &c.	Λιπεῖν ὠδίνων ἱερὴ τροφὲ, τὴν ἀσάλευτον &c.	Eod.
θεόδμητος	Καὶ τοξοφόρου Δάλου θεοδμήτας σκοπόν.	Pind.Olym.
	Nonn.Dionyſ.μογοστόκος.	

Δημήτηρ, Δηὼ Ceres.

ξανθή	Ανδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ.	Hom. Il. ε.
καλλιπλόκαμος	Οὐδ' ὅτε Δήμητρος, καλλιπλοκάμοιο ἀνάσσης.	Id.Iliad. ξ.
ἠΰκομος &c.	Δήμητρ' ἠΰκομον, σεμνὴν θεὸν, ἄρχομ' ἀείδειν.	Id.h.Cer.
ἐϋστέφανος &c.	Εχθαίρῃ, φιλέῃ δέ σ' ἐϋστέφανος Δημήτηρ Αἰδοίη.	Hesiod.li. 1.
ἁγνή	Εὔχεσθαι δὲ Διὶ χθονίῳ, Δημήτερί θ' ἁγνῇ.	Idem libr. 2.
πολυφόρβη	Αὐτὰρ ὁ Δήμητρος πολυφόρβης ἐς λέχος ἦλθε.	Id.Theogon
δῖα θεάων	Δημήτηρ μὲν Πλοῦτον ἐγείνατο, δῖα θεάων.	Ibidem.
Δηώ	Εἰς πλατὺ τέμαχρον ἁγνῆς παρθένου Δηοῦς κόρης.	Antiph.
πολύτροφος &c.	Δάματερ μέγα χαῖρε πολύτροφε, πουλυμέδιμνε	Callimach.
πότνια	Πότνια, πῶς σε δύναντο φέρειν πόδες;	Idem.
εὐρυάνασσα	Τέσσαρες ὡς ἁμῖν μεγάλα θεὸς εὐρυάνασσα.	Idem.
πείλλιστος &c.	Ἵλαθί μοι πείλλιστε, μέγα κρείουσα θεάων.	Idem.
εὔπεπλος	Ανέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι.	Theocr.εἰδ. ζ.
ἁλωάς	Βωμῷ πὰρ Δάματρος ἁλωάδος, ἇς ἐπὶ σωρῷ.	Eod.
πολύκαρπος &c	Δάματερ πολύκαρπε, πολύσταχυ, τοῦτο τὸ λᾷον.	Id.εἰδ. ι.
εὐέανος	Ἴστω γὰρ Κούρη τε, καὶ εὐέανος Δημήτηρ.	Idem εἰδ.κϛ.
Αχαιή	-- τὴν μέν τ' ἐρέξ φάτις, οὕνεκ' Αχαιὴ Δημήτηρ ἔβλαψεν.	Nicand. Th.
ἀγλαόκαρπος	Περσεφόνη θ' ἁγνὴ, Δημήτηρ τ' ἀγλαόκαρπε.	Orph. hym.
ἁγνοπόλος	Εὔβουλ', ἁγνοπόλου Δημήτερος ὅς ποτε παῖδα.	Ibid.
φιλόπυρος	Δείγματά σοι χώρου μικραύλακος, ὦ φιλόπυρε Δηοῖ.	Epigr.lib. 6.
σταχυοστέφανος	Εκρέμασεν Δηοῖ τῇ σταχυοστεφάνῳ.	Eod.
νηστείρη	Νηστείρης Δηοῦς μορόεν ποτόν.	Nicād.Alex.
φοινικόπεζα	Φοινικόπεζαν ἀμφέπει Δάματρα &c.	Pind.Olym.

χαλκόκροτος	Ἦρα χαλκοκρότου πάρεδρον Δαμάτερος.	Id. Isthm.
Ἐνναία &c.	-- Ἐνναία ποτὲ	Lycophron.
	Ἔρκυνν' ἐρινὺς θουρία ξιφηφόρος.	
εὔχλοος	Τὰν δ' εὔχλοου Δήμητρος εἰς ἐπόψιον.	Soph. O.C.
ἑστιοῦχος	Δήμητερ ἑστιοῦχ' Ἐλευσῖνος χθονός.	Eurip. Supp.
πυρφόρος	Θεούς τε καὶ γῆν τήνδε πυρφόρον θεάν.	Ibid.
καρποποιός	Τῆς καρποποιοῦ παῖδα Δήμητρος θεᾶς.	Eurip. Rhes.
	Δηὼ παμμήτειρα, θεοῖς πολυώνυμε δαῖμον,	Orph. hym.
	σεμνὴ Δήμητερ, κουροτρόφε, ὀλβιόδωτι·	Δήμητρος Ἐλευ-
	πλουτοδότειρα θεά, σταχυοτρόφε, παντοδότειρα·	σινίας.
	εἰρήνῃ χαίρουσα, καὶ ἐργασίαις πολυμόχθοις·	
	σπερμεία, σωρῖτι, ἀλωαία, χλοόκαρπε·	
	ἣ ναίεις ἁγνοῖσιν Ἐλευσῖνος γυάλοισιν·	
	ἱμερόεσσ', ἐρατή, θνητῶν θρέπτειρα προπάντων·	
	ἣ πρώτη ζεύξασα βοῶν ἀροτῆρα τένοντα·	
	καὶ βίον ἱμερόεντα βροτοῖς πολύολβον ἀνεῖσα·	
	αὐξιθαλής, Βρομίοισι συνέστιος, ἀγλαότιμος·	
	λαμπαδόεσσ', ἁγνή, δρεπάνοις χαίρουσα θερείοις.	
	σὺ χθονία, σὺ δὲ φαινομένη, σὺ δὲ πᾶσι προσηνής·	
	εὔτεκνε, παιδοφίλη, σεμνή, κουροτρόφε κούρα·	
	ἅρμα δρακοντείοισιν ὑποζεύξασα χαλινοῖς·	
	ἐγκυκλίοις δίναις περὶ σὸν θρόνον εὐάζουσα·	
	μουνογενής, πολύτεκνε θεά, πολυπότνια θνητοῖς·	
	ἧς πολλαὶ μορφαί, πολυάνθεμοι, ἱεροθαλλεῖς.	
	ἐλθὲ μάκαιρ', ἁγνή, καρποῖς βρίθουσα θερείοις.	
	Nonn. Dionys. σταχυηκόμος, Αἰγυπτίη, φιλότεκνος, δρεπανηφόρος, ξανθοφυής, εὐρύαλως, ξανθόκομος, ἀγλαόπαις, ἀμαλλοφόρος, παμμήτωρ, θαλυσιάς, φερέσταχυς, ἀμαλλοτόκος, ἀλώϊος.	

Δημόκριτος Democritus.

παντοδαής	Ὅσον ὁ παντοδαὴς μλώυσε Δημόκριτος.	Epigr. lib. 3.

περίφρων

περίφρων &c.	Οἷον Δημόκριτόν γε περίφρονα, ποιμένα μύθων, Ἀμφίνοον λέσχην.	Timon apud Diog. Laërt. lib. 9.

δῆμος *populus, vulgus, multitudo.*

ἑτεραλκής	Ἦ κ' ἀπαμυναίμεσθ', ἑτεραλκέα δῆμον ἔχοντες	Hom. Iliad. ο.
ἀλλόγνωτος	Διογενὴς Ὀδυσεὺς ἀλλογνώτῳ ἐνὶ δήμῳ.	Idem Od. β.
εὐρύς	Πλῶε βαθυκρήπιδος ἐπ' εὐρέα δῆμον Ἀβύδου.	Musæus.
κενεόφρων	Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ.	Theogn.
φιλοδέσποτος	Οὐ γὰρ ἔθ' εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε.	Idem.
κακοχράσμων	Τᾷ Ἥρᾳ τοιόνδε· κακοχράσμων γὰρ ὁ δῆμος.	Theoc. εἰδ. δ.
πολυαστερής	Ἐκ δ' ἐκέδασσας ἄνευθε πολυαστερέας κατὰ δήμους	Apolinar.
ὑψαύχην	Χωόμενος κραδίῃ κατάγεις ὑψαύχενα δῆμον.	Idem.
μυελόφωνος	Δῆμος ὁ μυελόφωνος; ὅλη πόλις;	Christod.
εὐέξαπτος &c.	Euagrius β. Εὐέξαπτον γάρ τι χρῆμα πρὸς ὀργὴν ὁ δῆμος, καὶ τὰς τυχούσας ἀφορμὰς ὑπέκκαυμα τῶν θορύβων ἔχων.	

δημός *pinguedo.*

ἀργής	Ἄστυ ἐν Τροίῃ ταχέας κύνας ἀργέτι δημῷ.	Hom. Iliad. λ
ἐπινεφρίδιος	Δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες.	Idem Iliad. φ
πίων	Μυελὸν οἶον ἔδεσκε, καὶ οἰῶν πίονα δημόν.	Idem Iliad. χ

δῆνος *consilium.*

ἤπιον	Ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέεις ἅ τ' ἐγώ περ.	Hom. Iliad. δ
ὀλοφώϊον	Πάντα δέ τοι ἐρέω ὀλοφώϊα δήνεα Κίρκης.	Idem Od. κ.
πολυμήχανον	Σῆς τάδε, παμμέγ' ἄνα, πολυμήχανα δήνεα τέχνης.	Cyr. Theod.
σχέτλιον &c.	Σχέτλια φράζονται καὶ ὀλέθρια δήνεα θυμῷ.	Dolsc.
πολύτροπον	Καὶ βουλὰς, ἁλίης τε πολύτροπα δήνεα τέχνης.	Opp. ἁλ. α.
παναίολον	Νῦν δ' ἄγε μοι σκηπτοῦχε παναίολα δήνεα τέχνης.	Idem ἁλ. γ.
ἁλιεργής	Τόσσα μὲν ἰχθυβόλων ἐδάην ἁλιεργέα τέχνης Δήνεα.	Idem ἁλ. δ.

δῆρις contentio, pugna.

ἀτειρεσίην &c.	Δῆριν ἀτειρεσίην, πολεμόκλονον, ἔργον Ἄρηος.	Hom. Batra.
ἀναιδής	Πολλοὶ ἕποντ' ἐπὶ δῆριν ἀναιδέα τλήμονι κούρῃ.	Calab. lib. 1.
αἱματόεσσα	Δῆριν ἐς αἱματόεσσαν· ὁμοῦ δ' ἔχον ἔντεα καλά.	Eod.
στονόεσσα	Δῆριν ἐπὶ στονόεσσαν· ἔγειρε δέ οἱ θράσος ἀλκήν.	Eod.
ἀμείλιχος	Αὐτὰρ Ἀμαζόσι δῆρις ἀμείλιχος, ἱππασίαι τε.	Eod.
σθεναρή	- σθεναρὴ δ' ἄρ' ἐπὶ σφίσι δῆρις ὀρώρει.	Idem lib. 2.
ἀπηνής	Υἱὸς ἀπὸ Σκύροιο θοῶς ἐς ἀπηνέα δῆριν.	Idem lib. 3.
οὐλομένη	Κτάνον τ', οὐλομένη δὲ περὶ σφίσι δῆρις ὀρώρει.	Eod.
ἀάσχετος &c.	Ἐσσυμένων ἐπὶ δῆριν ἀάσχετον ἀργαλέην τε.	Idem lib. 5.
ὑπέρβιος	Οὔτε θάνῃ κατὰ δῆριν ὑπέρβιον.	Idem lib. 6.
κρατερή	Οἱ μὲν ἔβαν πάροιθε νεῶν κρατερὴν ἐπὶ δῆριν.	Idem lib. 7.
κασιγνήτη πολ.	Δῆριν ἐπικλονέουσα κασιγνήτην πολέμοιο.	Idem lib. 8.
ὀϊζυρή	Δῆρις ὀϊζυρὴ περὶ τείχεα μακρὰ καὶ ἄστυ.	Idem lib. 11.
ἀπεχθής	Ἀνδράσιν Ὑρκανίοισιν ἀπεχθέα δῆριν ἔχοντες.	Dionys.
ἀμεμφής	Ὑδρείης πέρι δῆριν ἀμεμφέα δηρίσαντο.	Apoll. lib. 4.
ἐχθρή	-- Αὐτὰ δ' ἐχθρὴν Δῆριν ἄγει γενέεσσιν.	Nicand. Th.
φιλόνεικος	Υἱὸς καὶ γενετὴρ δῆριν φιλόνεικον ἔθεντο.	Epigr. lib. 2.
ἄμουσος	Οἳ ποθέεις ξίφεσίν τε καὶ ἔγχεσι δῆριν ἄμουσον.	Orph.

Nonn. Dionys. ἀνλώυτος, ἐποίνιος.

Δηώ, supra Δημήτηρ.

διαβολή calumnia.

χαλεπή	Πειθόμενος χαλεπῇ Κύρνε διαβολίῃ.	Theogn.

διάθεσις affectio, affectus.

Basil. M. ἀσκητ. τὸ μὲν γὰρ δι' ἑαυτὸν μεριμνᾶν καὶ ἐργάζεσθαι, φιλοχρίστου καὶ φιλαδέλφου διαθέσεως ἐγκώμιον.

δίαιτα diæta.

καθάρειος &c.	Εἴθιζε δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον.	Pythag.

δίδαγμα ἢ διδαχή doctrina.

θέσκελον	Κοίρανος ἔννεπε ταῦτα διδάγματα θέσκελα λαῷ.	Nonnus.

πολύϊδρις	Οὐ διδαχὴ πολύϊδρις ἐμὴ πέλεν, ἀλλὰ τοκῆος.	Idem.
χριστοσεβής	Ἡ τῆς χριστοσεβοῦς διδαχῆς θεόπνευστος αὕτη.	Dolſc.
εὐαγγελική	Ὅ τι εὐαγγελικῆς διδαχῆς σωτήριος ἀρχή.	Idem.

Διδώ *Dido.*

ἐελκυδής	Ἀρχέτυπον Διδοῦς ἐελκυδέος, ὦ ξένε, λεύσσεις.	Epigr. lib. 4.

διθύραμβος *dithyrambus.*

Æſchyl. (citante Scaligero lib. 1. Poët. cap. 46.) Μιξοβόαν πρέπει διθύραμβον ὁμαρτεῖν σύγκοινον Διονύσῳ.

δικαιοσύνη *iuſtitia.*

ἀκαμπής	Μήτε δικαιοσύνην ἣν ἀκαμπέα, μήτε φρόνησιν.	Nazianz.
εὐσεβής	--εὐσεβέος δὲ Ἀμφὶ δικαιοσύνης &c.	Nonnus.
ἠγαθέη	Λήψεται ἠγαθέης δῶρα δικαιοσύνης.	Dolſc.
πότνα	Κτίζεις, οἷσι μέλει πότνα δικαιοσύνη.	Muſurus.
ἐρατεινή	Ὄφρα σοὶ ἀγκλέωσι δικαιοσύνην ἐρατεινήν.	Apolinar.
ἀθανάτη	Ἀθανάτην πάντεσσι δικαιοσύνην ἀναφαίνων.	Idem.
ἐρόεσσα	Οὐρανόθεν δ' ἐρόεσσα δικαιοσύνη διέκοψε.	Idem.
θείη	Ὄφρα δικαιοσύνης μνησαίατο πάντοτε θείης.	Idem.
θεοτερπής	Εὖτε δικαιοσύνης θεοτερπέος ἔργα δαείην.	Idem.
εὔθεσμος	Σεῖο γὰρ εὐθέσμοιο δικαιοσύνης πόθον ἴσχω.	Idem.
ἐελκυδής	Σεῖο δικαιοσύνας ἐελκυδέας ἄμμε διδάσκοις.	Idem.
	Ὦ θνητοῖσι δικαιοτάτη, πολύολβε, ποθεινή, ἐξ ἰσότητος ἀεὶ θνητοῖς χαίρουσα δικαίοις· πάντιμ', ὀλβιόμοιρε, Δικαιοσύνη μεγαλαυγής· ἣ καθαραῖς γνώμαις αἰεὶ τὰ δέοντα βραβεύεις· ἄθραυστος τὸ συνειδός· ἀεὶ θραύεις γὰρ ἅπαντας, ὅσοι μὴ τὸ σὸν ἦλθον ὑπὸ ζυγόν, ἀλλ' ὑπὲρ αὐτοῦ πλάστιγξι βελαραῖσι παρεγκλίναντες ἀπλήστως· ἀστασίας τε φίλη πάντων, φιλόκωμ', ἐρατεινή· εἰρήνῃ χαίρουσα, βίον ζηλοῦσα βέβαιον· αἰεὶ γὰρ τὸ πλέον συγέεις, ἰσότητι δὲ χαίρεις·	Ex hymno Orphei εἰς Δικαιοσύνην.

ἐν σοὶ γὰρ σοφίης ἀρετῆς τέλος ὄλβον ἱκάνει.
κλῦθι θεά, καὶ τὴν θνητῶν θραῦσον δικαίως,
ὡς ἂν ἰσορροπίαισιν ἀεὶ βίος ἐσθλὸς ὁδεύοι
θνητῶν ἀνθρώπων, οἳ ἀρούρης καρπὸν ἔδουσι,
καὶ ζώων πάντων, ὁπόσ' ἐν κόλποισι τιθήνει
Γαῖα θεὰ μήτηρ, καὶ πόντιος εἰνάλιος Ζεύς.

δίκελλα *ligo.*

σκάπτειρα	Σκάπτειραν κήποιο φιλυδρήλοιο δίκελλαν.	Epigr. lib. 6.

δίκη *iustitia, ius, &c.*

ἰθεῖα	Ἰθείῃσι δίκαις, αἵ τ' ἐκ Διός εἰσιν ἄρισται.	Hesiod. li. 1.
σκολιή	Αὐτίκα γὰρ τρέχει ὅρκος ἅμα σκολιῇσι δίκῃσι.	Eod.
ὁσίη	Ταῦτα δίκης ὁσίῃσι θεοῦ βουλεύματα φαίνει.	Ἄδηλ.
πότνια &c.	-- καὶ αὐτὴ πότνια λαῶν	Aratus.
	Μυρία πάντα παρεῖχε δίκη δώτειρα δικαίων.	
ἰθύντειρα	Ἰθύντειρα Δίκη, καὶ Ἐριννύες αἰνοδότειραι.	Orph. Argo.
ὑψίθρονος	Οὗτος δ' ὑψιθρόνοιο δίκης πλάστιγξι γέγηθεν.	Nazianz.
φυγάς	Εὔαδεν ἡμετέροισι, δίκη φυγὰς ἔνθεν ἀπέλθοι.	Idem.
θυγάτηρ Ἀστρ.	Πτήσεται Ἀστραίης πρέσβα Δίκη θυγάτηρ.	Musurus.
ποινάτωρ φόνου	Ἔσται γὰρ ἔσται ποινάτωρ δίκη φόνου.	Nazianz.
θρέπτειρα πολ.	-- νῶϊ γὰρ σε Δίκη θρέπτειρα πολήων Γινώσκω.	Opp. ἁλ. β.
πανδερκής	Οὐδὲ δίκην ἔλαθεν πανδερκέα φοίνιος ἀνήρ.	Epigr. lib. 1.
εὐπατέρεια &c.	Παρθένος εὐπατέρεια Δίκη, πρέσβειρα πολήων	Epigr. lib. 2.
ἀσφαλής	Ἀσφαλὴς Δίκα, καὶ ὁμότροπος Εἰρήνα, ταμίαι ἀνδράσι πλούτου.	Pind. Olym.
καθαρή	Μούσας καὶ καθαρὴν ἐστεφάνωσε Δίκην.	Epigr. lib. 3.
ἀκτέανος	Καὶ σέλας ἀκτεάνοιο δίκης βασιλήιον ὕπαρχον.	Epigr. lib. 4.
ξεναρκής	Δίκα ξεναρκεῖ κοινὸν φέγγος.	Pind. Nem.
τελεσφόρος	Μνήμων τ' Ἐριννύς, καὶ τελεσφόρος Δίκη.	Soph. Aiace.
ξύνεδρος Ζηνός	-- εἴπερ ἐστὶν ἡ παλαίφατος Δίκη ξύνεδρος Ζηνός	Id. Oed. Col.
ποίνιμος	-- ὧν σε ποίνιμος Δίκη Τίσαιτ' Ἐριννύς τ', εἰ θέμις δέ, ἐπεύχομαι.	Idem Trach.

	Ὄμμα Δίκης μέλπω παλιδερκέος, ἀγλαομόρ- φου· ἣ καὶ Ζηνὸς ἄνακτος ἐπὶ θρόνον ἱερὸν ἵζει, οὐρανόθεν καθορῶσα βίον θνητῶν πολυφύλων· τοῖς ἀδίκοις τιμωρὸς ἐπιβείθουσα δίκαια· ἐξ ἰσότητος ἀληθείας συνάγουσ' ἀνόμοια. πάντα γὰρ ὅσσα κακαῖς γνώμαις θνητοῖσιν ὀχεῖται, δύσκριτα βουλομένοις τὸ πλέον βουλαῖς ἀδίκοισι μούνη ἐπεμβαίνουσα, δίκην ἀδίκοις ἐπεγείρεις· ἐχθρὰ τῶν ἀδίκων, εὔφρων δὲ συνέασι δικαίοις. ἀλλὰ θεὰ μόλ' ἐπὶ γνώμαις ἐσθλαῖσι δικαία, ὡς ἂν ἀεὶ βιότου τὸ πεπρωμένον ἦμαρ ἐπέλθοι.	Ex hymno Orphei εἰς Δίκην.
νικηφόρος	Σὺν θεοῖσι καὶ Γῇ καὶ Δίκῃ νικηφόρῳ.	Æsch. χοηφορ.
ἰσόψηφος	Οὐ γὰρ νενίκεσθ', ἀλλ' ἰσόψηφος δίκη.	Id. Eumen.
μεγιστότιμος	Τρίτον τόδ' ἐν θεσμίοις δίκας γέγραπται μεγι- στοτίμου.	Id. Suppl.
φονία	Ἀλλά σ' Ἐριννὺς ὀλέσειε τέκνων, φονία τε δίκη.	Eurip. Med.
ξιφηφόρος	Ἴτω δίκα φανερὸς, ἴτω ξιφηφόρος.	Id. Bacch.
	Nonn. Dionys. πανόψιος.	

δίκτυον rete, caßis.

πολυωπόν	Δικτύῳ ἐξέρυσαν πολυωπῷ· οἱ δέ τε πάντες.	Hom. Od. χ.
πολύπλοκον	Δίκτυον ἐκθρῴσκοντα πολύπλοκον ἄρτι λαγωόν.	Epigr. lib. 1.
ἐκηβόλον	Ἰχθυβόλῳ χαλάσαντες ἐκηβόλα δίκτυα πόντῳ	Nonnus.
εὐερκές	Τοὶ δὲ περιστήσαντο λίνων εὐερκέα πάντη Δίκτυα.	Opp. ἁλ. δ.
ἀγκύλον	Ἄρκυας αὖ τε βρόχους τε, καὶ ἀγκύλα δίκτυα [illegible].	Id. κυνηγ. β.
διϊσθάλασσον	Δίκτυά σοι μολίβῳ στεφανούμενα, διϊσθάλασσα.	Epigr. lib. 6.
	Nonn. Dionys. εὔπλοκον.	

δίνη vortex, gurges.

βαθεῖα	Ἀνέρι εἰσάμενος· βαθέης δ' ἐφθέγξατο δίνης.	Hom. Il. φ.
ἀκήλητος	Αἰνοπαθὴς δὲ Λέανδρος ἀκηλήτοις ἐνὶ δίναις.	Musæus.
θοή	Ἥλιος δὲ θοῇσιν ἑλισσόμενος περὶ δίνῃς.	Calab. lib. 1.
διαφαινομένη	Ἔβλεψαν δίναν ἐς διαφαινομέναν.	Callimach.

ἀργυρέη	Δίνης τ' ἀργυρέης Ἀχελώϊος ἀμφιελίσσει.	Dionyſ.
λιπαρή	Μαίανδρος λιπαρῇσι κατέρχεται εἰς ἅλα δίναις.	Idem.
ἁλιμυρής	Βάλλον ἐπ' αἰγιαλόν, δίνας ἁλιμυρέας ἕλκον.	Orph. Arg.
λευκή	Μεσσότερος λευκῇσιν ἑλίσσεται εἰς ἅλα δίναις.	Apoll. lib. 2.
ἐγκύκλιος	Ἐγκυκλίοις δίναισι περιθρόνια κυκλέοντες.	Orph. hym.
ἀργυροειδής	Ἥξει δὴ Σιμόεντα καὶ δίνας ἀργυροειδεῖς.	Eur. Iph. A.
ἀνεμώκης	Στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις.	Ariſtoph. Auibus.

Διογένης Diogenes.

Σινωπεύς	Οὐ μὰν ὁ πάρος γ' ἐᾶ Σινωπεὺς τῆνος.	Diog. L. li. 6.
βακτροφόρος &c	Ὁ βακτροφόρος, διπλοείματος, αἰθεριβόσκας.	Ibidem.
Ζανὸς γόνος &c	Διογένης Ζανὸς γόνος, οὐράνιός τε κύων.	Ibid.
Σινωπίτης	Βελθὺ Σινωπίτου Διογένευς ῥόπαλον.	Epigr. lib. 2.
σοφὸς κύων	Διογένευς τόδε σῆμα, σοφοῦ κυνός.	Epigr. lib. 3.
πωγωνοφόρος, βακτροπροσαίτης	Τοῦ πωγωνοφόρου κυνικοῦ, τοῦ βακτροπροσαίτου.	Epigr. lib. 2.
ῥιγομάχας (της	Πᾶσιν ἐπιπλήσσων ἐστὶν ὁ ῥιγομάχας.	Eod.

Διομήδης Diomedes.

βοὴν ἀγαθός	Τῶν δ' αὖθ' ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης	Hom. Bœot.
ὑπέρθυμος	Εὗρε δὲ Τυδέος υἱὰ ὑπέρθυμον Διομήδεα.	Id. Iliad. δ.
κρατερός	Ὣς φάτο, τὸν δ' οὔτι προσέφη κρατερὸς Διομήδης.	Eod.
Τυδείδης	Ἔνθ' αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη.	Idem Il. ε.
δαΐφρων	Τυδείδῃ μὴν ἔγωγε δαΐφρονι πάντα ἐΐσκω.	Eod.
καρτερόθυμος	Καρτερόθυμε, δαΐφρον ἀγαυοῦ Τυδέος υἱέ.	Eod.
ἴφθιμος &c.	Οἵ ἑ, μέγαν περ ἐόντα, καὶ ἴφθιμον, καὶ ἀγαυόν.	Eod.
ἱππόδαμος	Ἔστασαν ἀμφὶ βίην Διομήδεος ἱπποδάμοιο.	Eod.
δῖος	Ἡ δ' ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον.	Eod.
ἄγριος &c.	Ἄγριον, αἰχμητήν, κρατερόν, μήστωρα φόβοιο.	Iliad. ζ.
ὄβριμος	Ἡ δ' ἀμφ' Ἀτρείδας, καὶ Τυδέος ὄβριμον υἱόν.	Eod.
δουρικλυτός	Ἢ μετὰ Τυδείδην δουρικλυτόν, ἢ δ' Ὀδυσῆα.	Iliad. κ.
μενεπτόλεμος	Τυδείδης τε μενεπτόλεμος, καὶ δῖος Ὀδυσσεύς.	Iliad. τ.
ποιμὴν λαῶν	Τυδείδην μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν.	Iliad. ψ.

ἀρήϊος	Φεῦγε δ' ὁ Τυδέος υἱὸς ἀρήϊος, ὦρσε δ' ἑταίρους.	Hom. Od. γ.
σθεναρός	Τυδέα· τοῦ δ' ἐπέτεκτε πάϊς σθεναρὸς Διομήδης	Calab. lib. 1.
ὄμβριμος	Νόσφιν ἀποστρέψας, ὡς Τυδέος ὄμβριμον υἷα.	Idem lib. 3.
ἐρικυδής	Οἱ μὲν Τυδείδην ἐρικυδέα θαρσύνοντες.	Id. lib. 4.
ἀγχέμαχος	Καὶ τότε Τυδείδης ἀγχέμαχος ὦρτ' ἐνὶ μέσσοις.	Idem lib. 6.
ἀντίθεος	Ἠδὲ καὶ ἀντιθέου Διομήδεος, οἵ ῥά μιν ἄμφω.	Idem lib. 7.
λαοφόνος &c.	-- λαοφόνον Διομήδεα Μισγομένα Τυδῆϊ τέκες Καλυδώνιον ἄνδρα. Vbi Interpres: Καλυδώνιον δέ φησι τὸν Διομήδην, ὅτι ὁ Τυδεὺς ἦν ἐκεῖθεν.	Theoc. εἰδ. ιζ

Διονυσιάς *Dionysias.*

Pratinus Phliasius, (citante Scaligero lib. 1. Poetices cap. 47) πολυπαταγοθυμήας.

Διόνυσος supra Βάκχος.

Διονύσιος, *Dionysius, Siciliæ tyrannus.*

Σικελιώτης	Περὶ Διονυσίου τοῦ Σικελιώτου.	Eubulus.
ὀλοόφρων &c.	Ἐλθὼν δ' οὐ Σικελῶν ὀλοόφρονα κεῖθι τύραννον, ὠμοφάγον, Σκύλλης λευγαλέης τρόφιμον, ὑβριστὴν Μουσέων Διονύσιον.	M. Musur.
αὐθάδης σεμνοῖς	Ἀλλ' ἔστι τοῖς σεμνοῖσιν αὐθαδέστερος.	Eubulus.

Δίρκα *Dirce, fons Thebis.*

καλλιρέεθρος	Δίρκα θ' ἁ καλλιρέεθρος, σύν τ' Ἀσωπίδες κόραι	Eurip. Herc. Fur.
	Nonn. Dionys. δρακοντόβοτος, φονίη, ὀφιώδης, ἐχιδνόκομος.	

δίφρος *currus, biga.*

περικαλλής	Πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήσατο δίφρον	Hom. Il. γ.
πρωτοπαγής	Καλοί, πρωτοπαγεῖς, νεοτευχέες.	Idem Il. ε.
εὐεργής	Αὐτὰρ ὁ ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου.	Eod.
παμφανόων	Αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος	Iliad. θ.

ποικίλος	Ποικίλου ἐκ δίφροιο νοήσατο χερσὶν ἑλέσθαι.	Idem Il. κ.
εὔξεστος	-- ὁ μὲν εὐξέστῳ ἐνὶ δίφρῳ Ἧστο ἀλείς.	Iliad. π.
κολλητός	Κολλητὸν ποτὶ δίφρον. ὁ δ᾽ ἄερα μάστιγα φαεινήν.	Iliad. τ.
εὔπλεκτος	Αὐτὸς δὲ κλινθῆναι εὐπλέκτῳ ἐνὶ δίφρῳ.	Iliad. ψ.
εὐπλεκής	Δίφρους ἀνστρέψαν εὐπλεκέας.	Eod.
εὔξοος	Τρεῖς ἵππους καὶ δίφρον εὔξοον.	Hom. Od. δ.
ἱππεῖος	Γῆθεν ἐπικρατέως, ἐπὶ δ᾽ ἱππείου θόρε δίφρου.	Hesiod. Scu.
πολυδαίδαλος	Ες δίφρον θῆκαν πολυδαίδαλον.	Eod.
ἐλεφάντινος	Φῆ, καὶ ἐρωτήσας, ἐλεφάντινον ᾤχετο δίφρον.	Theoc. εἰδ. λα
ἀξόνιος	Θλίψας ἐν πυρὶ πρῶτον ἐπ᾽ ἀξονίῳ κύκλε δίφρῳ.	Idem εἰδ. λβ.
εὔκυκλος	Χὠ δίφρος εὔκυκλος, χὠ θοὸς ἵππος ὁμοῦ.	Dolsc.
εὐπηγής	Τῷ δὲ καὶ ὠκυπόδων ἵππων εὐπηγέα δίφρον.	Apoll. libr. 3.
εὔτυκτος	-- ὁ δ᾽ εὐτύκτῳ ἐνὶ δίφρῳ Αἰήτης ἵπποισι μετέτρεπεν.	Idem lib. 4.
πηλινός	Κεῖνος ἐλᾷ πηλινῷ δίφρῳ ἐφεζόμενος.	M. Musur.
ἀεθλοφόρος	Αὖθις ὑπὲρ δίφρων βῆσεν ἀεθλοφόρων.	Christod.
ἀελλόπους	Δίφροις τε νωμάσσοισιν ἀελλόποδας.	Pind. Pyth.
καμπύλος	Οὐδὲ πανηγυρίων ξυνᾶν ἄπεχον καμπύλον δίφρον.	Id. Isthm.
τροχήλατος	Ἄθλοισι Πυθικοῖσιν ἐκ τροχηλάτων Δίφρων κυλισθείς.	Soph. Elect.
χρυσοκόλλητος	Καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις.	Eur. Phœnis.

Nonn. Dionys. τετράζυξ, πτερόεις, ἀργυροφεγγής, εὐπτέρυξ, ὀρέσαυλος, κεραελκής, νυμφοκόμος, ἅρπαξ, εὐόρπηξ, φερέσταχυς, κηροπαγής, διδυμόζυξ, περιμήκης, ἠλίβατος, ἀλεξίμορος, βαθυζώνης, ὀπισθότονος, φεραυγής.

δίσκος *discus.*

Nonnus Dionys. τροχοειδής.

δίψα *sitis.*

πολυκαγκής	Τὼ δ᾽ ἐπεὶ οὖν πίνοντ᾽ ἀφέτην πολυκαγκέα δίψαν.	Hom. Iliad. λ.

λισιμβής

λισμώδης	Δίψα τε λισμώδης, καὶ μέθυσις χαλεπή.	Theogn.
ἀργαλέη	Ὥς δ' ὅτε τις νούσῳ καὶ ἀργαλέῃ μέγα δίψῃ.	Calab. lib. 10
θυμοφθόρος	Εἴ τις δίψαν ἔχει θυμοφθόρον, εἰς ἐμὲ βαίνων.	Nonnus.
ἀζαλέη	Ἑλδόμενος σβέσαι ἀζαλέην ἐπὶ πίδακι δίψαν.	Dolsc.
μαλερή	Πάντες τηκόμενοι μαλερῇ δίψῃ τε βίῃ τε.	Sibyll.
αὐαλέη	Ἢν δέ τις αὐαλέῃ πεπιεσμένος αὐχένα δίψῃ.	Nicand. Al.
ξηρή	-- ἐπὶ ξηρῇ γὰρ ἔκειτο δίψῃ.	Apoll. lib. 4.
κελαινή	Χανδὸν κελαινὴν δίψαν αἰονουμένων.	Lycophr.

Nonn. Dionys. αἴθοψ, καρχαλέη.

Διώνη Dione.

δῖα θεάων	Τὴν δ' ἠμείβετ' ἔπειτα Διώνη δῖα θεάων.	Hom. Il. ε.
καλή	Ἥβην τε χρυσοστέφανον, καλήν τε Διώνην.	Hesiod. Th.
ξανθή	Νᾶμα, καὶ οἰκεῦντες ξανθᾶς ἕδος αἰπὺ Διώνας	Theoc. εἰδ. ζ.
εὐπλόκαμος	Δημήτηρ τε καὶ Ἑστίη, εὐπλόκαμός τε Διώνη.	Sibyll.
σεμνή	Λητώ τ' εὐπλόκαμον θείην, σεμνήν τε Διώνην	Orph. hym.

Διώνυσος, supra Βάκχος.

δμωὴ ἢ δμωΐς, *serua, ancilla.*

εὐπλόκαμος	Ἡ δ' αὖτις δμωῇσιν ἐϋπλοκάμοισι μετηύδα.	Hom. Il. χ.
μογερά	Δμωῇς σὺν μογερῇσι, καὶ ἀχνυμένοισιν Ἀχαιοῖς	Calab. lib. 3.
ἐπεσβόλος &c.	-- καὶ δμωῒς ἐπεσβόλος ὄμματι λοξῷ Δερκομένη πυλαωρός.	Nonnus.

δμὼς *seruus.*

λυγρός	Δμῶα λυγρὸν πεύξοισιν, ἐπεὶ πατρὸς οὐκ ἔτ' ἐόντος.	Calab. lib. 5.
ταλασίφρων	Ἄνυσατε δμῶες ταλασίφρονες, αὐτὸς ἀΰτει.	Theoc. εἰδ. λα
δειπνοφόρος	Ἠλίου, ὥστε δμώεσσι δειπνοφόροισιν ὑπουργῇ.	Cyr. Theod.

δόλος *dolus.*

κακός	Καὶ σὺ κακοῖσι δόλοισι κεκασμένε κερδαλεόφρον	Hom. Il. δ.
πυκινός	Τῷ δ' ἄρ' ἀνερχομένῳ πυκινὸν δόλον ἄλλον ὕφαινε.	Id. Iliad. ζ.
αἰπύς	Ὁρμαίνων δόλον αἰπὺν ἐνὶ φρεσί.	Id. hymn.

ἀμήχανος	Αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν.	Hesiod. li. 1.
ἀνάπυστος	Πρὶν μιν ἐπαθρήσειε, δόλον δ' ἀνάπυστον ἀνάψῃ	Tryphiod.
αἰνός	Ἄμφω ἐπισταμένοι δόλον ἰχθύσι μητίσασθαι Αἰνόν.	Calab. lib. 11
στυγερός	Ἐκ δ' ἐτελεῖτο δόλος στυγερὸς καὶ κῆρες ἀΐδναι.	Orph. Arg.
ὀρφναῖος	Ἡ ματίῃ κακότητι, καὶ ὀρφναίοισι δόλοισι. (νων.	Nazianz.
ἀμφοτερόστομος	Ἢ δόλον ἀμφοτερόσαλλον, ἢ ἀγκύλα μήδεα φαί-	Nonnus.
ὑπότροπος	Ὅττί μιν ὑποτροπίῃ δόλῳ μενέαινον ὀλέσσαι.	Idem.
ἄτλητος	Ἀτλήτοις Μινύεσσι δόλοις καὶ κήδεα τεύχων.	Apoll. lib. 3.
θανατηφόρος	Καὶ δόλος ἡμείων θανατηφόρος οὐδὲν ὀνήσει.	Nonnus.
κρυπτάδιος	Κρυπταδίοις τε δόλοις ὑφαινέμεν.	Apoll. lib. 3.
λοξός	Λοξὸν ὑπ' ὀφθαλμοῖς ὁρόωσα δόλον. (πεῖ.	Opp. ἁλ. γ.
ἀγκύλος	Ἐκ πρύμνης ἁλιεὺς δόλον ἀγκύλον εἰς ἅλα πέμ-	Eod.
γναμπτός	Μάρψε δ' ἐπιθύσας γναμπτὸν δόλον.	Id. ἁλ. ε.
φαρμακόεις	Ὄρχατον ἐμπήξει φαρμακόεντι δόλῳ.	Epigr. lib. 2.
πολύφραστος	Κέρδεά τ' αἰολόβουλα, πολυφράστοις τε δόλοισι.	Opp. κυνηγ. δ.
ὀξυρεπής	Φῶτας δ' ὀξυρεπεῖ δόλῳ ἁπλῶτι δαμάσας.	Pind. Olym.
ἄθεμις	Ξενίαν κοίταν, ἄθεμίν τε δόλον.	Id. Pyth.
δυσπενθής	Ἐκ δόλου τοφὸς ἄμελγε δυσπενθέος.	Ibid.
κακότεχνος	Ἦ μάλα δὴ κακότεχνος ἀμήχανε σὸς δόλος ἐστί	Hom. Il. ο.
φελκτός	Φελκτὸν ἐφ' ἡρώεσσι δόλον καὶ μῆτιν ὑφαίνων.	Orph. Arg.

Nonnus Dionysiacis λιγύθροος, πολυειδής, φθονερός, ἀνόνητος, κλεψίνοος, οἰστρήεις, ἱμερόεις, φιλοπαίγμων, ἐπίκλοπος, δυσμήχανος, τεχνήεις, κρύφιος, πομπὸς ἐρώτων.

Δόλων Dolon.

πολύχρυσος	-- Δόλων Εὐμήδεος υἱός	Hom. Il. κ.
πολύχαλκος	Κήρυκος θείοιο, πολύχρυσος, πολύχαλκος.	
λαιψηρός	Καί μιν ἐγὼ λαιψηρὸν ἐμὸν θεράποντα Δόλωνα.	Orph. λίθ.

δόμος domus.

περικαλλής	Αἱ δ' ὅτ' Ἀλεξάνδροιο δόμον περικαλλέ' ἵκοντο.	Hom. Iliad. ζ.
ὑψηλός	Οὐδὲ Πάρις δήθυνεν ἐν ὑψηλοῖσι δόμοισι.	Id. Iliad. ζ.

πυκινός

πυκινός	Ἐξέλετ' Αὐτόλυκος, πυκινὸν δόμον ἀντιτορήσας	Iliad.κ.
ἄφθιτος	-- ἵκανε δόμον Θέτις ἀργυρόπεζα	Iliad.σ.
ἀστερόεις	Ἄφθιτον, ἀστερόεντα.	
θεῖος	Αὐτοὺς δ' εἰσῆγον θεῖον δόμον.	Hom.Od.δ.
ἀθάνατος	Ἀθάνατοι γάρ τοῦ γε δόμοι καὶ κτήματ' ἔασιν.	Eod.
εὐρώεις	Αὐτὸς δ' εἰς ἀΐδεω ἰέναι δόμον εὐρώεντα.	Odyss.κ.
χαλκήϊος	Οὐδ' ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών.	Odyss.σ.
ἱερός	Οἷα θεῶν μακάρων ἱεροὶ δόμοι ἐντὸς ἔχουσι.	Hom. hym.
οὐρανομήκης	Πύργος δ' ἀμφιβόητος ἐμὸς δόμος οὐρανομήκης	Musæus.
σκιόεις	Καί τις ὑπὸ σκιόεντι δόμῳ κεκρυμμένος ἀνήρ.	Tryphiod.
κηώεις	Ἄμφω δ' ἱκανόωντο δόμῳ ἔνι κηώεντι.	Calab.lib.6.
στεγανός	Ταῦτα δ' ἐμὸν θάσσει στεγανὸν δόμον.	Callimach.
πίων	Οὐ μὰν ἀχρεῖός γε δόμῳ ἐνὶ πίονι χρυσός.	Theoc.εἰδ.ιζ.
ὑπωρόφιος	Τῆμος ὑπωροφίοισιν ἐνικνώσσουσα δόμοισι.	Idem εἰδ.κ.
ὀστρακόεις	Αὐτίκα δ' ὀστρακόεις ἐπλατάγησε δόμος.	Epigr. lib. 1.
ἀστεμφής	Ὅστις ἐπὶ σταθμοὺς ἠδ' ἀστεμφῆ δόμον ἵξῃ.	Orph. Arg.
πολύξεινος	Λώϊον ἀξενίη πουλυξείνοιο δόμοιο.	Nazianz.
αἰπύς	Οὐ γάμον, οὐδὲ γε πλοῦτον ἐοικότα, οὐ δόμον αἰπύν	Idem.
εὔδμητος &c.	Καὶ οἱ εὔδμητοι τὸ πάρος δόμοι, εὐσταθέες τε.	Dolsc.
βασιλήϊος	Οἰκονόμον τε δόμου βασιληΐου, ἠδὲ κύβερνον.	Idem.
γλυκερός	Ῥεῖα ποτὶ γλυκερὸν δόμον ἤλυθεν, ἦχι νάεσκεν.	Opp.κυνηγ.β.
ἀγλαόμορφος	Οἷον δή νυ ταῶνες ἑὸν δόμον ἀγλαόμορφον.	Eod.
μελαντειχής	Μελαντειχέα δόμον Φερσεφόνας ἴθι ἀχοῖ.	Pind. Olym.
εὐτειχής	Τὸ λοιπὸν ἔμμεναι θεοῦ παρ' εὐτειχέα δόμον.	Id. Nem.
χρυσεόστολος	Ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλους δόμους.	Æsch. Pers.
χρυσαυγής	Ἀστὴρ ἰδεῖν ἔλαμψε χρυσαυγεῖ δόμῳ.	Aristoph.
	Nonn.Dionys. αἰπύδμητος, εὐφόρμιγξ, ἀνύμφευτος, ἀκλήϊστος, λινόπλεκτος, κουροτρόφος.	Auibus.
	δόναξ calamus, arundo, fistula.	
εὐκέλαδος	Καὶ χορὸν εὐκελάδων δονάκων ἐπὶ φυτὰ ἐάσας	Coluth.
πολύκαμπτος	Κλινόμενος κραιπνοῖσι δόναξ πολύκαμπτος ἀήταις.	Nazianz.
μελίγραφος	Μελιγράφοις δονάκεσσιν Ἰωάννου γράφε φωνάς.	Idem.
σκιαρός	Οὐ γάρ τις σκιαροῖς θὴρ ἐν δονάκεσσι καθίζων.	Dolsc.
ἰξοφόρος	-- τοὺς δὲ δόναξιν ἐπέσπασαν ἰξοφόροισι.	Opp.ἁλ.α.

δολιχός	Τῶν δ᾽ οἱ μὲν δονάκεσσιν ἀναψάμενοι δολιχοῖσι.	Id. δή. γ.
λεπτός	Ἔστι δέ οἱ λεπτός τε δόναξ μετὰ χερσὶν ἑτοῖμος.	Eod.
εὔτρητος	Κροῦμα δι᾽ εὐτρήτων φθεγγόμενος δονάκων.	Epigr. lib. 1.
πολύτρητος	Εὐτέρπη δονάκεσσι πολυτρήτοισι λιγαίνει.	Eod.
ὑμνοπόλος	Βάρβιτον· ἁ καναχὰ δ᾽ ὑμνοπόλοις δόνακας.	Epigr. lib. 4.
ἰξευτής &c.	Οἵ τε καὶ ἰξευτῇ λαβροβόλῳ δόνακι.	Eod.
λιμνοφυής	Οὐκ ἄτερ ἀγκίστρων λιμνοφυῆ δόνακα.	Epigr. lib. 6.
ἀγκιστρόδετος	Τῶν τ᾽ ἀγκιστροδέτων συζυγίην δονάκων.	Eod.
νόμιος	Τὸν σέο, καὶ νομίων λησάμενος δονάκων.	Epigr. lib. 4.
ἀκροβελής	Καὶ σμίλην δονάκων ἀκροβελῶν γλυφίδα.	Epigr. lib. 6.
κηρόπλαστος	-- ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ ἀχέτας.	Æsch. Prom.

Nonnus Dionys. ὁμόφθογγος, λιγυρός, τερψίνοος, ἐπήτειμος, ἔμπνοος.

δόξα gloria.

ἀθάνατος	Ἀθάνατος αἰεὶ δόξα διατελεῖ μόνον.	Philemon.
κενεή	Ἢ δόξης κενεῆς, ἢ κτήσιος, ἢ φθονὸς αἰνός.	Nazianz.
ἀείμνηστος	Δόξαν ἀείμνηστον τῷ πάντ᾽ ἀπὸ φῦλα νέμοιεν.	Dolsc.
ἔνδοξος	Ἔρχετ᾽ ἐμ᾽, ἔνδοξος δόξα μοί ἐστι θεός.	Idem.
ἐελκυδής	Ἐκπρεπῆ ἐξερέω τὴν σὴν καὶ ἐελκυδέα δόξαν.	Idem.
εὐάγγελος	Εὐάγγελος δόξης τε τοῦ εὐαγγέλου.	Nazianz.
ἄμεμπτος	Εἰρήνην τε θεάν, καὶ πλούτου δόξαν ἄμεμπτον.	Orph.
ἱμερτή	Δόξαν ἱμερτὰν ἀγαγόντ᾽ ἀπὸ Δελφῶν.	Pind. Pyth.
ἄπλετος	Μαρτύρια φθιμένων ζωῶν τε φωτῶν ἀπλέτου δόξας. (ζιᾶς.	Id. Isthm.
ἐπήρατος	Σύν τέ οἱ δαίμων φυτεύει δόξαν ἐπήρατον ἐχα-	Ibid.
πραΰνοος &c.	Πραΰνοον μετάθεσθε βίου μαλακόφρονα δόξαν.	Orph. hym. Eumen.

δορκὰς ἢ δόρκος caprea, dama.

ὠκύπους	Κρησφύγετ᾽ ὠκύποσιν ταῖς δορκάσιν ἄκριές εἰσι.	Dolsc.
τανύκραιρος	-- ὅσος δὲ τανυκραίροις ἐπὶ δόρκοις.	Opp. κυνηγ. β.
χρυσοκάρανος &c.	Τάν τε χρυσοκάρανον δόρκαν ποικιλόνωτον, συλήτειραν ἀγρωσταῖν, κτείνας.	Eurip. Herc. Fur.

	δορός uter, culeus, saccus.	
εὐρραφής	Ἐν δέ μοι ἄλφιτα χεῦσον εὐρραφέεσσι δοροῖσι.	Hom.Od.β.
	δόρπος cœna.	
λαρός	Νήσῳ ἐν ἀμφιρύτῃ λαρὸν τετυκοίμεθα δόρπον.	Hom.Od.μ.
πανείδατος	Καί οἱ δόρπον ἔτευξε πανείδατον.	Calab. lib.1.
μελιηδής	- οὔτ' ἄρα δόρπου Μνήσατ' ἐνὶ κλισίῃ μελιηδέος.	Idem lib. 5.
παναεργής	Εὖτ' ἂν ὑπ' ἐκ φάρυγος χεύῃ παναεργέα δόρ- πον.	Nicād. Alex.
	δόρυ hasta, iaculum.	
κεκορυθμένον	-- αὐτὰρ ὁ δοῦρε δύω κεκορυθμένα χαλκῷ Πάλλων.	Hom.Il.γ.
ὀξύ	Πελαμίδης καθ' ὅμιλον ἀκόντισεν ὀξέϊ δουρί.	Id.Iliad.δ.
φαεινόν	Στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ.	Eod.
παμφανόων	Ὀξέα, παμφανόωντα, σάκος δ' ἀνεδέξατο πολ- λά.	Hom.Il.ε.
μείλινον	Μηροῦ ἐξερύσαι δόρυ μείλινον, ὄφρ' ἐπιβαίη.	Eod.
χαλκήρες	Ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα.	Iliad.ζ.
εὔξοον	Δεξίτερον δ' ὑπὲρ ὦμον εὐξόου δουρὸς ἀκωκή.	Iliad.κ.
χαλκοβαρές	Καὶ δόρυ χαλκοβαρές, κακὰ δὲ Τρώεσσι μενοίνα	Id.Od.λ.
ἄλκιμον	Εἵλετο δ' ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλ- κῷ. (τες.	Idem Il.λ.
ἀκαχμένον	Κροσσάων ἐπέβαινον ἀκαχμένα δούρατ' ἔχον	Iliad.μ.
κοῖλον	Ἢ διατμῆξαι κοῖλον δόρυ.	Id.Odyss.θ.
στιβαρόν	Πῆξεν δ' ἐν στέρνῳ στιβαρὸν δόρυ.	Hom.Batr.
κραταιόν	-- τοὺς πρόρ ῥα κατέκτανε δουρὶ κραταιῷ.	Calab. lib.1.
περιμήκες	Οὔτασεν ἐς μυῶνα παχὺν περιμήκεϊ δουρί.	Eod.
κελαινόν	Ἄλλοις δ' αὖτ' ἐδάμασσεν ὅσοις κίχε δουρὶ κε- λαινῷ.	Eod.
λαοφόνον	Λαοφόνον δόρυ μακρὸν ὑπαὶ Χείρωνι πονηθέν.	Eod.
λευγαλέον	Δούρατι λευγαλέῳ, ἐπεὶ δ' ἔκτανε δῖον Ἔρευθον.	Id.lib.2.
ἀγχέμαχον	Καὶ κρατερῇσι λάεσσι, καὶ ἀγχεμάχοις δοράτεσσι	Idem lib.6.
στονόεν	Δουρὶ δέ μιν στονόεντι κατ' εὐρέος ἤλασεν ὤμου.	Eod.

ἀαγές	Ἀαγὲς δόρυ μακρὸν, ὃ πολλῶν γούνατ' ἔλυσεν.	Eod.
ἀτειρές	Καὶ δόρατος πείρησαι ἀτειρέος ἡμετέροιο.	Idem lib. 8.
γναμπτόν	Ἐνθόρη αἰζηὸς γναμπτὸν δόρυ χειρὶ μεμαρπώς.	Idem lib. 9.
ἀμείλιχον	Ἄλλο τε μὴν δόρυ πάλλεν ἀμείλιχον.	Idem lib. 11.
θοόν	Πολλῶν ἐν χείρεσσι θοὸν δόρυ. τῷ δ' ἄρα λαοί.	Eod.
βελαρόν	Νόσφιν ἀπεπλάγχθη βελαρὸν δόρυ.	Eod.
ἀμαιμάκετον	Υἱὸς δ' αὖτ' Ἀχιλῆος ἀμαιμακέτῳ ὑπὸ δουρί	Id. lib. 13.
λοίγιον	Βάλλοντες στονόεντα βέλη, καὶ λοίγια δοῦρα.	Ibid.
θοῦρον	Ἴσω νῦν δόρυ θοῦρον &c. (μεμαρπώς.	Apoll. lib. 1.
προτενές	Σὺν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ με	Eod.
ἀμφίγυον	Δούρασί τ' ἀμφιγύοις, κορύθεσσί τε λαμπομένοισι. (ἄγχης.	Apoll. lib. 3.
κοῦφον &c.	Στελλάμενοι δόρυ κοῦφον ἀτάσθαλον εἰς πόνον	Opp. ἁλ. ε.
ἀφόρυκτον	Τίς θέτο μαρμαίροντα βοάγρια, τίς δ' ἀφόρυκτα δούρατα. (ὤν.	Epigr. lib. 1.
Τρωοφθόρου	Οὐκέτι μεσκάψει Τρωοφθόρα δούρατ' Ἀχαι-	Eod.
τριβελές	Εἰναλίου τε θεοῦ τριβελὲς δόρυ, θύρσα τε Βάκχου.	Epigr. lib. 4.
αἱματόεν	Δούρατα δ' αἱματόεντα μέθες Τριτωνίδι δῖα.	Eod.
φοίνιον	Κόρσην σκεπάσει ῥῦμα φοινίου δορός.	Lycoph.
πρόμαχον	Ἰὼ κελαινὰ λόγχα προμάχου δορός.	Soph. Trach
πολύπονον	Ἄμιστρις Ἀμφιστρεύς τε πολύπονον δόρυ νωμῶν	Æſch. Perſ.
γομφόδετον	Δεσποσίῳ σὺν ὕβρει γομφοδέτῳ δορὶ διόλου.	Id. Suppl.
πολυαίνετον	Καὶ δορὸς πολυαινέτου δίκᾳ Μιῶιν ἐμὲ χθονὶ κεύθειν.	Eurip. Herac
καλλίνικον	Οὗ καλλινίκου δορὸς ἄγαλμ' ἱδρύσατο.	Id. Herc. Fur
γιγαντοφόνου	Ἐπεὶ δόρυ γιγαντοφόνον ἦλθε σὺν θεοῖς.	ibid.
	Nonn. Dionyſ. θοῦρον, ἄρρηκτον, τηλέπορον, ἀφειδές, ἰθυτενές, ὑποβρύχιον, τολμῆεν, εἰκοσίπηχυ, ναύμαχον.	

Δουλίχιον *Dulichium.*

πολύπυρον	Ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.	Hom. Od. ξ.
ποιῆεν	Ὅς ῥ' ἐκ Δουλιχίου πολυπύρου ποιήεντος.	Id. Od. π.

δουλοσύνη ἢ δουλεία *ſeruitus.*

ἀργαλέα	Φεύγομεν, ἀργαλέη δ' οὐκ ἔτι δουλοσύνη.	Theogn.

χαλεπή

χαλεπή	Ἦν δὲ οἱ δυσμενέοντες ἕλον, χαλεπῇ δ᾽ ἐνέδησαν Δουλοσύνῃ.	Nazianz.
ὀλοή	Ὃς περαθεὶς, ὀλοῆς ἔμμορε δουλοσύνης.	Dolsc.
βαρεῖα	Ἑλλάδ᾽ ἐξέλκων βαρείας δουλείας.	Pind.Pyth.
	δούπημα ἢ δοῦπος *fragor, strepitus*	
ἐρατός	-- ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει.	Hesiod. Th.
βαρυκτυπής	Γηρύνη τε βαρυκτυπέα δουπήματα βροντῶν.	Sibyll.
πελώριος	Σὺν κελάδῳ σακέεσσι πελώριον ὦρσατε δοῦπον.	Apoll. lib. 2.
διηχής	Τῶν μέν τις καὶ τῆλε διηχέα δοῦπον ἀκούσας.	Opp. ἁλ. ε.
κρατερός	Μάρναται, κρατερὸς δὲ πρὸς αἰθέρα δοῦπος ἱκάνει.	Id. κυνηγ. β.
πολυηχής	Ἔξοχα δὲ συνεχῆ δοῦπον πολυηχέα θηρῶν.	Id. κυνηγ. γ.
χερόπληκτος	Χερόπληκτοι δ᾽ ἐν στέρνοισι πεσοῦνται δοῦποι.	Soph. Aiace.
	Nonn. Dyonys. ἀπειλητὴρ Διὸς, βρονταῖος, δαιμονίης σάλπιγγος ἀλάστορα δοῦπον ἀεράσσων, δίκτυπος.	
	δοῦρα ἢ δούρατα *ligna, trabes.*	
εὔξοχα	Ποσσὶν ὑπὸ βελαροῖσιν εὔξοχα δούρατα θῆκεν	Calab. lib. 12
νήϊα	Ἀμφὶ δὲ νήϊα δοῦρα βαρύβρομον Ἀμφιτρίτην.	Idem lib. 14.
γομφότομα	Δούρασι γομφοτόμοισιν ἐγὼ γομφωτὸν ἐλάσσαι.	Nonnus.
κωπήεντα	Δούρατ᾽ ἐπαμπήξασθαι ἴσ᾽ ἄορα κωπήεντα.	Orph. Arg.
	Nonn. Dionys. εὔγλυπτα, ἀρήϊα νηῶν.	
	δράκων ἢ δράκαινα *draco.*	
αἰολοσκόπος	Ἐξ ἀπάτης δράκοντος αἰολοσκόπου.	Nazianz.
δασπλής	Ἔνθα δύω δασπλῆτε νομὸν στείβουσι δράκοντε.	Nicand. Th.
πυρφόρος	Πυρφόρος ὥστε δράκων ὁπόταν ἐπὶ κύμασιν ἔλθῃ	Sibyll.
ἑρπυστής	Ὕλαις δ᾽ αὖ θῆρας λασιαύχενας, ἠδὲ δράκοντας Ἑρπυστάς.	Ibid.
βροτολοιγὸν πέλ.	Οἷον ἔχουσι χόλον βροτολοιγὰ πέλωρα δράκον- (τες.	Dolsc.
ὠμηστής	Καὶ σὺ ἐν ὠμηστέων φθείρῃς ἀπέσιν ἄμμε δρα- (κόντων.	Idem.
πόντιος	Καὶ τὸν μὲν εἰσδέξαιτο πόντιος δράκων.	Cyr. Theod.
δαφοινός &c.	-- δράκων ἐπὶ νῶτα δαφοινὸς Δεινός τ᾽ ἀργαλέος τε καὶ ἄγριος.	Falc. Proba.
ἰοβόλος &c.	Πλησίον ἀνθρώπων καὶ ἰοβόλων κακοβούλων.	Sibyll.

Nonn. Dionys. πολυμήχανος.

ἐπίκουροι adiutores, auxiliares.

ἐγχέσπαλοι	-- ἀλλ' ἐπίκουροι Πολλέων ἐκ πολίων ἐγχέσπαλοι.	Hom. Il. ε.
κλειτοί	Ἀλλ' οὔ τις δυνάτο Τρώων κλειτῶν τ' ἐπικούρων.	Id. Iliad. γ.
τηλεκλυτοί	Ἀρχοῖς λισσομένῳ τηλεκλυτῶν τ' ἐπικούρων.	Iliad. ε.
ὑπερμενεῖς	Νεκροὶ ὁμοῦ Τρώων τε ὑπερμενέων ἐπικούρων.	Iliad. ρ.
πολύγλωσσοι	Δάκρυσιν ἠμείβοντο πολυγλώσσων ἐπικούρων.	Tryphiod.
σθεναροί	Ὦ φίλοι οἱ δ' ἄγοι Τρῶες σθεναροί τ' ἐπίκουροι.	Calab. lib. 2.
ἀγχέμαχοι	Τρώων μήποτε λαὸς ἢ ἀγχεμάχων ἐπικούρων.	Idem lib. 8.

Ἐπίκουρος Epicurus.

σοφός	Ἐπικούρου δέ με ὁρᾷς μαθητὴν ὄντα τοῦ σοφοῦ.	Damox.

Ἐπιμηθεύς Epimetheus.

ἁμαρτίνοος	-- ἠδὲ Προμηθέα ποικίλον αἰολόμητιν, ἁμαρτίνοόν τ' Ἐπιμηθέα.	Hesiod. Th.
ὀψίνοος	Ὃς οὐ τὰν Ἐπιμηθέος ἄγων ὀψινόου θυγατέρα προφάσιν.	Pind. Pyth.

ἔπος

ἔπος verbum, sermo, mandatum &c.

πτερόεν	Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα.	Hom.Il.α.
ἀταρτηρόν	Πηλείδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσι.	Eod.
ἀντίβιον	Ὥς τώ γ' ἀντιβίοισι μαχεσσαμένω ἐπέεσσι.	Eod.
ὀνείδιον	Ἥρη, ὅταν μ' ἐρέθησιν ὀνειδίοις ἐπέεσσιν.	Eod.
μαλακόν	Ἀλλὰ σὺ τόν γ' ἐπέεσσι καθάπτεσθαι μαλακοῖσι.	Eod.
ἄκοσμον	Ὅς ῥ' ἔπεα φρεσὶν ᾗσιν ἄκοσμά τε πολλά τε ᾔδη.	Iliad. .β
αἰσχρόν	Τὸν δ' Ἕκτωρ νείκεσσεν ἰδὼν αἰσχροῖς ἐπέεσσιν.	Iliad.γ.
κερτόμιον	Κερτομίοις ἐπέεσσι παραβλήδην ἀγορεύων.	Iliad.δ.
χολωτόν	Τοὺς μάλα νεικείεσκε χολωτοῖσιν ἐπέεσσι	Eod.
μειλίχιον	Αὐτίκα δ' Ἰδομενῆα προσηύδα μειλιχίοισι.	Eod.
πυκινόν	Καὶ γὰρ τὸ δ' εἰπέμεναι πυκινὸν ἔπος.	Iliad.η.
στερεόν	Ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσσι Νείκεον.	Iliad.μ.
ἔκπαγλον	Ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, ὅς τέκεν αὐτός.	Iliad.ο.
λευγαλέον	Λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἐρείῃ. (πευ.	Iliad.υ.
ὀλοφυδνόν	Χερσί τε συμπλατάγησεν, ἔπος δ' ὀλοφυδνὸν ἔει-	Iliad.ψ.
ὑπερφίαλον	Εἰ μὴ ὑπερφίαλον ἔπος ἔκβαλε, καὶ μέγ' ἀάσθη.	Odyss.δ.
δεινόν	-- ἔπος δ' εἴ πέρ τι βέβακται Δεινόν.	Odyss.θ.
δόλιον	Ἀλλά μιν ἀψόρρον προσέφην δολίοις ἐπέεσσι.	Odyss.ι.
στυγερόν	Νῶϊ μὲν ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσι.	Odyss.λ.
νηκερδές	Οὐδέ τι πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἐνίσπες.	Odyss.ξ.
θυμαλγές	Εὔμαι', ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες.	Odyss.π.
ἱμερόεν	Ἀείδει δεδαὼς ἔπε' ἱμερόεντα βροτοῖσι.	Odyss.ρ.
πολυπλανής	Τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθους;	Musæus.
ἀποθύμιον	Ἤ τι ἔπος εἰπὼν ἀποθύμιον.	Hesiod. li. 2.
δύσφημον	Ἔργα τε δείλ' ἔμαθον, καὶ ἔπη δύσφημα, καὶ ὕβριν.	Theogn.
θυμηδές	Ὄφρα λιλαιομένοισιν ἔπος θυμηδὲς ἐνίσπω.	Calab.lib.14
πικρόν	Ἕλκων κρυπταδίοις ῥήμασι πικρὸν ἔπος.	Nazianz.
αἰνιγματῶδες	Στίλπωνος οὐ λύσας αἰνιγματώδε' ἔπη. (μᾶς.	Diog. L.li.2.
πολυθρύλλητον	Ὡς πολυθρύλλητόν τι ἔπος, καὶ ὡς παίγνιον ἡ-	Dolsc.
ἡδύθροον	Γλῶσσά τε ἡδυθρόων οὐκ ἐπιδεύσετ' ἐπῶν.	Idem.
λοξόν	Ἄνειμι λοξῶν ἐς διεξόδους ἐπῶν.	Lycoph.

θυμῆρες	Ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπω.	Apoll. lib. 1.
χαμαιπετές	Χαμαιπετὲς δ᾽ ἄρ᾽ ἔπος οὐκ ἀπέρριψεν αὐτοῦ.	Pind. Pyth.
κοῦφον	Ὦ 'νθρωπ᾽ ἄγγελον τοῦτο τὸ κοῦφον ἔπος.	Epigr. lib. 1.
μελίγλωσσον	Ἐγὼ μελιγλώσσων ἐπῶν ἱεὶς ἀοιδάν.	Aristoph.
	Nonn. Dionys. ἀσήμαντον, εὔφημον, ταχύμυθον, θεοπρέπον.	Auibus.
	ἔρανος *collatio, vulgo collecta.*	
πολύθυτος	Ἀλλὰ μοῖρά τις ἄγεν πολύθυτον ἐς ἔρανον.	Pind. Pyth.
	ἐραστής *amator.*	
πολύχρυσος	Ἡ τὸ πρὶν αὐχήσασα πολυχρύσοις ὑπ᾽ ἐρασταῖς.	Epigr. lib. 1.
	ἐργασία *opificium.*	
δυήπαθος	Ἐργασίην φθέγγεσθαι δυήπαθον.	Hom. hym.
πολύμοχθος	Εἰρήνη χαίρουσα, καὶ ἐργασίαις πολυμόχθοις.	Orph. hym.
	ἔργον *opus.*	
θέσκελον	Δεῦρ᾽ ἴθι νύμφα φίλη, ἵνα θέσκελον ἔργον ἴδηαι.	Hom. Il. γ.
ἀργαλέον	-- ἐπ᾽ αὐτῷ δ᾽ ἔργον ἐτύχθη Ἀργαλέον.	Idem Il. δ.
καρτερόν	Ζεῦ πάτερ, οὐ νεμεσίζῃ Ἄρῃ τάδε καρτερὰ ἔργα.	Iliad. ε.
περικλυτόν	Ἧσο, καὶ ἀμφιπόλοισι περικλυτὰ ἔργα κέλευε.	Iliad. ζ.
φιλοτήσιον	Αὐτὰρ ἐπεί ῥ᾽ ἐτέλεσσε θεὸς φιλοτήσια ἔργα.	Id. Od. λ.
ἀγλαόν	Ὅς μετ᾽ Ἀθηναίης γλαυκώπιδος ἀγλαὰ ἔργα.	Hom. hym.
ἀοίδιμον	Ἀλλὰ χρηΐζοντας ἀοίδιμον ἔργον ἀνύσσαι.	Tryphiod.
ἀμείλιχον	Ἀλλὰ τά γ᾽ ἐξελάθου, καὶ ἀμείλιχον ἔργον ἔρεξας.	Calab. lib. 3.
ἄφθιτον	Τέρπονθ᾽ ὅσσ᾽ Ἀχιλῆος ἀμύμονος ἄφθιτα ἔργα.	Idem lib. 4.
θεόδμητον	Αἰπύτατον δὲ τέτυκτο θεοδμήτῳ ἐπὶ ἔργῳ.	Idem lib. 5.
τεχνῆεν	-- καὶ ἄλλ᾽ ὅσα τεχνήεντα Ἔργα πέλει θνητοῖσι.	Idem lib. 6.
ἐπιχθόνιον	Εἴ τινα μῦθον ἔειπον, ἐπιχθονίων χάριν ἔργων.	Nonnus.
θεοστυγές	Λῆγε θεοστυγέων ἔργων, θεαρεστά τε ποίει.	Dolsc.
μουσοπόλον	Ὡς δ᾽ ὅτε μουσοπόλων ἔργων ἄπο παῖδες ἴωσι.	Opp. κυ. α.
μεγαλαυχές	Ἔργα δικαιοσύνης μεγαλαυχέα σεῖο λιγαίνων.	Apolinar.
ἔνδοξον	Ἐσθλοὶ ἐπ᾽ ἐνδόξοις ἔργοις δρόμον ἐκτελέοντες.	Orph. hym.
ῥοπαιοῦχον	Ἐν πολέμῳ κρίνουσα ῥοπαιούχοισιν ἐπ᾽ ἔργοις.	Ibid.

ἐπινίκιον	Σοὶ δὲ Δίων ῥέξαντι καλὸν ἐπινίκιον ἔργον.	Epigr. lib. 3.
νικηφόρον	Νεμέαθ' ἔργμασι νικαφόροις, ἐγκώμιον ζεῦξαι μέλος.	Pind. Nem.
φιλόξενον	Παθόντες ποτὶ φιλόξενον ἔργον.	Id. Isthm.
θεόδοτον	Εἰ δὲ τέτραπται θεοδότων ἔργων κέλευθον ἂν καθαράν.	Ibidem.
	Nonn. Dionys. κακονύμφιον, εὐσεβές, ἀνάπυστον.	
	ἔρεβος *erebus.*	
κυάνεον	Ῥήξει, κυάνεόν τ' ἔρεβος πάντεσσι φανεῖται.	Sibyll.
μεταμώνιον	Οἴχοιτ' εἰς ἔρεβος μεταμώνιον.	Apoll. lib. 4.
διαμφαές	Ὡς Μενέλαος ὑπὸ διαμφαὲς οἴχεται δι' ἔρεβος.	Eurip. Hel.
	ἔρεισμα *fulcrum, sustentaculum.*	
ἀστυφέλικτον	Αἰεὶ νηὸν ἔγειρε θεῷ νόον, ὥς κεν ἔρεισμα ἔνδοθι σῆς κραδίης ἀστυφέλικτον ἔχῃς.	Nazianz.
	Ερεμβοί *Erembi.*	
ὀρεσκῴοι	Λυγρὸν ὀρεσκῴων ἀναφαίνεται οὖδας Ερεμβῶν.	Dionys.
	ἐρετμὸς seu ἐρετμὸν *remus.*	
εὐήρης	Ἔρχεσθαι δή ἔπειτα λαβὼν εὐῆρες ἐρετμόν.	Hom. Od. λ.
εὔξεστος	Νήχοντ' ἀμφιπεσόντες εὐξέστοισιν ἐρετμοῖς.	Calab. lib. 14
εἰλάπινος	Ἢ τοι ὑπ' εἰλαπίνοις ἐρετμοῖς ἁλιμυρέα βένθη.	Orph. Arg.
δολιχός	Καὶ δολιχοῖς ἐλατῆρες ὕδωρ ἐχάρασσον ἐρετμοῖς.	Nonnus.
ἀφρόκομος	Πόντιον ἀφροκόμοισιν ὕδωρ λεύκαινον ἐρετμοῖς.	Idem.
θοός	Ἥρωες μετὰ πιώγε θοοῖς ἐλάεσκον ἐρετμοῖς.	Apoll. lib. 4.
	Nonn. Dionys. ἀκύμαντος, ἀμοιβαῖος, ἀντίτυπος.	
	ἔρευθος *rubor, pudor.*	
ὑγρόν	Αἰδοῦς ὑγρὸν ἔρευθος ἀποστάζουσα προσώπῳ.	Musæus.

γλυκερόν	-- γλυκερὸν δέ οἱ ἀμφὶ παρειὰς	Apoll. lib. 3.
	Χροιῇ θάλλεν ἔρευθος.	
θερμόν	-- θερμὸν δὲ παρειίδας εἷλεν ἔρευθος.	Eod.

Ερεχθεὺς *Erechtheus.*

Nonn. Dionyſ. μόθων ἀκόρητος, ἀγλαόπαις, σιδήρεος, πλήξιππος, ταχύβουλος, ποικιλόμητις, ὠκύς.

ἔρημος, ἐρημαίη, ἐρημοσύνη, *eremus, ſolitudo.*

ὀρεάς	Χώρης ἐγγὺς ἵκανεν, ὀρεάδος ἐγγὺς ἐρήμου.	Nonnus.
ἀγεώργητος &c	Συγκρίνων ἀγεωργήτῳ καὶ ἀνύδρῳ ἐρήμῳ.	Doſſc.
παιπαλόεσσα	Τὴν δ' ὄφρα ναιετάω μάλα παιπαλόεσσαν ἔρημον.	Idem.
θηροβόρος	Οὔτ' ἀπ' ἐρημαίης θηροβόροιο λόφων.	Idem.
αὐσταλέη	Ἧτε δὴ αὐσταλέη τὸ πάρος παίνετ' ἔρημος.	Idem.
εὐρεῖα	Εὐρείῃ πέτρας στερεὰς ἔνι ῥῆξεν ἐρήμῳ.	Idem.
ποιήεσσα	Κὰν ποιηέσσῃ περιπίζοντες ἐρήμῳ.	Idem.
δολιχή	Ποσσάκις ἐν δολιχῇ οἱ ἀνήκοοι ἦσαν ἐρήμῳ.	Idem.
θηροκόμος	Θηροκόμου δονέουσα θεοῦ διὰ γῆρυς ἐρήμου.	Apolinar.
θηρόβοτος	Ἀγρας θηροβότου πρέμνον ἐρημοσύνης.	Epigr. lib. 1.
ἄγραυλος	Κείμενον ἀγραύλου κάλλος ἐρημοσύνας.	Epigr. lib. 4.

ἐρινεός *caprificus.*

ἠνεμόεις	Οἱ δὲ παρὰ σκοπιὴν, καὶ ἐρινεὸν ἠνεμόεντα.	Hom. Iliad. χ
εὐκέατος	Ὅρπηκας κάμπτῃσιν ἐρινεοῦ εὐκεάτοιο.	Theoc. εἰδ. λϐ
πανύφλοιος	Τοῦ μὲν ὑπ' ἐκ χειρῶν ἔφυγεν πανύφλοιος ἐρινὸς	Eod.

Ερινὺς *Erinnys*, ἡ Ερινύες.

στυγερή	Πολλὰ κατηρᾶτο, στυγερὰς δ' ἐπεκέκλετ' Ἐρινῦς	Hom. Il. ι.
ἠεροφοῖτις	Ἀλλὰ Ζεὺς, καὶ Μοῖρα, καὶ ἠεροφοῖτις Ερινύς.	Id. Il. τ.
δασπλῆτις	Τὴν οἱ ἐπὶ φρεσὶ θῆκε θεὰ δασπλῆτις Ερινύς.	Odyſſ. ο.
αἰνοδότειρα	Ἰθυντειρα Δίκη, καὶ Ερινύες αἰνοδότειραι.	Orph. Arg.
κρατερά	Γείνατ' Ερινῦς τε κρατερὰς, μεγάλους τε Γίγαντας.	Heſ. Theog.

σμερδαλέη

σμερδαλέη	Σμερδαλέας θυέεσσιν Ἐριννύας ἱλάσηται.	Calab. lib. 1.
ὀμβριμόθυμος	Ἐν δ' Ἔρις οὐλομένη, καὶ Ἐριννύες ὀμβριμόθυμοι	Calab. lib. 5.
βλοσυρῶπις	Τοὺς Βορέη κελάδοντι τέκε βλοσυρῶπις Ἐρινύς.	Idem lib. 8.
στονόεσσα	Ἐξόπιθε στονόεσσαν ἐπιθυμόισιν Ἐριννύν.	Idem lib. 10.
ἀργαλέη	Στρωφῶντ' ἀργαλέῃσιν Ἐριννύσιν ἴκελαι αὔτως	Idem lib. 11.
ἠλιτόποινος	Ἀρὰς Αἰήτεω καὶ ἠλιτόποινον Ἐριννύν.	Orph.
ἀτάσθαλος	Τίς δ' Ἐρινὺς τόσον ὄλβον ἀτάσθαλος ἐξετίναξεν	Nazianz.
πανδαμάτωρ,	Ὀξὺ δὲ πανδαμάτωρ λοξῷ ἴδεν οἷ' ἔρεξαν	Apoll. lib. 4.
νηλειής	ὄμματι νηλειὴς ὀλοφώϊον ἔργον Ἐριννύς.	
ἱκεσίη	-- δείσατ' Ἐριννύν Ἱκεσίην &c.	Eod.
ὀξεῖα	Ἰδοῖσα δ' ὀξεῖ' Ἐριννὺς πέφνεν ἑοῖ.	Pind. Olym.
ὀλέτειρα	Ἀνθρώπων ὀλέτειραι Ἐριννύες ἐβλάστησαν.	Epigr. lib. 2.
ἀρωγός, σεμνή,	Καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους,	Soph. Aiace.
τανύποδες	ἀεὶ δ' ὁρώσας πάντα τὰν βροτοῖς πάθη,	
	σεμνὰς Ἐριννῦς, τανύποδας.	
ποίνιμος &c.	Ἴτ' ὦ ταχεῖαι ποίνιμοί τ' Ἐριννύες.	Ibidem.
μνήμων	Μνήμων τ' Ἐριννὺς, καὶ τελεσφόρος Δίκη.	Ibid.
πότνια &c.	πότνι' ἀρὰ Σεμναί τε θεῶν παῖδες Ἐριννύες.	Id. Elect.
πολύπους, πολύ-	Ἥξει καὶ πολύπους καὶ πολύχειρ, ἁ δεινοῖς κρυπτό-	Ibid.
χειρ, χαλκόπους	μενα λόχοις χαλκόπους Ἐριννύς.	
μελαναιγίς	Μελαναιγὶς δ' οὐκ εἶσι δόμον Ἐριννύς.	Æsch. ἑπτ. ἐ. Θ
καμψίπους	Νῦν δὲ τρέω μὴ τελέσῃ καμψίπους Ἐριννύς.	Ibid.
μεγάλαυχος &c	Φεῦ φεῦ ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς Ἐριννύες	Ibid.
βυσσόφρων &c.	Τείνει μύσος χρόνῳ κλυτὴ βυσσόφρων Ἐριννύς.	Idem χοηφόρ.
αἱματωπός &c	Τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας.	Eurip. Orest
κυανῶπις,	Ὦ Φοῖβ' ἀποκτενοῦσί με κυανώπιδες	Ibid.
γοργῶψ &c.	Γοργῶπες, ἐνέρων ἱέρειαι, δειναὶ θεαί.	
ἄγναμπτος	Ἀραί τ' ἀγνάμπτοισιν Ἐριννύσι πάγχυ μέλουσαι.	Orph. λιθ.
ὑστερόπους	-- ἐπεὶ νῦν αἰεὶ Ἐριννὺς	Id. Arg.
	Ὑστερόπους ἕπεται, στέργει δέ τε ἄτη ἐπ' ἄτην.	

Nonnus Dionys. ἐν ἠέρι φοιτάς, ἐν οὔρεσι φοιτάς, ποικιλόμορφος, βαρύδουπος, ταρταρείη, φόνων ὀχετηγός, θοὰς.

ἔριον supra εἴριον.

ἐρίπνη *rupes, promontorium.*

ἐρημάς	Ἔσκε τις οὐρεσίφοιτος ἐρημάδος ἀσσὸς ἐρίπνης.	Nonnus.
ἠλίβατος	Καὶ δὴ καὶ Καυκασίων ὀρέων ἀνέτελλον ἐρίπναι Ἠλίβατοι.	Apoll. lib. 2.
	Nonn. Dyonys. ἀρραγής, πυρισφρήγιστος, πελωρίς, θιασώδης, κραναή, ἀστιβής, περιβλής.	

ἔρις *lis, discordia, æmulatio.*

ἄπρηκτος	Ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.	Hom. Il. β.
κακή	Ἤρειαι δ' ἄρα ταί γε κακὴν ἔριδα προφέρονται	Idem Il. γ.
μεμαυῖα	Δεῖμός τ' ἠδὲ Φόβος, καὶ Ἔρις ἄμοτον μεμαυῖα	Iliad. δ.
θυμοβόρος	Θυμοβόρου ἔριδος μένει ξυνέηκε μάχεσθαι.	Iliad. η.
κακομήχανος	Ληγέμεναι δ' ἔριδος κακομηχάνου.	Iliad. ι.
ἀργαλέη	Ζεὺς δ' Ἔριδα προΐαλλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν Ἀργαλέην.	Iliad. λ.
πολύστονος	Θύων, Ἔρις δ' ἄρ' ἔχαιρε πολύστονος εἰσορόωσα	Eod.
κρατερή	Τῶ δ' ἔριδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο.	Iliad. ν.
αἰνή	Δὴ ῥα τότ' αἰνοτάτην ἔριδα πολέμοιο τάνυσσαν	Iliad. ξ.
λαοσσόος	Ὦρτο δ' Ἔρις κρατερὴ λαοσσόος.	Iliad. υ.
βαρεῖα	Σύμβαλον, ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν	Eod.
βεβριθυῖα	Ἐν δ' ἄλλοισι θεοῖσιν ἔρις πέσε βεβριθυῖα.	Iliad. φ.
κακόχαρτος	Μὴ δέ σ' Ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι	Hesiod. li. 1.
δεινή, σχετλίη	Δεινὴ Ἔρις πεπότητο κορύσσουσα κλόνον ἀνδρῶν, Σχετλίη.	Id. in Scuto.
καρτερόθυμος	Γῆράς τ' οὐλόμενον, καὶ Ἔριν τέκε καρτερόθυμον.	Idem Theog
στυγερή	Αὐτὰρ Ἔρις στυγερὴ τέκε μὲν Πόνον ἀλγινόεντα.	Ibidem.
χαλεπή	Οὐδέ τις ἦν ἔριδος χαλεπῆς λύσις, οὐδὲ τελευτή.	Ibid.
σμερδαλέη	- ὄτοβος δ' ἄπλητος ὀρώρει Σμερδαλέης ἔριδος	Ibid.
λυγρή	Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε.	Pythag.

οὐλομένη

οὐλομένη	Ψεύδεά τ' ἐξαπάτας τ' οὐλομένας τ' ἔριδας.	Theogn.
ἐγχεκύδοιμος	Ἢ ἔρις ἐγχεκύδοιμος ἀνὰ στρατὸν ἀίσσουσα.	Calab.lib.1.
ἀκήρατος	Τοὺς δ' ἔρις ὤτρυνεσκεν ἀκήρατος· οἱ δ' ἀπὸ νύσσης.	Idem lib.4.
λευγαλέη	--ἔριδος δ' ἐπελήθετο θυμὸς Λευγαλέης.	Eod.
ἀλεγεινή	Καί ποτε Τρώϊοι υἷες ἔριν στήσαντ' ἀλεγεινήν.	Idem lib.5.
χάλκεος	Ἐν γὰρ δὴ χάλκεος ἔρις πέσεν ἀμφοτέροισι.	Idem lib.6.
ὀλοή	--ὀλοὴ δ' ἔρις οὐκ ἀπέληγεν, Ἀλλ' ἔτ' ἐποτρύνεσκε.	Idem lib.7.
ἀλγινόεσσα	Καὶ μόρος, ἀλγινόεσσα δ' ἔρις μέγα μαιμώωσα.	Idem lib.8.
διχόμηνις	--μεριζομένοιο δὲ λαοῦ Ἀμφιλαφὴς διχόμηνις ἔην ἔρις.	Nonnus.
ἀλγεσίδωρος	Μαῖά τ' ἐρικλαύστων πολέμων ἔρις ἀλγεσίδωρος	Opp. ἁλ. β.
δίαυλος	Τὴν τ' ἐπὶ Μαιάνδρῳ κλαῦσε δίαυλον ἔριν.	Epigr.lib.1.
πικρά &c.	Νῦν στένε τὴν πικρὰν καὶ φιλάεθλον ἔριν.	Epigr. lib. 4.
παιδολέτωρ	Παιδολέτωρ ἔρις ἅδ' ὀτρύνει.	Æſ. ἑπτ. ἐπὶ Θ.
δυσδαίμων	Δισδαίμων δ' ἔρις ἄλλα θάλλει παίδων.	Eurip. Phœ.
λυσσῶσα	Στῆσον ἔριν λυσσῶσαν, ἄνες πόνον ἀλγεσίθυμον.	Orph. h. Ἄρ.

Nonnus Dionyſ. ἀπρήϋντος, φοιταλέη, συνάεθλος, Ἀρήϊος, ἐπήρατος, ἀμφήριστος, ἐπιρρόθροος, πολέμοιο τιθήνη.

ἔριφος hædus.

λεπτός	Λεπτὸν ἔριφον καὶ μικρὸν, οὐκ ἦν ἐκφορά.	Euphron.
πολιός	Καὶ πολιοῖς ἐρίφοις ἐπιτέρπεται αἰπόλος αἰγῶν	Epigr.lib. 1.

ἕρκος vallum, ſeptum, clauſtrum.

χάλκειον	Ἕρκεϊ χαλκείῳ, ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρεν.	Hom.Iliad.ο.
ποδηνεκές	Τὴν αὐτὸς φορέεσκε ποδηνεκὲς ἕρκος ἀκόντων.	Eod.
αἰπεινόν	Ὀψὲ γὰρ οἱ δ' ἄληκτον ἀφ' ἕρκεος αἰπεινοῖο.	Calab. lib. 7.
κατηρεφές	Φαίης κεν μεγάροιο κατηρεφὲς ἔμμεναι ἕρκος.	Idem lib. 11.
ὑψηλόν	--ποὺς δ' ἤϊξ' ἀφ' ἕρκεος ὑψηλοῖο Αἰνείας λάεσσι &c.	Eod.
ἄτρομον	Ἀρκόμενοι πολέμοιο δυσηχέος ἄτρομον ἕρκος.	Eod.

ποιμνήϊον	Βαίνη ποσὶν ἴκελος ὑπὲρ ποιμνήϊον ἕρκος.	Id.lib.13.
στιβαρόν	Δῆλος δ' Ἀπόλλωνι· τί δ' στιβαρώτερον ἕρκος.	Callimach.
καρτερόν	Καρτερὸν οἰνοπέδοιο πονεύμενος ἕρκος ἀλωῆς.	Theoc.εἰδ. κϛ
κάρχαρον	Ἀλλ' ἀλκὴ γένυές τε, καὶ ἔνδοθι κάρχαρον ἕρκος.	Opp.κυν.α.
εὔπυργον	Ἕρκεσιν εὐπύργοισι πέλει φιτύζοος ὄλβος.	Apolinar.
πανύπλεκτον	Οἱ δὲ πανυπλέκτοισιν ἐν ἕρκεσιν ἤλιπον αὐτοί.	Opp.ἁλ.α.
ἀνέκβατον	Εἰσιθμὴν εὐρεῖαν ἀνέκβατον ἕρκος ἔχουσαν.	Id.κυν.δ.
ὄβελμον	Ῥινὸς ὑπὲρ μεγέων στερεὴ λάχεν ὄβελμον ἕρκος.	Id. κυν. ε.
ἀρήϊον	Ὃς πᾶσιν Δαναοῖσιν Ἀρήϊον ἕρκος ἐτύχθης.	Epigr. lib.1.
δόλιον	Κτείνουτ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων	Pind.Nem.
χρυσόδετον	Χρυσοδέτοις ἕρκεσι κρυφθέντα γυναικῶν ἀπάταις.	Soph. Elect.

Nonn. Dyonys. ἀρραγές.

ἕρμα *inauris.*

Nonn.Dionys. ἀκλινές, ἀρραγές, εὐποίητον.

Ἑρμῆς (poetice Ἑρμείας) *Mercurius.*

διάκτορος Ἀργ.	Αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ Ἀργειφόντῃ.	Hom. Il. β.
ἐριούνιος	Ἠδὲ Ποσειδάων γαιήοχος, ἠδ' ἐριούνης Ἑρμείας	Iliad. υ.
σῶκος	Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς.	Eod.
εὔσκοπος	Κλέψαι δ' ὀτρύνεσκον εὔσκοπον Ἀργειφόντην.	Iliad. ω.
κρατύς	Τὴν μετὰ χερσὶν ἔχων, πέτετο κρατὺς Ἀργειφόντης	Eod.
χρυσόρραπις	Τίπτέ μοι Ἑρμεία χρυσόρραπι εἰλήλουθας;	Odyss. ε.
δῶτορ ἐάων	Ἑρμεία, Διὸς υἱέ, διάκτορε, δῶτορ ἐάων.	Odyss. θ.
Κυλλήνιος	Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο.	Odyss. ω.
πολύτροπος, αἱμυλομήτης, ληϊστὴρ &c.	Καὶ τότ' ἐγείνατο παῖδα πολύτροπον, αἱμυλομήτην, ληϊστῆρ', ἐλατῆρα βοῶν, ἡγήτορ' ὀνείρων, νυκτὸς ὀπωπητῆρα, πυληδόκον &c.	Hom.h.Mer
κύδιμος	Ὣς ἄρ' ἔπος τε καὶ ἔργον ἐμήδετο κύδιμος Ἑρμῆς	Ibidem.
χαρμοφέρων	Ἑρμῆς χαρμοφέρων εἰρύσατο πίονα ἔργα.	Ibid.
ποικιλομήτης	Τίπτε σὺ ποικιλομῆτα, πόθεν τάδε νυκτὸς ἐν ὥρῃ;	Ibid.

ἠπεροπευτής	Ὦ πέπον, ἠπεροπευτὰ, δολοφραδές.	Ibidem.
σπαργανιώτης	Θάρσει σπαργανιῶτα Διὸς καὶ Μαιάδος υἱέ.	Ibid.
οἰοπόλος	Ἑρμῆς τ' οἰοπόλος, καὶ Λητοῦς ἀγλαὸς υἱός.	Ibid.
ἀγλαός	Νεῦσεν δὲ Κρονίδης, ἐπεπείθετο δ' ἀγλαὸς Ἑρ-	ibidem.
	μῆς.	
δολομήτης	Πῶς ἐδυνάσω δολομῆτα δύω βόε δειροτομῆσαι.	Ibid.
κλεψίφρων	Ἑρμέω βουλῇσι κλεψίφρονος.	Ibid.
βουφόνος &c.	Βουφόνε, μηχανιῶτα, πονεύμενε δαιτὸς ἑταῖρε.	Ibid.
χαριδώτας &c	Χαῖρ' Ἑρμῆ χαριδῶτα, διάκτορε, δῶτορ ἐάων.	Ibid.
θοός	Ὡς θρασὺν Ἡρακλῆα θοὸς χρυσόρραπις Ἑρ-	Musæus.
	μῆς. (Ἑρμῆς.	
σοφός	Σοὶ δέ με Κύπρις ἔπεμπε, καὶ ὁ σοφὸς ἤγαγεν	Idem.
κλυτός	Εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργειφόντην.	Hesiod.lib.1
θέσκελος	Τοῖα δὲ σημαίνοντα προσέννεπε θέσκελος Ἑρμῆς	Coluth.
ψυχοστόλος	Πᾶν γένος ἀνθρώπων καταγῇ ψυχοστόλος Ἑρ-	Tryphiod.
ἀελλοπόδης	Ἐν μὲν ἔην Διὸς υἱὸς ἀελλοπόδης Ἑρμείης. (μῆς.	Calab. li.10.
ἀκακήσιος	Ὅπλα μὲν Ἑρμείης ἀκακήσιος, αὐτὰρ Ἀπόλλων	Callimach.
τεισάειςος	Ἑρμῆς ὁ τεισάειςος ἐμοῖς ἐπέεσσιν ἀρήγοι.	Nazianz.
εἰνόδιος	Ἑρμέω ἀζόμενος ξεινίην ὄπιν εἰνοδίοιο.	Theoc.εἰδ.λβ
ὠκυπέτης	Εἰ δέ μοι ὠκυπέτης ἐριούνιος οὔνομα θῆκεν.	Politian.
πατρώϊος	Ἑρμεία σὺ δέ μοι πατρώϊε φέρτατε παίδων	Opp.ἁλ.γ.
	Αἰγιόχου.	
κλυτόβουλος	Ἑρμεία κλυτόβουλε, σὲ δ' ἔξοχον ἱλάσκονται.	Eod.
ἄγγελος &c.	Ἰδαίους τε θεοὺς, ἠδ' ἄγγελον οὐρανιώνων	Orph. hym.
	Ἑρμείαν κήρυκα.	
τετραγλώχιν	Καὶ σὺ τετράγλωχιν, μηλοσσόε, Μαιάδος Ἑρμᾶ.	Epigr. lib. 1.
εὔχολος	Εὔχολος Ἑρμείας, ὦ ποιμένες. ἐν δὲ γάλακτι.	Eod.
πτηνός, θεῶν	Τὸν πτηνὸν Ἑρμῆν, τὸν θεῶν ὑπηρέτην,	Epigr. lib. 2.
ὑπηρέτης, &c	Τὸν Ἀρκάδων ἄνακτα, τὸν βοηλάτην,	
	Ἑστῶτα τῶνδε γυμνασίων ἐπίσκοπον.	
ὠκύς	Ἑρμῆς ὠκὺς ἐγὼ κικλήσκομαι, ἀλλὰ παλαίστρῃ.	Epigr. lib. 4.
πτερόπους	Καὶ κνήμαις Ἑρμῆς ὁ πτερόπους ἔλαχεν.	Eod.
λόγιος	Ἐρχόμενοι, Ἑρμῆ σπένδετε τῷ λογίῳ.	Eod.
εὔπτερος	Παστοφόρος Παφίη, θρασὺς Ἄρης, εὔπτερος	Epigr. lib. 7.
	Ἑρμῆς.	

λαοσσόος	Τὰς ἐμὲ κηρύσσειν λαοσσόος Ἀργειφόντης.	Orph. λίθων.
πολύμηλις	Ἄλλαι ἀπειρέσιοι πολυμήλιος Ἑρμείαο.	Ibid.
Νωνακριάτης	Νωνακριάτης τρικέφαλος φαιδρὸς θεός.	Lycophron.
Λάφελος	Καὶ Λαφρίου λακτίσματ' Ἑρμαίου ποδός.	Idem.
ἐναγώνιος	Ὅ τ' ἐναγώνιος Ἑρμᾶς αἴγλαντα πᾶσι κόσμον.	Pind. Pyth.
ἀγώνιος	Πάντα δὴ ἐξείπειν ὅσ' ἀγώνιος Ἑρμᾶς Ἡροδότῳ ἔπορεν.	Id. Nem.
χθόνιος, ναίων οἶμον Κωκυτοῦ	Κωκυτοῦ ναίων ἀνυπόστροφον οἶμον ἀνάγκης· Ἑρμῆ Βακχεχοροῖο Διωνύσοιο γένεθλον.	Orph. hym. Ἑρμοῦ χθονίου.
ὑπνοδώτηρ	Εὐϊέρῳ ῥάβδῳ θέλγων ὑπνοδῶτερ ἅπαντα.	Eod.
οὐκ ὀρθοχειρής	Οὐ γὰρ ὀρθοχειρὴς ὡρμᾶς, οὐδ' ἀκρολοφίτας.	Epigr. lib. 4.
πομπαῖος	Πομπαῖον Ἑρμῆν χθόνιον, εὖ με κοιμίσαι.	Soph. Aiace.
δόλιος	Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷν.	Id. Philoct.
ὠκύπους	Τὸν ὠκύπουν ἔπεμψε Μαιάδος γόνον.	Eurip. Hel.
στροφαῖος, ἐμπολαῖος &c.	Aristoph. in Pluto vocat Ἑρμῆν στροφαῖον, ἐμπολαῖον, παλιγκάπηλον, δόλιον, ἡγεμόνιον, ἐναγώνιον.	
ἀγοραῖος	Νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον.	Id. Equitib.
ἀλεξίκακος	Ἀλεξικάκῳ θύουσιν Ἑρμῇ πανταχοῦ.	Id. Pace.
	Κλῦθί μου Ἑρμεία, Διὸς ἄγγελε, Μαιάδος υἱέ, παγκρατὲς ἦτορ ἔχων, ἐναγώνιε, κοίρανε θνητῶν, εὔφρων, ποικιλόβουλε, διάκτορε, Ἀργειφόντα· πτηνοπέδιλε, φίλανδρε, λόγου θνητοῖσι προφῆτα· γυμνάσιν ὃς χαίρεις δολίαις τ' ἀπάταις, τροφιοῦχε· ἑρμηνεῦ πάντων, κερδέμπορε, λυσιμέριμνε· ὃς χείρεσσιν ἔχεις εἰρήνης ὅπλον ἀμεμφές· κωρυκιῶτα, μάκαρ, ἐριούνιε, ποικιλόμυθε· ἐργασίαις ἐπαρωγὲ, φίλε θνητοῖς ἐν ἀνάγκαις· γλώσσης δεινὸν ὅπλον, τὸ σεβάσμιον ἀνθρώποισι &c.	Orphei hymnus εἰς Ἑρμῆν.
	Nonn. Dionys. βοοκλόπος, τανύπτερος, ταχὺς ἄγγελος, ποικιλόμυθος, τανισίπτερος, εὐρ-ράπις,	

ῥάπις, βοοσσόος, χρυσόῤῥαπις, αἱμύλος, Μαιήϊος, ταχύγγωνος, Κυλλήνιος, φερέσπονδος, οὐράνιος κήρυξ, ὠκυπέδιλος, χρυσόπτερος, Διὸς ἄγγελος, φιλοκέρτομος, γλώσσης ἡγεμονεὺς σοφῆς, ἰθύντωρ φωνῆς, θέσμιος, φώελος, ὠκύπτερος, φαεσφόρος, μείλιχος, ἀκάκητος, μογοστόκος, Ἑλικώνιος, κερδῷος.

Ἕρμος *Hermus fl.*

δινήεις	Ὕλλῳ ἔπ᾽ ἰχθυόεντι, καὶ Ἕρμῳ δινήεντι.	Hom. Il. υ.
πολυηχής	Καί οἱ συνσυναγοῦσι ῥοαὶ πολυηχέος Ἕρμου.	Calab. lib. 1.
πολύψηφις	Καὶ τότε Λυδὲ ποδαβρὲ πολυψήφιδα παρ᾽ Ἕρμον.	Apollo D. apud Her. l. 1.
	Nonn. Dionys. εὐῤῥείτης, Λυδὸς, δονακώδης.	

ἔρνος *ramus, virga, germen.*

ἐριθηλές,	Οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης,	Hom. Il. ρ.
καλὸν, τηλεθ.	Καλὸν, τηλεθάον &c.	
πολ. περάγγ.	Ἔνθεν Ἔρις πολέμοιο περάγγελον ἔρνος ἑλοῦσα.	Coluth.
ἐπήρατον	Φαιδροτέρη τόδε μῆλον, ἐπήρατον ἔρνος, ὀπάσσαις.	Idem.
ἱερόν	Κρατὶ δ᾽ ἔχων λεύκαν Ἡρακλέος ἱερὸν ἔρνος.	Theoc. εἰδ. β.
ἀμφιπλεχές	Οἵ γε τανυφλοίου ἐλάτης ἀμφιπλεχὲς ἔρνος. (νος.	Orph. Arg.
ὀλοφώϊον	Ἀλλ᾽ ἄρκτοις τε σύας τε, λύκων τ᾽ ὀλοφώϊον ἔρ-	Theo. εἰδ. λβ.
γενέθλιον	Χρύσεον δ᾽ ἐκόμισσε γενέθλιον ἔρνος ἐλαίης.	Callimach.
δονακοτρεφές	Ινδῴης ἀλόης δονακοτρεφὲς ἔρνος ἐλαίης.	Nonnus.
γνήσιον	Σύμων γνήσιον ἔρνος Ιωάνναο τοκῆος.	Idem.
ἀειθαλὲς &c.	Τηλεθόον καλὸν ἔρνος, ἀειθαλὲς, ἀγλαόκαρπον.	Musur.
ὀξύκομον &c.	Ὀξύκομον κεράων πολυδαίδαλον αἰόλον ἔρνος.	Opp. κυνηγ. β.
περικαλλές	Βλαστήσει περικαλλὲς ἀείφατον ἔρνος ἄριστον.	Sibyll.
χλοερόν	Πρὶν μὲν ἐπὶ χλοεροῖς ἐριθηλέος ἔρνεσι πεύκας.	Epigr. lib. 3.
πορφύρεον	Αναδησάμενός τε κόμαν πορφυρέοις ἔρνεσι.	Pind. Nem.
χλοηφόρον	Εὐθὺς ἐπὶ βρέφος χλοηφόροισιν ἔρνεσιν.	Eurip. Phœ.

	Nonn. Dionys. καλλιπέτηλον, περισκεπές, θεηγενές, ἐραστόν.	
	ἕρπυλλος *serpyllum.*	
καταπυκνος	— καταπυκνος ἐκεῖνα Ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσι.	Theoc. Ep.
νομαῖος	Ἀργυφέῳ ὑπὸ βῆσαν, ἢ ἑρπύλλοιο νομαίου.	Nicand. Th.
κεροειδής	Ἠὲ σύ γ' ἕρπυλλον κεροειδέα, πολλάκι κρηθμόν.	Ibid.
	Ἐρύθεια *Erythea.*	
βοοτρόφος	Ἤτοι μὲν ναίουσι βοοτρόφον ἀμφ' Ἐρύθειαν.	Dionys.
	Ἐρύμανθος *Erymanthus, mons Arcadiæ.*	
δενδροκόμης	Βοσκήσει δελφῖνας ὁ δενδροκόμης Ἐρύμανθος.	Epigr. lib. 7.
	ἐρωή *desiderium, animi cupidi motus.*	
παλίμπλαγκτος	Ἠὲ τοῦ εὐείποιο παλιμπλάγκτοισιν ἐρωαῖς.	Nazianz.
πυρόεσσα	Τρέψας εἰς ἀγαθὸν ζῆλον πυρόεσσαν ἐρωήν.	Idem.
ἀδάμαστος	Καὶ τὸ δέχου, μὴ σαρκὸς ἔχειν ἀδάμαστον ἐρωήν.	Idem.
ἱμερόεις	Νυμφίου ποτιδέγμεναι ἱμερόεντα ἐρωήν.	Cyr. Theod.
πολύπικρος	Μὴ μέγα μοι φρονέοιεν ὅσοις πολύπικρος ἐρωή.	Apolinar.
δριμεῖα	Θῆκας ἄναξ, δῶκας δὲ πυρὸς δριμεῖαν ἐρωήν.	Opp. κυνηγ. γ.
ἄφυκτος	Τὸν μὲν νυκτελινὸν διὰ γαστρὸς ἄφυκτον ἐρωήν.	Eod.
πολύθουρος	Οὔποτ' ἀμαίνονται πόσιος πολύθουρον ἐρωήν.	Eod.
κρυόεσσα	Οὐχ ὁσίων παύουσα πόθων κρυόεσσαν ἐρωήν.	Procl. Lyc.
γηγενής	Γηγενέος προφυγοῦσαν ὀλοίϊον οἶστρον ἐρωῆς.	Idem.
πολυπτοίητος	Ἀλλὰ θεαὶ τοῦ ἐμοῖο πολυπτοίητον ἐρωήν.	Idem.
	Nonn. Dionys. στροφάς, πολυπλανής, ταχαλή, ὑψιπότητος, ἄγριος.	
	Ἔρως (poet. ἔρος) *Amor, Cupido.*	
ρύφιος	Εἰπὲ θεὰ κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων.	Musæus.

θελξίνοος

θελξίνοος	Θελξινόων ἀγάπαζε μελίφρονα θεσμὸν ἐρώτων.	Idem.
αἰολόμητις	Ἄνδρα γὰρ αἰολόμητις ἔρως βελέεσσι δαμάζει.	Idem.
πανδαμάτωρ	Αὐτὸς ὁ πανδαμάτωρ βουληφόρος ἐστὶ βροτοῖσι.	Idem.
δεινός	Δεινὸς ἔρως, καὶ πόντος ἀμείλιχος.	Idem.
ἀμήχανος	Τόν γ' ἔρος ἐν στήθεσσιν ἀμήχανος αἴνυτο θυμόν.	Hom. hym.
καλός	Ηδ' ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι	Hesiod. Th.
λυσιμελής	Λυσιμελής.	
χρυσοχαίτης	Ὁ δ' ἔρως ὁ χρυσοχαίτης, Μετὰ τοῦ καλοῦ Λυαίου.	Anacr.
πανδρέκτης	Αλλ' οὐ θέλω συνοικεῖν Ἔρωτι πανδρέκτῃ.	Idem.
ἄνοπλος	Χάριτας Ἔρωτας ἀνόπλους Καὶ Χάριτας γελώσας.	Idem.
πολυανθής	Χάρισίν τ' ἄγαλμ' ἐν ὥραις Πολυανθέων ἐρώτων.	Idem.
ἁβρός	Ἔρωτα γὰρ τὸν ἁβρὸν Μέλπομαι.	Idem.
ἀπαρηγόρητος	Μόνον ἀπαρηγόρητον ἀνθρώποις ἔρως.	Menand.
ἄμετρος	Ἡ πολλὴ γὰρ τρυφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας.	Phocyll.
σεμνός	Σεμνὸς ἔρως ἀρετῆς· ὁ δὲ Κύπριδος, αἶσχος ὀφέλλει. (κτον.	Idem.
ἀκάθεκτος	Μηδ' ἐς ἔρωτα γυναικὸς ἅπας ῥεύσῃς ἀκάθε-	Idem.
τοξευτήρ	Τοξευτῆρος Ἔρωτος ἐλαφρίζουσα φαρέτρην.	Coluth.
χρύσειος	-- χρύσειον οἴσαμένη Κυθερείης	Idem.
θαλαμηπόλος	Κοῦρον ὀπιπεύειν θαλαμηπόλον.	
πικρός	Ἄνυε πικρὸν Ἔρωτα, καὶ ἐς τέλος ἄνυε Μοίρας.	Theo. εἰδ. α.
ἀργαλέος	Ἆρ' οὐκ αὐτὸς Ἔρωτος ὑπ' ἀργαλέου ἐλυγίχθης;	Eod.
ἀνιηρός	Αἶ αἶ Ἔρως ἀνιηρὲ, τί μευ μέλαν ἐκ χροὸς αἷ-	Id. εἰδ. β.
γλυκύς	Ἤνθον γὰρ κἠγὼ, ναὶ τὸν γλυκὺν ἤνθον Ἔρωτα. (μα.	Eod.
βαρὺς θεός	Νῦν ἔγνω τὸν Ἔρωτα· βαρὺς θεός.	Id. εἰδ. γ.
βαθύς	Ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἅλλετ' ἔρωτα!	Eod.
θερμός	-- θερμὸς γὰρ ἔρως αὐτῷ με καταίθει.	Id. εἰδ. ζ.
ἀφρόντιστος	Ἀλλὰ καὶ ὦ φρόντιστος ἔρως, μηδὲν μέγα μυθεῦ.	Id. εἰδ. ι.
λοιμηρός	Τὸν γὰρ τεὸν βουκαῖε πρέπει λοιμηρὸν ἔρωτα.	Eod.
ὁμαλός	Εἴθ' ὁμαλοὶ πνεύσειαν ἐπ' ἀμφοτέροισιν Ἔρωτες	Id. εἰδ. ιβ.
κλύμενος	Τούτῳ τὸν κλύμενον κατετάκετο πίονον Ἔρωτα.	Id. εἰδ. ιδ.
μαλακός	-- μαλακοὺς μὲν Ἔρωτας Προσπνείει.	Id. εἰδ. ιζ.
	Ab eodem εἰδ. κα. ὁ ἔρως describitur:	

πλανώμενος	πλανώμενος, δραπετίδης, παῖς περίσημος, πυρὶ	
δραπετίδης	εἴκελος, δόλιον βρέφος, γυμνὸς, πτερόεις, &c.	
κλέπτης	Τὸν κλέπταν ποτ' Ἔρωτα κακὰ κέντασε μέλισσα.	Id. εἰδ. κβ.
αἰνός	Κυπρίδος αἰνὸν Ἔρωτα, τίς οὐκ ἔκλαυσεν ἀνὰ αἰ	Ib. εἰδ. κγ.
ἄφυκτος	Αὐγάζω τὸν ἄφυκτον ἐπὶ σφρηγῖδος Ἔρωτα. (αἰ.	Epigr. lib. 1.
βροτολοιγός	Φείσω τὸν βροτολοιγόν. ὁ γὰρ καὶ θῆρα δαμάσ-	Ibidem.
	δων.	
πρεσβύτατος	Πρεσβύτατόν τε καὶ αὐτοτελῆ πολύμητιν ἔρωτα.	Orph. Arg.
ὠκύς	Ὅστε μιν ὠκὺς ἄνωξεν Ἔρως, κοῦρός τ' ἀγα-	Nazianz.
	παδνός.	
θεῖος	Ἐν πᾶσι κτεάτεσσιν, ἔπειτα δὲ θεῖον ἔρωτα.	Idem.
αἰθόμενος	Ὃς δὴ ὀλοοῖσι πόθοισιν, καὶ αἰθομένοισιν ἔρωσιν.	Idem.
δυνάστης	Ἔρως δυνάστης, κακὸν ἀνθρώποις μέγα.	Cyr. Theod.
μάργος	Μάργος ἔρως λαιῆς ὑποΐσχανε χειρὸς ἀγοστῷ.	Apoll. lib. 3.
οὖλος	Τοῖος ὑπὸ κραδίῃ εἰλυμένος αἴθετο λάθρῃ	Eod.
	Οὖλος ἔρως.	
θρασύς	-- θρασέες γὰρ ἐπεκλονέεσκον ἔρωτες.	Eod.
ἀκάματος	Ἀκάματοι πραπίδεσσιν ἐνισκήψωσιν ἔρωτες.	Eod.
ἀγανός &c.	Οὔτ' ἀγανοὶ φιλέοντες ἐπιπνείουσιν ἔρωτες.	Eod.
σχέτλιος	Σχέτλι' ἔρως, μέγα πῆμα, μέγα στύγος ἀνθρώ-	Idem lib. 4.
δριμύς	Ἧς καὶ ἐπὶ ῥυπίδων ἕζετο δριμὺς Ἔρως. (ποισι.	Diog. L. l. 3.
ἀρσιπότητος	Καὶ μιμνησκομένους ἀρσιπότητον ἔρωτα.	Politian.
κυδρός	ᾧ ἔνι κυδρὸς ἔρως ἀπὸ γαίης ὕψος' ἀείρων.	Musurus.
εὐκάθεκτος &c	Ἔρωτά τ' εὐκάθεκτον ἔνθερμον λίαν.	Nazianz.
τελεσφόρος	Οὕτως ἔρως τοι πρὸς παιδὸς τελεσφόρος.	Idem.
λαίμαργος	Γαστὴρ καὶ λαίμαργος ἔρως, ἀκόρητος ἐδωδῆς.	Opp. ἀλ. α.
ὑγρός	Ὑγρὸς ἔρως ὀλεῶν τε γάμων, ὀλοῆς τ' Ἀφροδί-	Id. ἀλ. δ.
	της. (σοις Εἰσιδέειν	
δολομήτης	Σχέτλι' Ἔρως, δολομῆτα, θεῶν κάλλιστε μὲν ὅσ-	Eod.
ἀργινόεις &c.	-- ὀλοοῦ δὲ καὶ ἀργινόεντος ἔρωτος Ἠντίασαν.	Eod.
ὄμβριμος	Ὄμβριμ' Ἔρως, πόσος ἐσσί, πόση σέθεν ἄπλετος	Id. κυνηγ. β.
	ἀλκή;	
τοξοβόλος	Τοξοβόλον τὸν Ἔρωτα τίς ἔξεσεν ἐκ λιβανωτοῦ.	Epigr. lib. 1.
κοῦφος	Εὐθὺς ἀπεθρώσκει κοῦφος Ἔρως κραδίης.	Eod.
παρθενικός	Παρθενικῷ Θρασύβουλε σαγηνευθεὶς ὑπ' ἔρωτι.	Eod.

ἀκόρη-

ἀκόρητος	Ἀλλ' ἀκόρητος ἔρως φοιτάδος ἐμποείης.	Epigr. lib. 3.
γλυκύδακρυς	Εὐκράτεο Μελέαγρος, ὁ τὸν γλυκύδακρυν ἔρωτα.	Eod.
ὑβριστὴς σωφροσύνης &c.	Σωφροσύνας ὑβριστά, φρενοκλόπε, ληστὰ λογισμοῦ, πλανὸν ψυχᾶς πῦρ, θαῦμ' ἀόρατον Ἔρως.	Epigr. lib. 4.
ἀφύλακτος	Ὃν δὲ βροτοῖς ἀφύλακτος ἀνέφλεγες ἐν φρεσὶ πυρσόν. (θῃς.	Eod.
δολοπλόκος	Ἀλλὰ τεῶς σε δέδοικα δολοπλόκε, μή τινα κεύ-	Eod.
ἀτηρής	Εὔδεις ἀτηρὴς, ὦ τέκος Ἀφρογενοῦς.	Eod.
μερίμνας ἐπάγ.	Εὔδεις ἀγρύπνους ἐπάγων θνητοῖσι μερίμνας;	Eod.
μελιδιόων	Εὕδεν μελιδιόων, ξουθαὶ δ' ἐφύπερθε μέλισσαι.	Eod.
σκυλοχαρής	Σκυλοχαρεῖς ἴδ' ἔρωτας, ἴδ' ὡς βελαροῖσιν ἐπ' ὤμοις.	Eod.
γυμνός	Γυμνὸς Ἔρως διὰ τοῦτο γελᾷ, καὶ μείλιχός ἐστι.	Eod.
πλανός	Πλανῷ πλανὸν Ἔρωτα τὸν αἴτιον ἔπλασ' Ἔρωτι.	Eod.
πτερόεις &c.	Φρυνὴ τὸν πτερόεντα, τὸν εὐτέχνητον Ἔρωτα.	Epigr. lib. 6.
λάβρος	Εἰς ἐμὲ λάβρος Ἔρως ἐξεκένωσεν ὅλην.	Epigr. lib. 7.
ἄγριος	Κηρύσσω τὸν Ἔρωτα, τὸν ἄγριον &c.	Eod.
ἀείλαλος, ἀθαμβής, &c.	Ἔστι δ' ὁ παῖς γλυκύδακρυς, ἀείλαλος, ὠκύς, ἀθαμβής, Σιμὰ γελῶν, πτερόεις, νῶτα φαρετροφόρος.	Eod.
τοξότης	-- οὐ με λέληθας τοξότα, &c.	Eod.
ἱμερόεις	Αὐτή μοι Κυθέρεια, καὶ ἱμερόεντες Ἔρωτες.	Eod.
βιημάχος	Θεσμὸν ἔρως οὐκ οἶδε βιημάχος, οὐδέ τις ἄλλη.	Eod.
ἀσεμφὴς &c.	Ἀσεμφὴς, ἀδόνητος ἀνέξεται, οὐδὲ μετέστη.	Eod.
γλυκύδωρος	Σοί με λάτριν γλυκύδωρος ἔρως παρέδωκε Βο-	Eod.
κουφόνοος	Πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων. (ῶπι.	Soph. Ant.
θηλυκρατής	Θηλυκρατὴς ἀπέρωτος ἔρως παρανικᾷ.	Æsch. χοηφόρ.
τύραννος ἀνδρῶν, κληδοῦχ. θαλ.	Ἔρωτα δὲ τὸν τύραννον ἀνδρῶν, τὸν τᾶς Ἀφροδίτας φιλτάτων θαλάμων κληδοῦχον, οὐ σεβίζομεν.	Eurip. Hipp.
ποικιλόπτερος χρυσοφαής	Σὺν δ' ὁ ποικιλόπτερος θέλγει ἔρως, ᾧ μαινομένᾳ κραδίᾳ πλανὸς ἐφορμάσῃ χρυσοφαής.	Ibidem.
χρυσοκόμης	Ὅθι δὴ δίδυμ' Ἔρως χρυσοκόμας τόξ' ἐντείνεται Χαρίτων.	Eurip. Iphig. Aulid.
θελξίφρων	Ἵνα θελξίφρονες νέμονται θνατοῖσιν ἔρωτες.	Id. Bacch.

ποθεινός	Ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός.	Aristoph. Auib.
ἀμφιθαλής	Ὁ δ᾽ ἀμφιθαλὴς Ἔρως χρυσόπτερος.	Ibidem.
διφυής, περιωπής &c.	-- καὶ διφυῆ περιωπέα κυδρὸν ἔρωτα, Νυκτὸς ἀειγνήτης πατέρα κλυτόν.	Orph. Argonaut.
	Κικλήσκω μέγαν, ἁγνόν, ἐράσμιον, ἡδὺν ἔρωτα, τοξαλκῆ, πτερόεντα, πυρίδρομον, εὔδρομον ὁρμῇ· συμπαίζοντα θεοῖς, ἠδὲ θνητοῖς ἀνθρώποις· εὐπάλαμον, διφυῆ, πάντων κληῖδας ἔχοντα, αἰθέρος οὐρανίου, πόντου, χθονὸς, ἠδ᾽ ὅσα θνητοῖς πνεύματα παντογένεθλα θεὰ βόσκει χλοόκαρπος· ἠδ᾽ ὅσα τάρταρος εὐρὺς ἔχει, πόντος θ᾽ ἁλίδουπος·	Ex hymno Orphei.
	Nonn. Dionys. τοξοφόρος, νυμφοκόμος, θρασὺς, φιλότητος ἀροτρεύς, ἀχόρευτος, σοφὸς, αὐτοδίδακτος, τοξευτὴρ ἀνίκητος, λιγύφθογγος, πτερόεις, εὐπτέρυξ, ἁβροκόμος, ὑγροκέλευθος, ἀνύμφευτος, ἑκηβόλος, πανύπτερος, ἀγέραστος, ζύγιος, ἀπτόλεμος, ἁβροχίτων, θοῦρος, ἐπάρσιος, ἠεροφοίτης, αἰολόμητις, πανδαμάτωρ, ἀδάμαστος, βιοσσόος, ἀτέκμαρτος, ποντοπόρος, ἀκοίμητος, θερμὸς, βαρύμηνις, δυσαίτητος, ἐγρεκύδοιμος, ἀντίτυπος, πυρόεις, λαγωβόλος, ἀγρευτὴρ, βαρύγδουπος, ἀκήρυκτος, ἐλαφρόνοος. itẽ, σύγχρονος κόσμου, σπείρων εὐαρότοιο λεχώϊον ἄντυγα κόσμου, ἀνδρομέης γονόεις κυβερνητὴρ γενέθλης, εὐφροσύνης κήρυξ: &, παιδογόνων φιλοτήσιος ὄμβρος ἐρώτων, γαμόστολος ὄρνις ἐρώτων.	

ἐρωτὶς *amasiola.*

κυανόφρυς	Τίν᾽ ἀν τὰν κυανόφρυν ἐρωτίδα, τᾶς ποτ᾽ ἐκνίσθην.	Theoc. εἰδ. δ.

ἐσθής, ἔσθος, ἔσθημα *vestis, vestimentum.*

φαεινή	Κούρη δ᾽ ἐκ θαλάμοιο φέρεν ἐσθῆτα φαεινήν.	Hom. Od. ζ.

ὑφαντή	Χαλκόν τε χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντήν.	Idem Od. π.
μαλακή	-- ἔντυνον εὐνὴν Ἐσθῆτος μαλακῆς.	Idem Od. ψ.
λεπτουργές	-- καλὸν δὲ περὶ χροῒ λάμπεται ἔσθος Λεπτουργές.	Idē hy. Solis.
ἀργυφής	Ἀργυφέϊ ἐσθῆτι, κατὰ κρῆθεν δὲ καλύπτρην.	Hesiod. Th.
πένθιμον	Ἕλκος, καὶ ῥυπόω πένθιμον ἔσθος ἔχων.	Nazianz.
σάκκινον	Ἔστω σοι πώγων τε βαθύς, καὶ σάκκινον ἔσθος.	Idem.
ἀμφίχροος	-- ἠέ τις ἐσθὴς Ἀμφίχροος ζώναις πλείοσιν ἑλκομένη.	Idem.
πολύχρυσος	Οὐδ' ὅσος ἀμφὶ κάρηνον ὑπέρτατος, οὐ πολύχρυσος Ἐσθής.	Idem.
πορφυρέη	Πορφυρέην ἐσθῆτα διάβροχον αἵματι κόχλου.	Nonnus.
θεσπεσίη	Θεσπεσίην ἐσθῆτα θεηγενέος βασιλῆος.	Idem.
τερμιόεσσα	Καὶ δὴ ἄχρι κροσσῶν ἐσθῆτος τερμιοέσσης.	Dolsc.
φοινικόβαπτον	Φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασι.	Æsch. Eum.
ὑφαντοδίνητον	Ὃς ὑφαντοδίνητον ἔσθος οὐ πέπαται.	Arist. Auib.
πολυτίμητος	Ἐσθῆτι πολυτιμήτῳ περιβάλλεις σεαυτόν; οὐκ ὀσφῦ δυομένῳ σοι πηχῶν χιτωνίσκος ἀρέσκει;	Bas. M. ὁμιλ. πρὸς πλουσίους.
	Nonn. Dionys. ποιμενίη.	

Ἑσπερίδες *Hesperides.*

λιγύφωνοι.	Ἐσχατιῇ πρὸς νυκτός, ἵν' Ἑσπερίδες λιγύφωνοι.	Hesiod. Th.

ἑσμός *examen apum, cœtus hominum.*

εὔπτερος	Ἀγγελικῆς τε φάλαγγος εὔπτερον ἑσμὸν ὁδίτην.	Nonnus.
φιλέμπορος	Καὶ πολιὴν ἑσμὸν ὅπωπε φιλέμπορον ὑψόθι θώκων.	Idem.
βαρυκάρδιος	-- βαρυκάρδιος ἀμφὶ λοετρῶν	Idem.
	Δύσμαχος ἑσμὸς ἄκουσε. (λοδέρπτος.	
σύμπλοκος &c.	-- ἀμφιλαφὴς δὲ Σύμπλοκος ἑσμὸς ἔην φι-	Idem.
ἐχέφρων	Καί μιν Ἰουδαίων ἐπεθάμβεεν ἑσμὸς ἐχέφρων.	Idem.
λιθοσσόος	Ἀπροϊδὴς πεφόρητο λιθοσσόον ἑσμὸν ἐάσας.	Idem.
δολοπλόκος	-- Πιλάτος δὲ δολοπλόκον ἑσμὸν ἐάσας Ἀρχέθυ-	Idem.
δήϊος	Ὅπλων γυμνώθη δήϊος ἑσμὸς ἑῶν. (ρον.	Idem.
θρασύς	Καὶ θρασὺς ἑσμὸς ἔειπε, κατακτείνει τινὰ φωτῶν.	Nonnus.

μεγαπληθής	Μοῦνος ἐπ' ἀμπβίων μεγαπληθέα ἔρχεται ἑσμόν	Cyr. Theod.
θεόφρων	Ὄφρα περιπλύξῃ σε θεόφρων ἔμπαλιν ἑσμός.	Dolsc.
αἰολόφυλος	Θρηΐκιον δ' ἀνύουσι Βοόσπορον αἰολόφυλοι Ἑσμοί.	Opp. ἁλ. α.
βομβητής	Ἑσμῷ βομβητῇ κυκλόσε βελθομένα.	Epigr. lib. 6.
σπεύδρομος &c.	Σπεύδρομον ἄλλον ἔχων κορωνηφόρον, ἑσμὸν ὁδίτην.	Nonnus.
	Idem Dionys. ἀλλοφυὴς, ἄφθογγος, ναυμάχος, φιλεύϊος, ἀλήτης, θαλαμηπόλος, ἑτερόπτολις, ἀπόσπορος ἑσμὸς ἀρούρης, φυτοσπόρος ἑσμὸς ἀρότρου, γαμοστόλος ἑσμὸς ἐρώτων.	

Ἕσπερος *Vesperus.*

μέλας	Τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθε.	Hom. Od. α.
βαθύσκιος	Ἐκ περάτης δ' ἀνέφαινε βαθύσκιος ἕσπερος ἀστήρ.	Musæus.
ἀρίδηλος	Ἀστὴρ ὡς ἀρίδηλος ἀν' οὐρανὸν αἰγλήεντα Ἕσπερος.	Calab. lib. 5.
οὖλος ἐθείραις	Οὔτε σιωπαλέον, οὔτ' ἄψοφον, οὖλος ἐθείραις Ἕσπερος.	Callimach.
ἐρεμνή	– ἐπήλυθε δ' αὐτίκ' ἐρεμνὴ Ἕσπερος.	Apoll. lib. 4.
	Nonn. Dionys. φωσφόρος, λιποφεγγέος ἄγγελος ὄρφνης.	

Ἑστία *Vesta, focus.*

	Ἑστία εὐδυνάτοιο Κρόνου θύγατερ βασίλεια· ἣ μέσον οἶκον ἔχεις πυρὸς ἀενάοιο μεγίστου· τούσδε σὺ ἐν τελεταῖς ὁσίους μύστας ἀναδείξαις, θεῖσα ἀειθαλέας, πολυόλβους, εὔφρονας, ἁγνούς, οἶ τε θεῶν μακάρων θνητῶν στήριγμα κραταιόν· ἀΐδιε, πολύμορφε, ποθεινοτάτη, χλοόμορφε, μειδιόωσα, μάκαιρα &c.	Ex hymno Orphei εἰς Ἑστίαν.

ἑταίρα *amica, amasia.*

λιγύφωνος	Εὐμόλπει μετὰ χερσὶν ἔχων λιγύφωνον ἑταίρην.	Hom. hym. Mer.

φίλη,

φίλη, θυμήρης,	-- φίλας ἐπεδίζεθ' ἑταίρας	Theoc. εἰδ. κ.
εὐπατέρεια	Ἥλικας, οἰέτεας, θυμήρεας, εὐπατερείας.	
πανοῦργος	Τοὺς αὐτῇ προσιόντας· ἑταίρα δ' ἔσσα πανοῦργος.	Epigr. lib. 1.

ἑταῖρος *sodalis.*

φίλος	Ὣς φάτο· Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ	Hom. Il. α.
ἐρίηρ	Γούνου ἐπιπλώσας, ἑτάροις ἐρίηρας ἀγείρας.	Idem Il. γ.
δῖος	Οἱ μὲν ἄρ' ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι.	Iliad. ε.
πιστός	Αὐτίκα δ' Ἀλκιμέδοντα προσηύδα πιστὸν ἑταῖρον.	Iliad. ρ.
ἐνηής	Κλαίοντες δ' ἑτάροιο ἐνηέος ὀστέα λευκά.	Iliad. ψ.
ὑπέρθυμος	Δῶκε δ' ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα.	Ibidem.
ὁμωρόφιος	Ξυνὸν ὁμωροφίων νεμεσήμονα θυμὸν ἑταίρων.	Nonnus.
φιλόστοργος	Μᾶλλον ἐμεῦ ἑτάρων με φιλοστόργων ἀγαπάζεις.	Idem.
θαλασσοπόνος	Ζωὸν ἑοῖς ἑτάροισι θαλασσοπόνοισιν ὀπάσσας.	Cyr. Theod.
σύνδορπος	-- ἄλλος δ' ἄλλον ἄγει σύνδορπον ἑταῖρον.	Opp. ἁλ. γ.

ἐτητυμίη *veritas.*

πανθελγής	Μάρτυς ἐτητυμίης πανθελγέος ἀνδράσιν εἴην.	Nonnus.

ἔτος: supra ἐνιαυτός.

Εὐαγγέλιον *Euangelium.*

ἀπόρρητος	Οὕνεκ' ἀπορρήτων εὐαγγελίων ὑποφήτης.	Scipio Cart.

Εὔβοια *Eubœa.*

ἱερή	Λοκρῶν, οἳ ναίουσι πέρην ἱερῆς Εὐβοίης.	Hom. Bœot.
ναυσικλειτή	Νῆσός τ' Αἴγινα, ναυσικλειτή τ' Εὔβοια.	Id. hymn.
ἠνεμόεσσα	Καί ῥ' ὁπότ' Εὐβοίης σχεδὸν ἤλυθον ἠνεμοέσσης	Calab. li. 14.
Ἀβαντίς	Εὐβοίης ἔνθοθεν Ἀβαντίδος.	Apoll. lib. 4.
χαλκώδων	Ἢ πρὸς τὰ χαλκώδοντος Εὐβοίας σταθμά.	Soph. Phil.

Εὐδικία *iusti rectique scientia.*

λαθικηδής	Εὐδικίην φιλέεις λαθικηδέα καὶ θέμιν ἐασήν.	Apolinar.

ἐρατεινή	Σὸν σθένος ἀγγέλλων, καὶ εὐδικίην ἐρατεινήν.	Idem.
	Εὐεπία eloquentia, facultas dicendi.	
ἐρατή	Μνωομένην ἐρατῆς ἵστορα εὐεπίης.	Epigr. lib. 1.
ἡρωΐς	Ἔτρεφον εὐεπίης ἡρωΐδος ἴδμονα μοῦσαν.	Christodor.
εὔθικτος	Δίστιχον εὐθίκτου παίγνιον εὐεπίης.	Epigr. lib. 6.
φρενοθελγής	Καὶ κλέος εὐεπίης φρενοθελγέος αἰὲν ἔχοισιν.	Procl. Lyc.
	Εὐήνωρ *Euenor.*	
χαλκεομίτρης	Κτεῖνε γὰρ ἐσσυμένως Εὐήνορα χαλκεομίτρην.	Calab. lib. 1.
δῖος	Δευόμενον θυμοῖο, βάλεν δ' Εὐήνορα δῖον.	Idem lib. 11.
	Εὔκλεια gloria, famæ claritas.	
ἐρατεινή	Οἷς ἀλόχων τε μέμηλε, καὶ εὐκλείης ἐρατεινῆς.	Nazianz.
κυδιάνειρα	Καὶ σῇ εὐκλείῃ με κομίσσαο κυδιανείρῃ.	Apolinar.
πολύϋμνος	Εὔκλειαν, ζῆλόν τε ἐρατὸν πολυΰμνον ἄγουσαι.	Orph. hym.
	Εὐλογίη oratio bona, munificentia.	
θεόπεμπτος	Καὶ πᾶσ' εὐλογίη θεόπεμπτος ἀπ' αἰθέρος ἄκρου	Dolsc.
μειλιχίη	Μειλιχίης προὔτυψας ὑπ' εὐλογίης μινυαίνων	Apolinar.
ἀκήρατος	Κείμεθ' ἀκηράτῳ χρώμενοι εὐλογίῃ.	Epigr. lib. 3.
	Εὐμαθία docilitas, acumen ingenii.	
πινυτόφρων	Εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελίχροις Ἤσκησεν.	Epigr. lib. 3.
	Εὐμενίδες *Eumenides, Furiæ.*	
μελάμπεπλοι	Ὄμμα μελαμπέπλων ἔκφυγεν Εὐμενίδων.	Epigr. lib. 3.
πότνιαι &c.	Ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας.	Soph. O. C.
δρομάδες, πτεροφόροι &c.	Δρομάδες ὦ πτεροφόροι, πότνιάδες θεαί, μελαγχρῶτες Εὐμενίδες.	Eur. Oreste.
	Κλῦτε θεαὶ πάντιμοι, ἐρίβρομοι, εὐάστειραι, Τισιφόνη τε, καὶ Ἀληκτώ, καὶ δῖα Μέγαιρα·	Ex hymnis Orphei.

	νυκτέριαι, μύχιαι, ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι·	
	λυσσήρεις, ἀγέρωχοι, ἐπαυάζουσαι ἀνάγκαις·	
	θηρόπεπλοι, τιμωροί, ἐρισθενέες, βαρυαλγεῖς·	
	ἀΐδεω χθόνιαι φοβεραὶ κόραι, αἰολόμορφοι.	
	ἠέριαι, ἀφανεῖς, ὠκύδρομοι θ' ὥστε νόημα.	
	ὄμμα Δίκης ἐφορᾶτε, δικασπόλοι αἰὲν ἐοῦσαι·	
	ἀλλὰ θεαὶ μοῖραι, ὀφιοπλόκαμοι, πολύμορφοι.	
	Κλῦτέ μου Εὐμενίδες μεγαλώνυμοι εὔφρονι βουλῇ·	Mox.
	ἁγναὶ θυγατέρες μεγάλοιο Διὸς χθονίοιο·	
	τῶν ἀδίκων τιμωροὶ ἐφεστηκυῖαι ἀνάγκῃ·	
	κυανόχρωτοι ἄνασσαι, ἀποστράπτουσαι ἀπ' ὄσσων	
	δεινὴν αὐταυγῆ φάεος σαρκοφθόρον αἴγλην·	
	ὄμμα Δίκης ἐφορᾶτε δικασπόλοιο, αἰὲν ἐοῦσαι,	
	ἀΐδιοι, φοβερῶπες, ἀπόστροφοι, αὐτοκράτειραι·	
	λυσιμελεῖς οἴστρῳ, βλοσυρουνύχιαι, πολύποτμοι·	
	νυκτέριαι κοῦραι, ὀφιοπλόκαμοι, φοβερῶπες.	

Εὔμολπος *Eumolpus.*

Φιλαμμονίδης	Γυξίνα ἐν φόρμιγγι Φιλαμμονίδας Εὔμολπος.	Theoc. εἰδ. λα

εὐνή *cubile, lectus.*

μαλακή	Εὐνῇ ἐνὶ μαλακῇ, ἅμα ἠοῖ φαινομένηφι.	Hom. Il. ι.
περικαλλής	Καὶ τότ' ἐγὼ Κίρκης ἐπέβην περικαλλέος εὐνῆς.	Id. Odyss. κ.
στονόεσσα	Λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται.	Odyss. ρ.
πολυήρατος	Νῶϊ δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ' εὐνήν.	Odyss. ψ.
κρυφίη	Εὐνῆς τε κρυφίης τηλεσκόπον ἀγγελιώτην.	Musæus.
θαλαμηπόλος	Οὐ δαΐδων ἤστραπτε σέλας θαλαμηπόλον εὐνήν.	Idem.
ἀπότροπος	Μηδὲ κασιγνήτης ἐς ἀπότροπον ἐλθέμεν εὐνήν.	Phocyl.
κοιλάς	Θῆρες ἐρωήσαντες ὑπὸ πτύχα κοιλάδος εὐνῆς.	Tryphiod.
εὔγναμπτος	Πεῖσμα θοῶς εὐνῇσιν εὐγνάμπτοισιν ἄειραν.	Calab. lib. 9.

φώελος	Αλλήλοις ψιθύριζον, ἀνίστατο φώελος εὐνή.	Theoc. εἰδ. λϛ
ἄστρωτος	Εὐναῖς ἐν ἀστρώτοισι τείρομαι δέμας.	Lucian.
κλοπέη &c.	Μνήσω δὴ καὶ ἐγὼ κλοπέης παντοίοιο εὐνῆς.	Nazianz.
γαμήλιος	Σαρκὸς ἐρωτοτόκοιο γαμήλιος ἤροσεν εὐνή.	Nonnus.
νόθη, μαχλάς	Ἡμεῖς δ' ἐγχυόμεθα νόθης ἀπὸ μαχλάδος εὐνῆς	Idem.
θαλαμήϊος	Αὐτονυχὶ κούρῃ θαλαμήϊον ἔντυνον εὐνήν.	Apoll. lib. 4.
σκυλακοτρόφος	Ἤδη δ' ἀρτιτόκοιο κυνὸς σκυλακοτρόφῳ εὐνῇ.	Opp. ἁλ. α.
φιλοτήσιος	Εἰ δέ κ' ἀλυσκαμένη φεύγῃ φιλοτήσιον εὐνήν.	Id. κυνηγ. γ.
παντερπής	Παῦσαι μεθιέμεναι γαμίης παντερπέος εὐνῆς.	Eod.
παναίολος	Εὐπλανέος στιβίης, θηρός τε παναίολον εὐνήν.	Id. κυνηγ. α.
ὁμόφρων	Θῆκέ μιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς.	Pind. Olym.
πολυγηθής	Ταὶ Διὸς εὐναὶ λάχον πολυγαθέες. (δῶ.	Id. Pyth.
γλυκερή	Καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς ἐρατὰν βάλεν αἰ-	Ibidem.
ἡδεῖα	Αμφαδὸν ἀδείας τυχεῖν πρώτον εὐνᾶς.	Ibidem.
δυσόδμος	Εὐνὰς δυσόδμοις θηρσὶ συγκοιμώμενος.	Lycophron.
ἁβροχίτων	Λέκτρων τ' εὐνὰς ἁβροχίτωνας χλιδανῆς ἥβης τέρψιν ἀφεῖσαι.	Æſch. Perſ.
	Sibylla Erythr. citante Lactantio lib. de ira Dei cap. 22:	
ἄκριτος	Μοιχείας τε φύλασσε, καὶ ἄρσενος ἄκριτον εὐνήν.	

Nonnus Dionyſ. φωλὰς, πυριστρεφὴς, πολυλήϊος, εὔγαμος, μινυνθαδίη, ὀνειρείη, βακχείη, εὐπάρθενος, εἰνοδίη, διςπάρθενος, ἁλιπόρφυρος, νεκταρέη, εὔοδμος, ἀνάεδνος, διϊπετὴς, φιλοπτόλεμος, ἐρημὰς, παιδοσπόρος, νυμφοσόλος, ταυρῶπις, ἀναγκαίη, ὑγρὸς, τελεσσίγαμος, ἄφθιτος, λάθριος, ἐπίκλωπος.

Εὐνομία recta conſtitutio, ſiue temperatio legum & iuris.

κουροτρόφος	Ἡ δὲ καὶ εὐνομίη κουροτρόφος.	Muſurus.
ἄχραντος	Οὐδέ οἱ ἀχράντων φυλακὴν λίπον εὐνομιάων.	Apolinar.
ἐρατεινή	Εἰρήνην κατάγουσα, καὶ εὐνομίην ἐρατεινήν.	Orph. hym.

ἐριθηλής

ἐϋθηλής	Τὸν δ' ὑπὸ εὐνομίης ἐϋθηλέος ἐνθάδε πόθον.	Epigr. lib. 4.
σώτειρα, μεγαλόδοξος	Ἂν Θέμις θυγάτηρ τέ οἱ σώτειρα λέλογχεν μεγαλόδοξος Εὐνομία.	Pind. Olym.
ἀπόλεμος	Ἀπόλεμον ἀγαγὸν ἐς πραπίδας εὐνομίαν.	Id. Pyth.
βαθύκολπος	Θυγατέρες Ζηνός τε καὶ εὐνομίης βαθυκόλπου.	Orph. hym. χαρίτων.
	Εὐνόμιος *Eunomius hæreticus.*	
θεοπόλεμος	Δεύτερον Εὐνομίου πῆμα θεοπολέμου.	Cyr. Theod.
	Εὐριπίδης *Euripides.*	
κατάχρυσος	Εὖ γ' ὁ κατάχρυσος εἶπε πόλλ' Εὐριπίδης.	Diphilus.
σοφώτατος	Οὐκοῦν δικαίως, ὅστις οὐκ Εὐριπίδην ἐπαινεῖς σοφώτατον.	Ariſtoph. Nebul.
πανοῦργος	Ὁ μὲν γ' Εὐριπίδης πανοῦργος ὤν.	Idem Ranis.
	Apud eundem in Ranis Euripides audit, στωμυλιοσυλλεκτάδης, πτωχοποιὸς, ῥακιοσυρραπτάδης, χωλοποιὸς, γνωμοτύπος, θεοῖς ἐχθρός.	Ariſtophanica quædam.
γλυκύτατος	Ἀλλ' ὦ γλυκύτατ' Εὐριπίδη τουτὶ μόνον.	Idem Achar.
	εὔριπος *euripus.*	
στενός	-- σὺ δὲ στεινοῖο παρ' ὄξυν	Callimach.
καναχηδὰ ῥέων	Ἔδραμες εὐρίποιο πόρον καναχηδὰ ῥέοντος.	
πολύπλαγκτος	Μηδ' ὡς εὐρίποιο πολυπλάγκτοιο ῥεέθρου.	Nazianz.
	εὖρος *eurus.*	
λιγύς	Εὔρου ὑπὸ λιγέος, καὶ ἀτειρέος ἠελίοιο.	Calab. lib. 7.
ἐΰπνευστος	-- ἐΰπνευστον σφισιν ἐπ' εὖρον ἱείς.	Dolſc.
κραιπνός	Κραιπνὸν ἀμαιμακέτης ἀνιόντα τὸν εὖρον ἀπ' ἠοῦς.	Idem.
κακός	Ὡς ἐμὲ μὲν, καὶ νῆα, καὶ ἐμπορίην, κακὸς εὖρος Ὤλεσεν.	Epigr. lib. 3.
	Εὐρύαλος *Euryalus.*	
μενεχάρμης	Ὀψὲ δὲ πάντες ἔλευσαν ἐπ' Εὐρυάλῳ μενεχάρμῃ.	Calab. lib. 4.
	Εὐρυβάτης *Eurybates.*	
Ἰθακήσιος	Κῆρυξ Εὐρυβάτης Ἰθακήσιος, ὅς οἱ ὀπήδει.	Hom. Il. β.

μελανόχροος, οὐλοκάρηνος	Γυρὸς ἐν ὤμοισι μελανόχροος, οὐλοκάρηνος Εὐρυβάτης.	Idem Od. τ.

Εὐρύλοχος Eurylochus.

θεοειδής	Τῶν μὲν ἐγὼ ἦρχον, τῶν δ' Εὐρύλοχος θεοειδής.	Hom. Od. κ.
μεγαλήτωρ	Ἐκ δ' ἔθορε κλῆρος μεγαλήτορος Εὐρυλόχοιο.	Eod.

Εὐρυμέδων Eurymedon, Liberi patris f.

Hipponax citante Cæs. Scalig. poetices lib. 1. cap. 42.

Μοῦσα μοι Εὐρυμέδοντ' ἄδδις τὴν ποντοχάρυβδιν,
Τὴν ἐγγαστριμάχαιραν, ὅτ' ἐσθίει οὐ κατὰ κόσμον.

Εὐρύπυλος Eurypylus.

διογενής &c.	Διογενὴς Εὐαιμονίδης κατὰ μηρὸν ὀϊστῷ.	Hom. Iliad. λ
πεπνυμένος	Τὸν δ' αὖτ' Εὐρύπυλος πεπνυμένος ἀντίον ηὔδα.	Eod.
ἀγαπήνωρ	Τόφρ' ὅγ' ἐνὶ κλισίῃ ἀγαπήνορος Εὐρυπύλοιο.	Iliad. ο.
θρασυχάρμης	Πρῶτος μὲν Μενέλαος ἰδ' Εὐρύπυλος θρασυχάρμης.	Calab. lib. 4.
λαοσσόος	Τοὺς δ' ὁπότ' Εὐρύπυλος λαοσσόος εἰσενόησε.	Id. lib. 6.
ἐελκυδής	Καὶ τότε δὴ θεράπων ἐελκυδέος Εὐρυπύλοιο.	Eod.
μεγάθυμος	Τρομένων ὑπὸ Τρωσί, καὶ Εὐρυπύλῳ μεγαθύμῳ.	Idem lib. 7.
κρατερόφρων	Εὗρον δ' Εὐρύπυλον κρατερόφρονα, τῷ δ' ἅμ' ἑταίροις.	Eod.
θεοειδής	-- τοὺς δ' Εὐρύπυλος θεοειδὴς Αἰὲν ἐποβριμύεσκε.	Eod.
ἀταρβής	Ἀμβροσίη, καὶ λαὸς ἀταρβέος Εὐρυπύλοιο.	Eod.
μάχης ἀκόρητος	Εὐρύπυλον δαμάσαντι μάχης ἀκόρητον ἐόντα.	Eod.
δαΐφρων	Δάμναντ' Εὐρυπύλοιο δαΐφρονος ἐγχείῃσιν.	Idem lib. 8.
διοβρεφής	Ἀμφέχεν Εὐρυπύλοιο διοβρεφέος σάκος εὐρύ.	Idem lib. 9.

Εὐρυσθεύς Eurystheus.

ἀλιτημένος	ᾤχετο τιμήσων ἀλιτημένον Εὐρυσθῆα.	Hesiod. Scu.

Εὐρώπη

	Εὐρώπη (poet. Εὐρωπείη) *Europa.*	
ἀνύμφος	-- ἀνύμφῳ δ᾽ Εὐρωπείῃ	Theoc. εἰδ. κ.
	Μήτηρ τηλεφάεσσα περικλυτὸν ὤπασε δῶρον.	
περικαλλής	Τοῖος ἔην τάλαρος περικαλλέος Εὐρωπείης.	Eod.
ἀμύμων	Στῆ δὲ ποδῶν προπάροιθεν ἀμύμονος Εὐρωπείης.	Eod.
	Nonnus Dionyſ. ταυρείη, κερόεσσα, λιπόπατρις, Τυρίη, ἀδίαντος.	
	Εὐρώτης *Eurotes fl.*	
δονακοτρόφος	Σπάρτην τ᾽ Εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ.	Theogn.
χρυσόεις	Μηδ᾽ ἱερῶν χρυσόεντος ἐπ᾽ Εὐρώταο ῥεέθρων.	Coluth.
Μεσήνιος	Σχιζομένη προχοῇσι Μεσηνίου Εὐρώταο.	Dionyſ.
δινήεις	Ὥς ποτε δινήεντος ἐπ᾽ Εὐρώταο ῥοάων.	Chriſtod.
εὔρροος	Στένει δὲ καί τις ἀμφ᾽ εὐρρόου Εὐρώταν.	Eurip. Hec.
καλλιδόναξ	-- πλὴν ἵν᾽ αἱ ῥοαὶ	Idem Hel.
	Τοῦ καλλιδόνακος εἰσὶν Εὐρώτα μόνου.	
	Εὐσέβεια, (poet. Εὐσεβίη,) *pietas, religio.*	
ἐρατεινή	Ὄλβον δ᾽ ἀστυφέλικτον ἀπ᾽ εὐσεβίης ἐρατεινῆς.	Procl. Lyc.
	Hermes Triſmegiſtus, citante Lactantio lib. 2. de Orig. error. cap. 16.	
μία φυλακή	Μία, inquit, φυλακὴ, εὐσέβεια. εὐσεβοῦς γὰρ ἀνθρώπου οὔτε δαίμων κακὸς, οὔτε εἱμαρμένη κρατεῖ. Θεὸς γὰρ ῥύεται τὸν εὐσεβῆ ἐκ παντὸς κακοῦ. Τὸ γὰρ ἓν καὶ μόνον ἐν ἀνθρώποις ἐστὶν ἀγαθὸν εὐσέβεια, γνῶσις τοῦ θεοῦ.	
	Εὔφορβος *Euphorbus.*	
Πανθοΐδης	Πανθοΐδης Εὔφορβος, ὃς ἡλικίην ἐκέκαστο.	Hom. Il. π.
ἐϋμμελίης	Τοῖον Πάνθου υἱὸν ἐϋμμελίην Εὔφορβον.	Id. Iliad. ρ.
ἐρασιπλόκαμος	Οὗτος ἐρασιπλόκαμος ὢν, τὴν ἁβροβοστρύχων.	Io. Tzetzes.

βυκολίδης	Βυκολίδης Εὔφορβος ἀγαυῦ φάσκεν ὀφίτου.	Orph. λιθ.
θηριτήρ, περικαλλής &c.	Θηριτὴρ Εὔφορβος ἀρωγῇ τῇδε πεποιθώς.	Id. λιθ.
	Idem ibidem dicitur περικαλλής, εἶδος ἀμώμητος, δυσέκλυτος, εὐπλόκαμος.	

Εὐφράτης *Euphrates.*

Ἀσσύριος	Ἀσσυρίου ποταμοῖο μέγας ῥόος.	Callimach.
εὐρρείτης	Αὐτὰρ ἐϋρρείταο παρ' ὄχθαις Εὐφρήταο.	Opp. κυνηγ. δ.
Συριηγενής &c	- Συριηγενέος κελαδεινοῦ Ὕδασιν Εὐφρήταο.	Orph. λιθ.

Εὐφροσύνη *lætitia, hilaritas.*

νεοθηλής	Παῖδες δ' εὐφροσύνῃ νεοθηλέϊ κυδιόωσι.	Hom. hym.
ἐρατή	Συμμίσγων ἐρατῆς μνήσκεται εὐφροσύνης.	Anacr.
γλυκερή	Ἐκ θυμοῦ γλυκερῇσι γεγηθότες εὐφροσύνῃσι.	Apolinar.
λιπαρή	Ἄγχι πόθος, λιπαρῆς ἔνδιον εὐφροσύνης.	Epigr. lib. 2.
φιλησίμολπος	Πότνι' Ἀγλαΐα, φιλησίμολπέ τ' Εὐφροσύνα, θεῶν κρατίστου παῖδες.	Pind. Olym.
καλλιστέφανος	Τὸν παρὰ καλλιστεφάνοις εὐφροσύναις δαίμονα πρῶτον μακάρων.	Eurip. Bacc.
ὀλβιόμοιρος	Ἡσυχία χαίρουσα, καὶ εὐφροσύν' ὀλβιομοίρω.	Orph. hym.
πολύολβος	Ἀγλαΐη τε, Θάλεια, καὶ Εὐφροσύνη πολύολβε.	Id. Orph. h. Χαρίτων.

Εὐχαριστία *eucharistia.*

Ignatius Epistola ad Ephesios: φάρμακον ἀθανασίας, ἀντίδοτον τοῦ μὴ ἀποθανεῖν, ἀλλὰ ζῆν ἐν θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, καθαρτήριον ἀλεξίκακον.

Idem Epistola ς' πρὸς Φιλαδελφεῖς: ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε. διὸ καὶ θαῤῥῶν γράφω τῇ ἀξιοθέῳ ἀγάπῃ ὑμῶν, παρακαλῶν ὑμᾶς, μιᾷ πίστει, καὶ ἑνὶ κηρύγματι, καὶ μιᾷ εὐχαριστίᾳ χρῆσθαι. μία γάρ ἐστιν ἡ σὰρξ τοῦ κυρίου Ἰησοῦ, καὶ ἓν τὸ αὐτοῦ αἷμα ὑπὲρ ἡμῶν ἐκχυθὲν, εἷς καὶ ἄρτος πᾶσιν ἐθρύφθη, καὶ ἓν ποτήριον τοῖς ὅλοις διενεμήθη, ἓν θυσιαστήριον πάσῃ τῇ ἐκκλησίᾳ.

Εὐχὴ,

εὐχή, ἡ εὐχωλή *precatio, votum.*

ἀγανή	Καί τις μὴ θυέεσι, καὶ εὐχωλῇς ἀγανῇσι.	Hom. Il. ι.
καίριος	Ἀλλὰ Ζεῦ τέλεσόν μοι Ὀλύμπιε καίριον εὐχήν.	Theogn.
εὐαγής	Εὐχῆς εὐαγέος εἵνεκ' ἀκερσεκόμης.	Nazianz.
ἄπαυστος	Αὐτὰρ ἐγὼ τλήμων, εὐχῇσί σοι εὔχομ' ἀπαύστοις.	Dolsc.
ἐνθεότιμος	Παντοίαις θυσίαισι, καὶ εὐχαῖς ἐνθεοτίμοις.	Sibyll.
πολύλλιτος	Ἡμετέρην δ' ὑπέδεκτο πολύλλιτον οὔασιν εὐχήν.	Apolinar.
ἀγανόφρων	Τίπτέ μοι εὐχωλὴν ἀγανόφρονα τηλόθι πέμπεις;	Idem.
μείλιχος	Ἀθάνατον λίσσεσθε, καὶ οἱ δότε μείλιχον εὐχήν.	Idem.
λυτήριος	Ὅπως λυτηρίους εὐχὰς ἀνάσχω δειμάτων.	Soph. Elect.
φιλότιμος	Τὸν γὰρ ὑποσκίων ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχά.	Æsch. Supp.

εὖχος *gloria, decus.*

ἀγλαόν	Δὸς νίκην Αἴαντι καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.	Hom. Il. η.
βασιλήϊον	Δεύτερα ἐκ τριάδος βασιλήϊον εὖχος ἐχούσης.	Nazianz.
ἀπόθρονον	Πάτρην ἀλλοδαπήν τε, θρόνους, καὶ ἀπόθρονον εὖχος.	Idem.
ἔμπεδον &c.	Ἔμπεδον, ἀστυφέλικτον, ἀοίδιμον εὖχος ἐχούσῃ.	Idem.
μεγάλαυχον	Εἴ τι καὶ μεγάλαυχον ὑπέρτερον εὖχος ἔχουσα.	Idem.
εὐγενές	Ἐκ πατέρων παίδεσσι παρήλυθεν εὐγενὲς εὖχος.	Cyr. Theod.
ἀληγές	Ἄρσατε ἠγαθέῳ τῷ οὐνόματ' εὖχος ἀληγές.	Dolsc.
εὐκλεές	Σῆς τε δικαιοσύνης εὐκλεὲς εὖχος ἔμεν.	Idem.
ἐπάξιον	Μισθὸν ἐπ' εὐδικίῃ καὶ ἐπάξιον εὖχος ὀπάζοι.	Apolinar.
ἄφθιτον	Οὐρανοὶ ἄφθιτον εὖχος ἐπαγγέλλουσι θεοῖο.	Idem.
γεραρόν &c.	Ἔσχεό μοι σοφίης γεραρὸν καὶ ἀγήραον εὖχος.	Idem.
ἄσπετον	Καὶ σέθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι.	Idem.
μεγαλοπρεπές	Αἰὲν ἐπ' Ἰσραήλου ἔχει μεγαλοπρεπὲς εὖχος.	Idem.
φερώνυμον	Οἴσετε ὑμνήεντι φερώνυμον εὖχος ἄνακτι.	Idem.
ἀείζηλον	Σὸν μεγαλοπρεπὲς εὖχος ἀείζηλον καταλέξω.	Idem.

Φοιβήϊον	Μολπῆς εὐφόρμιγγος ἔχων Φοιβήϊον εὖχος.	Opp. κυ. ε.
γλυκερόν	Οἷς αἰὲν ἐφορμαίνουσα φέροις γλυκερώτατον εὖχος.	Orph. hym.
ἐπιτύμβιον	Ὥστε σε Κωνσταντῖνε λαβεῖν ἐπιτύμβιον εὖχος.	Christod.
ἀγώνιον	Ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος ἔργῳ καθελών.	Pind. Olym.
ἀπρόσμαχον	Αἵματος ἐκγεγαῶσαν, ἀπρόσμαχον εὖχος ἔχουσαν.	Orph. hym. τύχης.

Ἔφεσος *Ephesus.*

παραλίη	Παραλίην Ἔφεσον, μεγάλην πόλιν ἰοχεαίρης.	Dionys.
ἀρχαίη	Ἔνθεον ἀρχαίης Ἐφέσου κλέος &c.	Christod.

ἐφετμή *mandatum.*

ἐρατή	Οἱ δ' ἄρα μηβώης ἐρατῆς ἀΐοντες ἐφετμῆς.	Coluth.
σοφή	Πλάσμα θεοῦ, κακίη δὲ σοφὴν ἐλόχησας ἐφετμήν	Nazianz.
ἀπλανής	Ἀπλανέος σοφός οὗτος ἐμὸς ὅρος ἐστὶν ἐφετμῆς.	Nonnus.
κρυερή	Καὶ κρυερὴ βασιλῆος ἀτασθάλου ὦρσεν ἐφετμή	Apoll. lib. 3.

ἐχενηῒς *remora.*

Nonnus Dionysiac. κα': εἰναλίη, ἰχθὺς βαιὸς ἀνάλκις, ναύτας ἄψ ἀνασειράζων: ὀλίγῳ ὑπὸ χάσματι λαιμοῦ Μυκεδανὴν κόψουσα κατέσχετον ὁλκάδα δεσμῷ.

ἔχθος *odium, inimicitiæ.*

λυγρόν	Μέσσῳ δ' ἀμφοτέρων μητίσομαι ἔχθεα λυγρά.	Hom. Il. γ.
ἄπαυστον	Εἰ δὲ κακοί, πόνος ἔνδον ἐφέστιος, ἔχθος ἄπαυστον.	Nazianz.
ὀλοίϊον	-- ἡγητῆρσιν ὀλοίϊον ἔμβαλεν ἔχθος.	Idem.
ἀθέμιστον	Οἴμοι ὀδυσσάμενος, ἀθέμιστον ἔχθος ἔθεντο.	Apolinar.
βαρύλογον	Ψογερὸν Ἀρχίλοχον, βαρυλόγοις ἔχθεσι πιαινόμενον.	Pind. Pyth.

ἐχθρός *hostis.*

βάσκανος	Ζιζανίων ἀρότης τε κακῶν, καὶ βάσκανος ἐχθρός	Nazianz.
βαρβαρόθυμος	Λιμοῦ καὶ λοιμοῦ, ὑπὸ δ' ἐχθρῶν βαρβαροθύμων.	Sibyll.

βαρβαρόφωνος	Ὄψονται δεσμοῖσιν ὑπ' ἐχθρῶν βαρβαροφώνων.	Ibidem.
κενεαύχην	Ὅτι σὺ μὲν σύμπαντας ἕλες κενεαύχενας ἐχθρούς	Apolinar.
κρυερός	Στρεφθέντες κρυερῶν γεγενήμεθα μείονες ἐχθρῶν	Idem.
οὐλόμενος	Καί μευ οὐλομένων ἐπαείρεο πείρασιν ἐχθρῶν.	Idem.
πευκεδανός	Πευκεδανῶν ἄχραντε πάτερ σέθεν εἵνεκεν ἐχθρῶν.	Idem.
ῥιγεδανός	Ῥιγεδανῶν βείθουσαν ἐμὴν κατ' ἐναντίον ἐχθρῶν.	Idem.
χαμαίσυρτος	Αὐτὸς δ' ὁ χαμαίσυρτος ἐχθρὸς τῆς ψυχῆς.	Nazianz.
ὑψιλωρέων	Ἀπίδα δ' ἐξ ἐχθρῶν ἐλάσαι ὑψιλωρεόντων.	Castalio.
	Nonn. Dionys. ἀτάσθαλος.	
	ἔχιδνα & ἔχις, *vipera*.	
κρατερόφρων	Σπῆι ἐνὶ γλαφυρῷ θεῖην κρατερόφρον' ἔχιδναν.	Hesiod. Th.
λυγρή	Ἣ δ' ἔρυτ' εἰν Ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ ἔχιδνα.	Ibid.
ψολόεις	Πρηνὸς ὄφις θύησι τυπῇ ψολόεντος ἐχίδνης.	Nicand. Th.
αἰνοπλήξ	Τῇ ἤτοι ἔχιός τε, καὶ αἰνοπλῆγος ἐχίδνης.	Ibid.
πικρός	Πικρὸς ἔχις κακοεργὸν ἐπ' αὐέει λοιγέον ἕλκος.	Nazianz.
ἰοβόλος	Εἰ δ' ἔτυμον κείνην γε σὺν ἰοβόλοις ἐχίεσσι.	Nicand. Th.
φοινία &c.	--εἶτα φοινίας Ἐχθρᾶς ἐχίδνης ἰὸς ὡς ἐδαίνυτο.	Soph. Trach
ἀνδροφθόρος	-- τοῦ δ' ἀνδροφθόρου Πληγέντ' ἐχίδνης ἀγρίῳ χαράγματι.	Id. Philoct.
ἑκατοντακέφαλος	Ἔχιδνά θ' ἑκατοντακέφαλος, ἣ τὰ σπλάγχνα σου Διασπαράξει.	Aristoph. Ranis.
	Nonn. Dion. Κιρραίη, διψάς, πολιή.	
	ἐχῖνος *echinus, erinaceus*.	
ἀκρυόεις	Ὄστρεά θ' ἑρσήεντα, καὶ ὀκρυόεντες ἐχῖνοι.	Opp. ἁλ. α.
τρηχύς	Ἄμφω ἐνὶ ξυλόχοισιν ὄφις, καὶ τρηχὺς ἐχῖνος.	Id. ἁλ. β.
δειλός	Πολλάκι δ' ἐξήλυξε καὶ ἔκφυγε δειλὸς ἐχῖνος.	Eod.
ὀξύκομος	Ἔστι καὶ ὀξυκόμοισι νόος καὶ μῆτις ἐχίνοις.	Eod.
λαχνήεις ῥαγολόγος	Ὀξέσι λαχνήεντα δέμας κέντροισιν ἐχῖνον Ῥαγολόγον, γλυκερῶν σίντορα θηλοπέδων.	Epigr. lib. 6.
σίντωρ &c.	Σφαιρηδὸν σταφυλῇσιν ἐπιτροχόωντα &c.	
	Nonn. Dionys. ἀκανθοφόρος.	

Z

Ζάκυνθος Zacynthus.

ὑλήεις	Δουλιχίῳ τε Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ.	Hom. Od. α.

ζεύγλη iugum iumentorum.

δύσλοφος	-- Τύπτε δὲ κέντρῳ Ὀξεῖ, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει.	Theog.
δούλειος	Ζεῦγλαν ἀπειλοῦντες δούλειον ἐπ' αὐχένι θήσειν.	Musurus.
ἀροτροπόνος	Καὶ μετ' ἀροτροπόνου ζεύγλας πάλι τῷ νεοθηλεῖ.	Epigr. lib. 1.

Ζεὺς Iupiter.

μητιέτης	Οἵ κέ με τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς.	Hom. Il. α.
αἰγίοχος	Τίπτ' αὖ αἰγιόχοιο Διὸς τέκος εἰλήλουθας;	Iliad. α.
ὀλύμπιος	Τιμήν πέρ μοι ὄφελλεν ὀλύμπιος ἐγγυαλίξαι	Eod.
ὑψιβρεμέτης	Ζεὺς ὑψιβρεμέτης.	
τερπικέραυνος	Τοῦτο δέ τοι ἐρέουσα ἔπος Διὶ τερπικεραύνῳ.	Eod.
εὐρύοψ, Κρ.	Εὗρεν δ' εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων.	Eod.
Κρονίων	Λισσομένη προσέειπε Δία Κρονίωνα ἄνακτα.	Eod.
κελαινεφής	Εὐχομένης, ὅτ' ἔφησθα κελαινεφεῖ Κρονίωνι.	Eod.
νεφεληγερέτης	Ὣς φάτο· τὴν δ' οὔ τι προσέφη νεφεληγερέτα Ζεύς. (τε.	Eod.
πατήρ	Τὴν δ' ἠμείβετ' ἔπειτα πατὴρ ἀνδρῶν τε θεῶν	Eod.
αἰνός	Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;	Eod.
ἀστεροπητής	Εἴπερ γάρ κ' ἐθέλησιν ὀλύμπιος ἀστεροπητής.	Eod.
σχέτλιος	Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ Σχέτλιος.	Idem Il. β.
ὑπερμενής	Οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι.	Eod.
μέγας	Ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί.	Eod.
κύδιστος, μέγ.	Ζεῦ κύδιστε, μέγιστε, κελαινεφές, αἰθέρι ναίων.	Eod.
ἀθάνατος	Υἱὸς Πειλεθόοιο, τὸν ἀθάνατος τέκε Ζεύς.	Id. Bœot.
μεδέων	Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε.	Id. Iliad. γ.
ταμίης πολέμου	Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.	Iliad. δ.

ὑψίζυγος

ὑψίζυγος	Ζεὺς δέ σφιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων.	Eod.
ὕπατος	Ζῆν᾽ ὕπατον Κρονίδην ἐξήρετο, καὶ προσέειπε.	Iliad. ε.
ἐρίγδουπος	Ὅρκια δ᾽ ὁ Ζεὺς ἴστω ἐρίγδουπος, πόσις Ἥρης.	Iliad. η.
μήστωρ	Ζῆν᾽ ὕπατον μήστωρ᾽, οὐδ᾽ εἰ μάλα πολλὰ κάμοι-	Iliad. θ.
πανομφαῖος	Ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιοί. (τε.	Eod.
ἀλιτρὸς &c.	Σχέτλιος, αἰὲν ἀλιτρὸς, ἐμῶν μενέων ἀπερωεύς.	Eod.
καταχθόνιος	Ζεύς τε καταχθόνιος, καὶ ἐπαινὴ Περσεφόνεια.	Iliad. ι.
ἐρισθενής	Ἕκτωρ, ὃς Διὸς εὔχετ᾽ ἐρισθενέος παῖς εἶναι.	Iliad. ν.
ἐριβρεμέτης	Ζηνὸς ἐριβρεμέτεω δεινῆς ἀκόρητοι ἀϋτῆς.	Eod.
ξείνιος	Ξεινίου, ὅς τε ποτ᾽ ὔμμι διαφθέρσει πόλιν αἰπήν.	Eod.
πρόφρων	Γινώσκω δ᾽ ὅτι μοι πρόφρων κατένευσε Κρονίων.	Iliad. θ.
Δωδωναῖος &c.	Ζεῦ ἄνα Δωδωναῖε, Πελασγικὲ, τηλόθι ναίων.	Iliad. π.
στεροπηγερέτης	Κινήσει πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς.	Eod.
ἀργικέραυνος	Ζεῦ πάτερ ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεσὶ θή-	Iliad. τ.
ἱκετήσιος	Ζεύς σφέας τίσαιτο ἱκετήσιος, ὅς τε καὶ ἄλλους. (στω.	Id. Odyss. ν.
κρείων &c.	Εὐρύοπα, κρείοντα τελεσφόρον.	Hom. hym.
Ἰδαῖος	Ἀλλ᾽ εὔχου σύ γ᾽ ἔπειτα κελαινεφεῖ Κρονίωνι Ἰδαίῳ.	Iliad. ω.
αἰθέριος	Λύχνον ἔρωτος ἄγαλμα, τὸν ὤφελεν αἰθέριος	Musæus.
βαρύκτυπος	Τεῦξε Διὸς βουλῇσι βαρυκτύπου. (Ζεύς.	Hesiod. lib. I
ἐρισμάραγος	Αὐτὰρ ἐρισμαράγοιο Διὸς κλυτοὶ ἐπίκουροι.	Id. Theog.
σωτήρ	Ἅπαντας ὦ Ζεῦ σῶτερ ὡς ὠνήμεθα.	Menand.
πολυΰμνητος	Ὦ Ζεῦ πολυΰμνητ᾽, εἴθ᾽ ἐγὼ κακῶς ποτε.	Eubul.
ἑταιρεῖος	Ταῦτα γὰρ ἡμῶν Διὸς ἑταιρείου &c.	Diphil. πίθ.
ἀρίζηλος	Θῆρες ἀριζήλοιο Διὸς ξυμέοισι γενέθλην.	Coluth.
ἕρκειος	Κεῖσαι ἑρκείοιο Διὸς μεγάλου παρὰ βωμῷ.	Tryphiod.
ἀκάματος	Ἐς γαῖαν προΐησι Διὸς μένος ἀκαμάτοιο.	Calab. lib. I.
μεγασθενής	-- ὅτ᾽ ἤγετο Κυπρογένειαν Ζηνὶ μεγασθενέϊ.	Idem lib. 2.
ὑπέρθυμος	Ζηνὸς ὑπερθύμοιο λαχὼν ἀριδείκετον αἷμα.	Eod.
μεγαλοβρεμέτης	Εἰ μὴ ὑπ᾽ ἐννεσίῃσι Διὸς μεγαλοβρεμέταο.	Eod.
πελώριος	Ἄζετο δ᾽ οὔτε Ζῆνα πελώριον, οὔτε τιν᾽ ἄλλον.	Id. lib. II.
ἐλατήρ, δικ.	Πηλογόνων ἐλατῆρα, δικασπόλον οὐρανίδῃσι.	Callimach.
Δικταῖος, Λυκ.	Πῶς καί νιν Δικταῖον ἀείσομεν, ἠὲ Λυκαῖον.	Idem.
οὐράνιος	Καλὰ μὲν ἠέξεο, καλὰ δ᾽ ἔτραφες οὐράνιε Ζεῦ.	Idem.

ἐπόψιος

ἐπόψιος	-- ἴζεο δ᾽ αὐτὸς Ἄκρης ἐν πολίεσσιν ἐπόψιος.	Idem.
πανυπέρτατος, δῶτορ ἐάων	Χαῖρε μέγα Κρονίδη, πανυπέρτατε, δῶτορ ἐάων, Δῶτορ ἀπημονίης.	Idem.
γυναικοφίλης	-- ὦ Ζεῦ Οὐ μόνος ἠράσθην, καὶ τὺ γυναικοφίλας.	Theoc. εἰδ. η.
μέγα βουλεύων	Μουσᾶν ἀπαίνευθε Διὸς μέγα βουλεύοντος.	Idem εἰδ. ις.
θεόταυρος	Πῆ με φέρεις θεόταυρε; τίς ἔπλεο;	Idem εἰδ. κ.
αὐτόπατρος	Μαίης αὐτοπάτροιο θοὸν τέκες ἰθυντῆρα.	Theoc. εἰδ. λ.
ὕψιστος	Τῇ μὲν ἄρα προσέειπε Διὸς γόνον ὑψίστοιο.	Idem εἰδ. λβ.
Νέμεος	Κοίλην αὖλιν ἔχοντα Διὸς Νεμέοιο παρ᾽ ἄλσος.	Eod.
Σινωπίτης	Ἔνθα Σινωπίταο Διὸς μεγάλοιο μέλαθρον.	Dionyſ.
σεισίχθων &c.	Αὐτόν τε Κρονίδην σεισίχθονα, κυανοχαίτην.	Orph. Arg.
χαμαίζηλος	Σῆμα χαμαιζήλοιο Διὸς ποτὶ κῶας ἀμείβων.	Ibidem.
ἱκέσιος &c.	Ἱκεσίου πρὸς Ζηνός, ὅπερ ῥίγιστος ἀλιτροῖς.	Apoll. lib. 2.
εὔξεινος	Ζηνὸς εὐξείνοιο θυηταίην ὑπὲρ ἄκρην.	Eod.
ἰκμαῖος	Καὶ βωμὸν ποίησε μέγαν Διὸς ἰκμαίοιο.	Eod.
θυηταῖος	Τοὺς δὲ μετ᾽ αὐτίκ᾽ ἔπειτα θυηταίου Διὸς ἄκρην	Eod.
φύξιος	Φυξίῳ ἐκ πάντων Κρονίδῃ Διΐ, καί μιν ἔδεκτο.	Eod.
ἀμείλικτος	Σπεῦται ἀμειλίκτοιο Διὸς θυμαλγέα μῆνιν.	Apoll. lib. 3.
καθάρσιος	Μείλισσεν χύτλοισι καθάρσιον ἀγκαλέουσα Ζῆ(να.	Apoll. lib. 4.
ὅρκιος	-- Ζεὺς αὐτὸς ὀλύμπιος ὅρκιος ἔστω.	Eod. (lib. 1.
ὑψιμέδων	Ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.	Diog. Laert.
Ἠλεῖος	Γυμνικὸν αὖ ποτ᾽ ἀγῶνα θεώμενον Ἠλεῖε Ζεῦ.	Epigr. lib. 3.
ἀργής	Ζεὺς ἀργής, Ἥρη τε φερέσβιος, ἠδ᾽ Ἀϊδωνεύς.	D. Laërt. l. 8.
εὐρυμέδων	Εὐρυμέδων Κρονίδης γαιήοχος.	Opp. ἁλ. α.
ἐμβύθιος	Ἀλλὰ τὸ μὲν ναύτῃσιν ἀλεξήσειε Κρονίων Ἐμβύθιος.	Idem ἁλ. δ.
ἀλίγδουπος	Ἶσα γὰρ ἀνθρώποισι νοήματα, καὶ προπόλοισι Ζηνὸς ἀλιγδούποιο.	Idem ἁλ. ε.
χρύσειος	Ζηνὸς χρυσείοιο πάϊς κλυτὸς εὕρατο Περσεύς.	Idem κυνηγ. β.
ἀλεξίκακος	Δῶρον ἀλεξικάκοιο Διὸς θνητοῖσιν ὀπάσσαι.	Orph.
μειλίχιος	Ζηνὸς μειλιχίοιο λαχὼν θρόνον, ἀνέρος οἶτον.	Epigr. lib. 1.
χόλιος	Καὶ Δία συγκεράσας τῇ γαμετῇ χόλιον.	Eod.
ἐφέπων &c.	Ζεῦ χρελῆς ἐφέπων ἱερὸν πέδον. (π.	Eod.
παιδικός.	Χ᾽ οἷ μὲν ἐπ᾽ ἠϊθέας, σὺ δὲ παιδικός, ὄφρα λάθοι	Eod.

κύκνος	Κύκνος Ζεὺς, Ἄμμων δ' ἀμφιβόητος ὄφις.	Eod.
ἀγλαός	Ὄμματα καὶ κεφαλὴν ἀγλαὸς ὁ Κρονίδης.	Epigr. lib. 4.
ἀρχιγένεθλος	Καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ' οὗ φύσις ἐβλάστησεν.	Epigr. lib. 7.
Ἐρεχθεύς	Ἔστη δ' Ἐρεχθεὺς εἰς Λαπερσαίους γύας.	Lycoph.
ὄμβρειος	Τοῦ Ζηνὶ δαιτρευθέντος ὀμβρείῳ δέμας.	Idem.
Γογγυλάτης	Ὃν Γογγυλάτης εἷλε Βουλαῖος Μυλεύς.	Idem.
Τερμιεύς	Στυγὸς κελαινῆς νασμὸν, ἔνθα Τερμιεύς.	Idem.
Λαπέρσιος	Πρῶτος μὲν ἥξει Ζηνὶ τῷ Λαπερσίῳ.	Idem.
εὐρύτιμος	Ὕπατον εὐρυτίμου ποτὶ δῶμα Διὸς μεταβᾶσαι.	Pind. Olym.
Κρόνιος παῖς Ῥ.	Ἀλλ' ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων.	Ibidem.
ἐλατὴρ βροντᾶς	Ἐλατὴρ ὑπέρτατε βροντᾶς ἀκαμαντόποδος Ζεῦ	Ibidem.
ὑψινεφής	Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον.	Ibidem.
Αἰτναῖος	Λευκίππου τε θυγατρὸς ἑορταὶ, καὶ Ζηνὸς Αἰ- τναίου κράτος.	Ibidem.
γενέθλιος	Ὕμμε δ' ἐκλαρώσεν πότμος Ζηνὶ γενεθλίῳ.	Ibidem.
βαρύγδουπος	Ὡς ἐμοὶ φάσμα λέγει Κρονίδα πεμφθὲν βα- ρυγδούπου Διός.	Ibidem.
φοινικοστερόπης	Ἀλλὰ νῦν ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων, Δία τε φοινικοστερόπαν. (τε.	Ibidem.
αἰολοβρόντης	Ἵν' αἰολοβρόντα Διὸς αἴσᾳ Πύρρα Δευκαλίων	Ibidem.
ὀρσίκτυπος	Κελαδησόμεθα βροντὰν, καὶ πυρπάλαμον βέ- λος ὀρσικτύπου Διός γε.	Ibidem.
ἐλευθέριος	Λίσσομαι παῖ Ζηνὸς ἐλευθερίου &c. (ἔπορεν.	Ibidem.
ἐγχεικεραύνιος	Ὅπως τέ οἱ αὐτὰ Ζηνὸς ἐγχεικεραυνίου παῖς.	Ibidem.
ἄμμων	Ῥίζαν φυτεύσεσθαι μελησίμβροτον, Διὸς ἐν Ἄμ- μωνος θεμέθλοις.	Idem Pyth.
βαρυόπης	Μάλιστα μὲν Κρονίδαν βαρυόπαν, στεροπᾶν κεραυ- νῶν τε πρύτανιν, θεῶν σέβεσθαι.	Ibidem.
Νεμεαῖος	Νεμεαίου ἐν πολυϋμνήτῳ Διὸς ἄλσει.	Idem Nem.
ὀρσινεφής	Κατένευσέν τέ οἱ ὀρσινεφὴς ἐξ οὐρανοῦ Ζεύς.	Ibidem.
πρευμενής Δρύμνιος &c.	Ἡμῖν ἀρωγὸς πρευμενὴς ὁ Δρύμνιος Δαίμων, Προμανθεὺς Αἰθίοψ Γυλάψιος.	Lycoph.
ἐφέστιος	Καί σ' ἀντιάζω πρὸς τ' ἐφεστίου Διός.	Soph. Aiace.
μόριος	Ὁ γὰρ εἰσορῶν κύκλος λεύσσει νιν μορίου Διός.	Id. Oed. Col.
παντάρχης &c.	Ἰὼ Ζεῦ παντάρχα θεῶν, παντόπτα.	Ibidem.

ἀγώνιος	Τέλος δ᾽ ἔθηκε Ζεὺς ἀγώνιος καλῶς.	Idem Trach.
κηναῖος	Βωμοὺς, τελεῖ τ᾽ ἔγκαρπα κηναίῳ Διΐ.	Ibidem.
τροπαῖος	Ὦ Ζεῦ τροπαῖε, μή ποτ᾽ εἰσίδοιμί σε.	Ibidem.
πατρῷος	-- ἔνθα πατρῴῳ Διῒ βωμοὺς ὁρίζει.	Ibidem.
ἁγνός	Ἀπώμοσ᾽ ἁγνοῦ Ζηνὸς ὕψιστον σέβας.	Idem Phil.
Θεσπρωτός	Μαντεῖα, θῶκός τ᾽ ἐστὶ Θεσπρωτοῦ Διός.	Æsch. Prom.
ἀγοραῖος	Ἀλλ᾽ ἐκράτησε Ζεὺς ἀγοραῖος.	Id. Eumenid.
παγκρατής	Σεβίζου δ᾽ ἱκέτας σέθεν γαιάοχε παγκρατὲς Ζεῦ.	Idem Suppl.
οὔριος	Τέκτων τὸ πᾶν μῆχαρ οὔριος Ζεύς.	Ibidem.
ὁμόγνιος	Ἀλλ᾽ ἄντομαί σε, Δία καλοῦσ᾽ ὁμόγνιον.	Eurip. Andr.
ἐκηβόλος	Κεραυνὸν ἀμφίπυρον ὄμβριμον ἐν Διὸς ἐκηβόλου χερσίν.	Eurip. Ione.
τύραννος θεῶν	Ὑψιμέδοντα μὲν θεῶν Ζῆνα τύραννον.	Arist. Nebu.
ἑλλάνιος	Ἑλλάνιε Ζεῦ, σὸν τὸ νικητήριον.	Id. Equitib.
πολυτίμητος	Ὦ Ζεῦ πολυτίμηθ᾽, ὡς καλαὶ πρὸς τοῦ θεόν.	Ibidem.
κεραυνοβρόντης	Ὦ Ζεῦ κεραυνοβρόντα &c.	Idem Pace.
	Ζεῦ πολύτιμε, Ζεῦ ἄφθιτε, τήνδε τοι ἡμεῖς	Ex hymnis
	μαρτυρίαν τιθέμεσθα λυτήριον, ἣ δὲ πρόσευξιν·	Orphei Διὸς
	Ζεῦ Κρόνιε, σκηπτοῦχε, καταιβάτα, ὀβριμόθυμε·	θυμίαμα, στύρακα.
	παντογένεθλ᾽, ἀρχὴ πάντων, πάντων τε τελευτή·	
	σεισίχθων, αὐξητὰ, καθάρσιε, παντοτινάκτα·	
	ἀστραπαῖε, βρονταῖε, κεραύνιε, φυτάλμιε Ζεῦ.	
	κλῦθί μου αἰολόμορφε, δίδου δὲ ὑγείαν ἀμεμφῆ.	
Διὸς ἀστραπέως	Κικλήσκω μέγαν ἁγνὸν, ἐρισμάραγον, περίφαντον,	
	ἀέριον, φλογόεντα, πυρίδρομον, ἀεροφεγγῆ·	
	ἀστράπτοντα σέλας νεφέων παταγοδρόμῳ αὐδῇ·	
	φρικώδη, βαρύμηνιν, ἀνίκητον, θεὸν ἁγνόν,	
	ἀστραπέα Δία, παγγενέτην, βασιλῆα μέγιστον·	
	εὐμενέοντα φέρειν γλυκερὴν βιότοιο τελευτήν.	
Δαίμονος θυμίαμα.	Δαίμονα κικλήσκω μεγάλαν ἡγήτορα, φρικτὸν,	
	μειλίχιον Δία, παγγενέτην, βιοδώτορα θνητῶν·	
	Ζῆνα μέγαν πολύπλαγκτον, ἀλάστορα παμβασιλῆα· πλουτοδότην &c.	

Nonn.

Nonn. Dionys. ὑψίκερως, ἀνέφελος, γιγαντοφόνος, πουλυτόκος, πατροπάτωρ, αἰγίοχος, ἀθήητος, Λίβυς, ἀσβύστης, πουλυέλικτος, ὀμβροτόκος, πυρόεις, φιλότεκνος, ὑέτιος, ὄμβρος ἐπίκλοπος, ἀκρόνυχος, ἀκοντιστὴρ κεραυνοῦ, δολοπλόκος, στεροπηγερέτης, τερπικέραυνος, ἀνέφελος, κλεψίγαμος, γαμοκλόπος, αὐτοτόκος, Φρύγιος, τανυσίπτερος, ἀεθλητὴρ, νωδαῖος, ἑσπέριος, ἱκέσιος, πυρσοφόρος, περεασίνοος, θηλυμανὴς, ἄστοργος, παιδοτόκος, ζωοτόκος, βύθιος, Αὐσόνιος, ἀλεξίκακος, χρυσοπάτωρ.

ζέφυρος Zephyrus.

λάβρος	-- ζέφυρος βαθὺ λήϊον ἐλθὼν Λάβρος ἐπαιγίζων.	Hom. Il. β.
δυσαής	Οἱ μὲν ἄερ ζεφύροιο δυσαέος ἀθρόοι εὗδον.	Id. Iliad. ψ.
ἀκραής, κελάδ.	Ἀκραῆ ζέφυρον κελάδοντ' ἐπὶ οἴνοπα πόντον.	Odyss. β.
κεκληγώς	Κεκληγὼς ζέφυρος μεγάλῃ σὺν λαίλαπι θύων.	Odyss. μ.
ἔφυδρος	-- αὐτὰρ ἄη ζέφυρος μέγας αἰὲν ἔφυδρος.	Odyss. ξ.
αἴθριος	Ἦλθ' ἄνεμος ζέφυρος μέγας αἴθριος, ἐκ Διὸς αἴσης.	Id. hymn.
ὑγρὸν ἀείς	-- ὅθι μιν ζεφύρου μένος ὑγρὸν ἀέντος Ἤνεικεν.	ibid.
νεφεληγερής	Ῥιπῇ ἀπειρεσίῃ νεφεληγερέος ζεφύροιο.	Calab. lib. 4.
πολυηχής	Ἅρπυια ζεφύρῳ πολυηχέϊ φέρτατον ἄλλων.	Eod.
πνείων ἐέρσην	Ποικίλ' ἀγινεῦσι ζεφύρου πνείοντος ἐέρσην.	Callimach.
Λοκρός	Ἤτοι ὁ μὲν Λοκροῖο παρ' ἐγχελίων ζεφύροιο.	Dionys.
ἑσπέριος	Ἑσπέριον Σικελοί, τόν τε ζέφυρον καλέουσι.	Idem.
εὐσταθής	Νόσφιν ἐϋσταθέος ζεφύρου.	Apoll. lib. 4.
λαιψηρός	Δὴ τότε λαιψηροῖο κατηλυσίῃ ζεφύροιο.	Eod.
κραιπνός	Τίκτεσκες οἷα θοὴ κραιπνοῦ ζεφύροιο γενέθλη.	Opp. κυνηγ. α
μαλακός	Πρὸς μαλακοῖς ἠχεῖ κεκλιμένα ζεφύροις.	Epigr. lib. 1.
χαρίεις	Ἤδη μέμβλωκεν χὼ χαρίεις ζέφυρος.	Eod.
πρηΰγελως	Γλαυκὸν θηλύνει πρηΰγελως ζέφυρος.	Eod.
ἡδύς	Ξεῖνε, κατὰ πρύμνης ἡδὺν ἄγων ζέφυρον.	Eod.
πλοητόκος	Ἤδη μὲν ζεφύροιο πλοητόκου ὑγρὸν ἄημα.	Eod.

πρηΰς	Πρηῢς ἐπιπνείων ἀμφιδονεῖ ζέφυρος.	Epigr. lib.4.
εὐθύπνοος	Εν ναυσὶ πόρευσαν εὐθυπνόου ζεφύροιο πομπαί.	Pind. Nem
ἠεροφοίτης	Αὖραι ποντογενεῖς, ζεφυρίτιδες, ἠεροφοῖται,	Orph. hym.
	Ἡδύπνοοι &c. vide supra ἐν τῷ Αὔρα.	εἰς ζέφυρον.
πότατος ἀνέμ.	Τῷ πάντων ἀνέμων ποτάτῳ ζεφύρῳ.	Epigr. lib.6.
	Nonnus Dionys. εἰαρινός, ἀεξίφυτος.	

ζῆλος zelus.

δυσκέλαδος,	Ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν	Hesiod.lib.1.
κακόχαρτος, συζ.	Δυσκέλαδος, κακόχαρτος, ὁμαρτήσει στυγερώπης.	
λυγρός	Μὴ δέ τι με ζήλοιο λυγροῦ μεμνημένη ἔμπης.	Calab.lib.10
ἐρεμνός	Τοῦ γὰρ ζῆλον ἐρεμνὸν ἀπώσατο, καί οἱ ἔνερθεν.	Idem lib.13.
θυμοβόρος	Θυμοβόρου ζάλου κέντρον ἔχουσα νόῳ.	Epigr. lib.1.
ἔμφρων	Καὶ ζῆλος ἔμφρων, καὶ καλῶν πάντων ἔρως.	Cyr. Theod.
βαρύς	-- βαρὺν ζῆλόν τ' ἐξαλάπαζε φρενῶν.	Dolsc.
λευγαλέος	Λευγαλέῳ ζήλῳ πυελμήτοει ἀργαλέος θήρ.	Opp. κυνηγ.
πικρός	- ἔζεε πικρῷ Ζήλῳ θυμὸν ἔδουσα.	Christod.
ἐρατός &c.	Εὔκλειαν, ζῆλόν τ' ἐρατὸν πολυΰμνον ἄγουσαι.	Orph. hym.
λύσας θεσμὸν ἀθέσμως	-- ἀλλὰ καὶ αὐτοὶ μαρνάμενοι περὶ σεῖο, διακριδὸν ἔνθα καὶ ἔνθα ἵσανται, ζῆλος δὲ Θεοῦ λύσε δεσμὸν ἀθέσμως, ἁρμονίην τ' ἀγάπης, ἧς οὔνομα μοῦνον ἐλείφθη.	Nazianz.
	Nonnus Dionys. ὑποκάρδιος, βαρύφρων, δικασπόλος, ὑπέροπλος.	

ζόφος caligo.

ἠερόεις	Εἴτ' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερόεντα.	Hom. Il.μ.
αἰνόμορος &c.	Εἰς ζόφον αἰνόμορον καὶ ἀμήχανον.	Idem hym.
αἰνός	Κεῖτ' Ἀΐδος κυνέη, νυκτὸς ζόφον αἰνὸν ἔχουσα.	Hesiod.Scu.
εὐρύς	Θήσω ὑπὸ ζόφον εὐρὺν, ἄχος δέ τι ἔσσεται αὐτῷ.	Calab.lib.5.
ἀργαλέος	Ες φάος, ἀργαλέος δὲ περὶ ζόφος αἰὲν ἐρύκει.	Idem lib.12.

ὀκρυόεις	Ἀλλ᾽ ὅ μιν ἵκανεν ὑπὸ ζόφον ὀκρυόεντα.	Id. lib. 13.
σκοτόεις	Κάδδ᾽ ἔμαθε σκοτόεντα πλάνης ζόφον.	Cyr. Theod.
δειελινός	Δειελινὸν κλίνοντος ὑπὸ ζόφον ἠελίοιο.	Apoll. lib. 1.

ζυγὸς iugum.

ἵππειος	Ἵππειον δὲ θεὰ ζυγόδ᾽ ἤφατο, φώνησέν τε.	Hom. Il. ε.
ἡμιόνειος, πύξινος, ὀμφαλόεις	Κάδδ᾽ ἀπὸ πασσαλόφιν ζυγὸν ᾕρεον ἡμιόνειον, Πύξινον, ὀμφαλόεντα.	Id. Iliad. ω.
δίλοφος	Οὔποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω Δίλοφον.	Theogn.
δούλιος	Δούλιον Ἀσσυρίηθε φυγὼν ζυγόν.	Nazianz.
νεόνυμφος	Πολλάκι καὶ νεόνυμφον ἐπὶ ζυγὸν ἤλυθε μοίρη	Idem.
δίμαχος	Γῆρας ἔπειτα νόσος καθεῖλε δίμαχον ζυγόν.	Diog. L. li. 2.
ἀστεμφής	Ἀστεμφῆ πάγκοινον ὑπὸ ζυγόν.	Opp. ἁλ. α.
ταλαεργός	Καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων.	Epigr. lib. 4
ἐπαυχένιος	Φέρειν δ᾽ ἐλαφρῶς ἐπαυχένιον λαβόντα ζυγόν.	Pind. Pyth.
τετράορος	Τετραόροισιν ἁρμάτων ζυγοῖς.	Idem Nem.

Sibylla, citante Lactantio lib. 7 de diuino præmio cap. 18,

δυσβάστακτος	Ζυγὸν δυσβάστακτον ἐπ᾽ αὐχένι κείμενον ἀρεῖ.	

Nonnus Dionysiacis: πολυκλήϊστος, βαρυηχής.

ζωγραφία pictura.

τυποειδής	Πήλινα μιλτόχριστα, ζωγραφίας τυποειδεῖς.	Sibyll.

ζωγράφος pictor.

κλυτότεχνος	Τῇδε καθὼς κλυτότεχνος ἐὼν τις ζωγράφος ᾠδῇ.	Dolsc.

Ζωδιακὸς Zodiacus.

Nonnus Dionys. ἀστεροφεγγὴς κύκλος, γλαφυρός.

ζωή vita.

μενοεικής	Ἦ δέ κεν ζωὴν φαγέειν μενοεικέα πολλήν.	Hom. Od. π.
οὐρανίη	Τόσσον ἐς οὐρανίην ζωὴν ὤσασθαι ἅπαντα.	Nazianz.
παλίνορσος	Πρὸς ζωὴν παλίνορσον Ἀδὰμ καὶ κῦδος ἀνάξῃ.	Idem.
ἐλαφρή	Ἔνθεν ἀνερχόμενοι, ζωῆς ἐπιβῶμεν ἐλαφρῆς.	Idem.
λυγρή	Ἕλκοιμι ζωήν τε λυγρήν, καὶ σῶμα πόνηρον.	Idem.
λυπρή	Ἕλκων ζωήν τε λυπρήν, καὶ γῆρας ἀφαυρόν.	Idem.
πενθαλέη	Ὅστις ἔχει ζωὴν ἐνθάδε πενθαλέην.	Idem.
ἔμφυτος &c.	--ἔμφυτος ἦεν ἐν αὐτῷ Ζωὴ πᾶσι μένουσα.	Nonnus.
πάνσοφος	Ζωὴ πάνσοφος ἦεν. ὃν ἀχλυόεντι δὲ κόσμῳ.	Idem.
ἀμβροσίη	Ζωὴν ἀμβροσίην, τὴν οὐ χρόνος οἶδεν ὀλέσσαι.	Idem.
παμμήτωρ κόσμου	Ὥσπερ γὰρ γενέτης μεθέπει παμμήτορα κόσμου Ζωήν.	Idem.
ἐπίμοχθος &c.	Οὕνεκά μοι ζωὴ ἐπίμοχθος ἐπώδυνός ἐστι.	Dolsc.
μακροχρόνιος	Ἀλλὰ μακροχρόνιον ζωὴν σέο ἄμμι διδόντες.	Idem.
ἀλγινόεσσα	Τῆς τ' αὐτοῦ ζωῆς τὴν ὁμῶς σκιῇ ἀλγινοέσσης.	Idem.
πολυήρατος	Ὤπασεν εἰς ζωὴν πολυήρατον.	Sibyll.
ἀμέριμνος	Εἰς φῶς ἄξουσι, καὶ εἰς ζωὴν ἀμέριμνον.	Ibid.
ὀλβιόθυμος	Ζωήν τ' ὀλβιόθυμον, ὁμοῦ θ' ὑγίειαν ἄνασσαν.	Orph. hym.

ζώνη zona.

παρθενίη	Λῦσε δὲ παρθενίην ζώνην, κατὰ δ' ὕπνον ἔχευε.	Hom. Od. λ.
δερματίνη	Ἀμφὶ δὲ δερματίνην περὶ ὀσφύϊ ζώσατο ζώνην.	Castalio.
φοινικόκροκος	Ἁ δὲ φοινικόκροκον ζώναν καταθηκαμένα.	Pind. Olym.

ζῶα animalia.

ἀλόγιστα	Ἔτρεφεν ἔνδον ἔχουσα, δίκην ζώων ἀλογίστων.	Epigr. lib. 1.
ἀφραδέα	Γαῖα δ' ἔπι ζώοισιν ἀγάλλεται ἀφραδέεσσι.	Nazianz.
ποικιλόμορφα	Καὶ γὰρ ζῶα ἐκεῖ μάλα ποικιλόμορφα τέτυκται.	Dolsc.

ζωστήρ *cingulum, balteus.*

ἀρηρώς	Εν δ' ἔπεσε ζωστῆρι ἀρηρότι πικρὸς ὀϊστός.	Hom. Il. δ.
δαιδαλέος	Διὰ μὲν ἄρ ζωστῆρος ἐλήλατο δαιδαλέοιο.	Eod.
παναίολος	-- ἀλλὰ πάροιθεν	Eod.
	Εἰρύσατο ζωστήρ τε παναίολος.	
φαεινός	Οἰνεὺς μὲν ζωστῆρα δίδου φοίνικι φαεινόν.	Iliad. ζ.
ἀναιδής	Φάσγανα καὶ ζωστῆρας ἀναιδέας &c.	Callimach.
πλακερός	-- γέρων ἐσφίγγετο πέπλος	Theoc. εἰδ. ζ.
	Ζωστῆρι πλακερῷ.	
	Nonn. Dionys. βοηθόος, παρθένιος.	

H.

Ἥβη *Hebe, dea pubertatis ac iuuentutis.*

πότνια	Χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ σφισι πότνια Ἥβη.	Hom. Il. δ.
ἐρικυδής	Αὐτὰρ ἐπεί ῥ' ἥβης ἐρικυδέος ἵκετο μέτρον.	Idem Il. λ.
καλλίσφυρος	Τέρπεται ἐν θαλίῃς, καὶ ἔχει καλλίσφυρον Ἥβην.	Id. Odyss. λ.
πολυήρατος	Αὐτὰρ ἐπεί ῥ' ἥβην πολυήρατον ἱκόμεθ' ἄμφω.	Odyss. ο.
εὐθαρσής	Κλῦθι βροτῶν ἐπίκουρε, δοτὴρ εὐθαρσέος ἥβης.	Idem hym.
ἧλιξ	Οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης.	Musæus.
χρυσοστέφανος	Ἥβην τε χρυσοστέφανον, καλήν τε Διώνην.	Hesiod. Th.
ἀγλαός	Αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸς ἥβη.	Theogn.
τιμήεσσα	Ἥβη τιμήεσσα, τὸ δ' οὐλόμενον καὶ ἄμορφον.	Idem.
ἐρατή	Αλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει.	Idem.
πολυγηθής	Ἥβης ἀρχόμενον πολυγηθέος, ὁππότε φῶτες.	Calab. lib. 4.
λευκόσφυρος	Οἱ δ' εἰς ἀμβρόσιον θάλαμον λευκοσφύρου Ἥβας.	Theoc. εἰδ. ιζ.
παιδήϊος	Οὔ πελε νήπιος οὗτος ἔχων παιδήϊον ἥβην.	Nonnus.
παλιναυξής	Πιστῆς μέτρα τέλεια φέρων παλιναυξέος ἥβης.	Idem.
νεαρή	Ἄψ ἀναφοιτήσῃ νεαρῇ γε κεχρημένος ἥβῃ.	Nicand. Th.

νεοθηλής	Ὅς μεν εὐφρήνειε χάειν νεοθηλέος ἥβης.	Apolinar.
περιτάγειος	Θάλπων οἰχομένης γενεῆς περιτάγειον ἥβης.	Idem.
γηραρκής	-- ἀλλ' ὅθ' ἵκοντο Τέλος γηραρκέος ἥβης.	Opp. ἀλ. ε.
εὐάνθεμος	Ἕζεται ἐν σομάτεσσι. τεὴ δ' εὐάνθεμος ἥβη.	Epigr. lib. 3.
θαλερή	Σοὶ τόγε Διόγενες θαλερῆς μνημήϊον ἥβης.	Eod.
σώφρων	Εὕρετο γὰρ μνηστῆρα τὸν ἤθελε, καὶ λάχεν ἥβην Σώφρονα.	Epigr. lib. 6.
τερπνή	Τερπνᾶς δ' ἐπεὶ χρυσοστεφάνοιο λάβεν καρπὸν ἥβας.	Pind. Olym.
ὑπέροπλος	Ἄδικον, οὐθ' ὑπέροπλον ἥβαν δρέπων.	Id. Pyth.
ἀγλαόγυιος	Ελάχομεν ἀγλαόγυιον ἥβαν.	Id. Nem.
χοροποιός	Χοροποιὸν μάκαρ ἥβαν.	Aristoph.
	Nonn. Dionys. εὐπάρθενος, ἀρτιτέλεστος, παιδήϊος, ἀλεξίκακος, μνηστήριος, ἀνύμφευτος, χρυσοπέδιλος, καλλιέθειρα, οἰνόχυτος, εὐάνθεμος, ἀχάλινος, πειθήνιος, ἄμβροτος.	Ranis.

ἡγεμών, ἡγητήρ, ἢ ἡγεμονεύς *dux seu ductor, princeps.*

θεόπεμπτος	Λαὸς ὁ δωδεκάφυλος ἐν ἡγεμόσιν θεοπέμπτοις.	Sibyll.
ληϊστοκτόνος	Βέλτερον ἡγεμόνος ληϊστοκτόνου ἐς κρίσιν ἐλθεῖν.	Epigr. lib. 2.
ὑψίνοος	Διώξεά θ' ὑψινόων παραμείψεται ἡγητήρων.	Apolinar.
θεοφραδμων	Πατρίδος ἡμετέρης θεοφράδμονες ἡγεμονῆες.	Procl. Lyc.

ἡδονή *voluptas.*

παράκαιρος	Ἡ γὰρ παράκαιρος ἡδονή, τίκτει βλάβην.	Menand.
ἀσύμβολος	Χαίρουσι δείπνων ἡδοναῖς ἀσυμβόλοις.	Timocles.
παιδοποιός	-- παιδοποιοὺς ἡδονὰς Ξένοισιν ἐν δόμοις ἔχειν.	Eurip. Phœ.

πολύδακρις	Ἄναγε πολύδακρυν ἀηδόνα.	Id. Elect.
	Nonn. Dionys. κακῶν δέλεαρ.	

ἠέλιος infra ἥλιος.

Ἠετίων *Eetion, Thebarum rex, Andromaches pater.*

μεγαλήτωρ	Ἀνδρομάχη θυγάτηρ μεγαλήτορος Ἠετίωνος.	Hom. Il. θ.
ἑλκυδής	Τήλεφον, ἠδὲ βίην ἑλκυδέος Ἠετίωνος.	Calab. lib. 4.
ἀντίθεος	Χρύσεον ἀντιθέοιο μέγα κτέαρ Ἠετίωνος.	Eod.
θρασύς	Ἄλλον δ᾽ ἰὸν ἄρ᾽ ἧκεν ἐπὶ θρασὺν Ἠετίωνα.	Id. lib. 6.
ἀμύμων	Κούρην Ἠετίωνος ἀμύμονος αἰνὰ βοῶσαν.	Id. lib. 13.
ὄβριμος	Τήλεφον ἀμφὶ ἄνακτα, καὶ ὄβριμον Ἠετίωνα.	Id. lib. 14.

ἠήρ, ſupra ἀήρ.

ἦθος *mos*, ſiue (ſecundum Quintil.) *omnis mentis habitus.*

ἐπίκλοπον	Ἐν δὲ θέμεν κύνεόν τε νόον, καὶ ἐπίκλοπον ἦθος.	Heſiod. lib. 1
κεδνόν	Παρθενικὴν δὲ γαμεῖν, ὥς κ᾽ ἤθεα κεδνὰ διδάξῃς.	Id. lib. 2.
ποικίλον	Κύρνε φίλους κατὰ πάντας ἐπίστρεφε ποικίλον ἦθος.	Theogn.
ἄστοργον	— ἀλλά που ἔγνων Ἡμέας ἀστόργοισιν ἐν ἤθεσιν.	Nonnus.
λοίγιον	Φθέγγεται ἐξ ἰδίων, ὅτι λοίγιον ἦθος ἀέξων.	Idem.
εὐσεβές	Καί σε σοφὸς χορὸς οὗτος ἐμῶν δεδάηκεν ἑταίρων Ἤθεσιν εὐσεβέεσσιν.	Idem.
κίβδηλον	Πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες.	Theogn.
πιστόν	Οὐ στέργειν φιλότητα, καὶ ἤθεα πιστὰ δαῆναι.	Naumach.

ἱμερόεν	Ἄκρα φέρων σοφίης τε & ἤθεος ἱμερόεντος.	Nazianz.
κυδάλιμον	Ἴσον ἐμοὶ πολιῇ τε & ἤθεσι κυδαλίμοισι.	Idem.
μετάτροπον	Ὄφρα μιν ὃς δέξοιτο, μετάτροπον ἦθος ἀμείψας.	Nonnus.
ἀπλανές	Ἤθεσιν ἀπλανέεσσιν ἀκαμπέα πίστιν ἀέξων.	Idem.
ἄγριον	Ἄγριον ἦθος, βαρβάρου φύσις φρενός.	Nazianz.
	Nonn. Dionyſ. βάρβαρον, πατρώϊον, παιδόκομον, φιλόκυτον, πολύτροπον, κερδαλέον.	

ἠϊὼν litus.

βαθεῖα	Ἠϊόνος προπάροιθε βαθείης ἐστιχόωντο.	Hom.Il.β.
παραπλῆξ	Ἠϊόνας τε παραπλῆγας, λιμένας τε θαλάσσης.	Id.Odyſſ.ε.
βαρύδουπος	Οἱ δέ μιν ἀμφ' ἐπὶ νῆα καὶ ἠϊόνας βαρυδούποις.	Calab.lib.9.
φυκιόεσσα	Αὐτῶ ἐπ' ἀϊόνος κατετάκετο φυκιοέσσης.	Theo. εἰδ.ια.
εἰναλία	Οὐ τόσον εἰναλίαισι παρ' ἠόσι μύρατο δελφίν.	Id.εἰδ.ιθ.
ψαφαρά	Αὐτὰρ ἐγὼ ψαφαραῖσιν ἐπ' ἠϊόνεσσιν ἀνῆκα.	Orph.Arg.
εὐκρόκαλος	Χερσὸς εὐκροκάλοισι παρ' ἠόσιν ἵστατο πόντου.	Nonnus.
πολύφλοισβος	Οἱ δ' ποτ' ἠϊόνας τε πολυφλοίσβους ἐφέποισι.	Opp.ἁλ.γ.
πολυψάμαθος	Λάχνη ἐπ' ἠϊόνεσσι πολυψαμάθοισιν ἔθηκαν.	Id.ἁλ.δ.
ζαφερά	πολλάκι & ζαφερῆς ὑπὲρ ἠόνος ἑλκυσθεῖσαι.	Eod.
νοτερά	Ἵδρυμαι, νοτερῆς δεσπότις ἠϊόνος.	Epigr. lib. 1.
σαθρά	Χεῦμα, & ἐκ σαθρῶν ἥρπασεν ἠϊόνων.	Eod.
πολύκλαυστος	Φυλλὶ πολυκλαύστῳ γυμνὸν ἐπ' ἠϊόνι.	Epigr. lib. 3.
ἄγρυπνος	Κύμασιν, ἀγρύπνων λήσομαι ἠϊόνων.	Eod.
ἐρημαίη &c.	Ναῦτες ἐρημαίην ἄστιβον ἠϊόνα.	Eod.
πορφυρέα	Πορφυρέας ἁπαλὸν κῦμα παρ' ἠϊόνος.	Epigr. lib.4.
ἁλίκλυστος	Πλαγκτὸς ἁλικλύστων πορθμὸς ἐπ' ἠϊόνων.	Eod.
ἀντίπορθμος	Πορθοῦσα χώρας ἀντίπορθμον ἠόνα.	Lycoph.

ἠλακάτα fuſi.

ἁλιπόρφυρα	Ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα.	Hom. Od.ζ.
λεπτά	Κλισμῷ κεκλιμένη λέπτ' ἠλάκατα στρωφῶσα.	Id.Odyſs.ρ.

ἠλακά-

	ἠλακάτη *colus.*	
φιλέεργος	Γλαυκᾶς ὦ φιλέεργ᾽ ἀλακάτα δῶρον Ἀθανάας.	Theo. εἰδ. λδ.
λινόκλωστος	Μοῖρα, λινοκλώστου δεσπότις ἠλακάτας.	Epigr. lib. 3.
ἐργάτις νήμ.	Εργάτιν εὐκλώστου νήματος ἠλακάταν.	Epigr. lib. 6.
δολιχή	Ἄτρακτον δολιχᾶς οὐκ ἄτερ ἠλακάτας.	Epigr. lib. 6.
	ἤλεκτρος *electrum.*	
διειδής	Ἤλεκτρόν τ᾽ ἐπὶ τοῖσι διειδέα, τόν ῥά τε φασίν.	Calab. lib. 5.
χρυσαυγής	Δάκρυ᾽ ἀμέλγονται χρυσαυγέος ἠλέκτροιο.	Dionyſ.
ἡδυφαής	Ἡδυφαὴς ἤλεκτρος ἀέξεται, οἷά τις αὐγή.	Idem.
	Ηλέκτρα *Electra.*	
Ατλαντίς	Νῆσον ἐς Ηλέκτρης Ατλαντίδος, ὄφρα δαέντες.	Apoll. lib. 1.
βαθύπεπλος	Ηλέκτρην βαθύπεπλον ἑὸν δέμας ἀμφικαλύ-ψαι.	Calab. lib. 13.
δύστηνος	Ἆρ᾽ ἐστὶν ἡ δύστηνος Ηλέκτρα;	Soph. Elect.
	Nonn. Dionyſ. θεουδής, ἀρχέγονος, ῥοδόπηχυς, Διὸς εὐνέτις.	
	ἡλικία *ætas, iuuentus.*	
ἱμερτή	Κύματ᾽ ἐφ᾽ ἱμερτὴν ἔκλυσεν ἡλικίην.	Anacr.
χλοερά	Καὶ κόσμοι, χλοερῆς παίγνιά θ᾽ ἡλικίης.	Nazianz.
φαιδρά	-- αἷς ἄπο φαιδρὰν Ἔκλασας ἡλικίην.	Epigr. lib. 3.
εὔσταχυς	-- ἐς δὲ κονίην	Eod.
	Ημείφθη κενεὴν εὔσταχυς ἡλικίην.	
ἀθηναρά	Εἶπον πῶς ἀθηναρὴν ὤλεσας ἡλικίην.	Epigr. lib. 7.
εὐανθής	Εὐανθέ᾽ ἀπέπνευσας ἁλικίαν.	Pind. Iſth.
	Ἦλις *Elis, Arcadiæ vrbs.*	
δῖα	Τοὺς ἵμεν οἷσι χρέος ὀφείλετ᾽ ἐν Ἤλιδι δίῃ.	Hom. Il. λ.
εὐρύχορος	Ἤλιδ᾽ ἐς εὐρύχορον διαβήμεναι.	Id. Odyſs. δ.
ἱππόβοτος	Οὐδ᾽ ὅσσοι ναίουσι περὶ Ἤλιδος ἱπποβότοιο.	Id. Odyſs. φ.
ἱππήλατος	Πολλά τοι Σπάρτα, πολλὰ δ᾽ ἱππήλατος Ἆ-λις.	Theo. εἰδ. κζ.
πολυπάμμων	Καὶ πόκ᾽ ἀναστρωφῶν, πολυπάμμον᾽ ἐσήλυθες Ἆλιν.	Camerar.

Nonn. Dionyſ. εὔδιφρος.

ἥλιος, (poet. ἠέλιος) ſol. ſupra Ἀπόλλων.

ὑπερίων	-- οὔτ᾽ αὐγῆς ὑπερίονος ἠελίοιο Τέρποντ᾽.	Hom. Il. θ.
ἀκάμας	Ἠέλιον δ᾽ ἀκάμαντα βοῶπις πότνια Ἥρη.	Idem Il. σ.
ἠλέκτωρ	Τεύχεσι παμφαίνων, ὥστ᾽ ἠλέκτωρ ὑπερίων.	Idem Il. τ.
φαεσίμβροτος	Ἄμφω δ᾽ ἐκγεγάτην φαεσιμβρότου ἠελίοιο.	Id. Odyſs. κ.
φαέθων	Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσι.	Id. Odyſs. λ.
Ὑπεριονίδης	Ἠελίου τ᾽ αὐγὴ Ὑπεριονίδαο ἄνακτος.	Odyſs. μ.
τερψίμβροτος	Νῆσον ἀλεύασθαι τερψιμβρότου ἠελίοιο.	Eod.
παμφανόων	Πολλὰ πρὸς ἠέλιον κεφαλὴν τρέπε παμφανόωντα.	Odyſs. ν.
ὀξύς	Αὐτοῦ πῦσε πέλωρ μένος ὀξέος ἠελίοιο.	Idem hym.
ἀτειρής	Λαμπρὸν ὑπὲρ φάος ἦλθεν ἀτειρέος ἠελίοιο.	Calab. lib. 2.
πανομφαῖος	Ἔμμεναι ἠελίοιο πανομφαίοιο θυγατρῶν.	Idem lib. 5.
μαρμαίρων	Ἠελίου καθύπερθεν ὑπ᾽ ἠέρι μαρμαίροντος.	Idem lib. 8.
πανδερκής	Ἠελίοιο φάος πανδερκέος, ἀλλά που ἤδη.	Idem lib. 13.
φρύγων	Ἀελίου φρύγοντος ὁδοιπόρος ἤλυθον ὥς τις.	Theo. εἰδ. ιβ.
μαλερός	Ἐκτέταται μαλεροῖσι κεκαυμένος ἠελίοισι.	Dionyſ.
καθαρός	Ἀντολίη καθαροῖο φαείνεται ἠελίοιο.	Idem.
φαεινός	Ἐννέα καὶ δέκα κύκλα φαεινοῦ ἠελίοιο.	Aratus.
ἔμπυρος	Ἄξονα δινήσας ἔμπυρος ἠέλιος.	Epigr. lib. 1.
φανερός	Εἰσαγάγῃ φανεροῦ λαμπρότερ᾽ ἠελίου.	Eod.
σείελος	Ἦμος ὅτε τελευτὴν μὲν ἐλείπετο σείελος αἴγλην Ἠέλιος.	Orph. Arg.
πυριφεγγής	Αὐγείης υἱὸς πυριφεγγέος ἠελίοιο.	Idem.
πυρίβρομος	Αἴγλης ἄμμοροί εἰσι πυριβρόμου ἠελίοιο	Idem.
τηλεφανής	Μήτηρ Ἀστερόπη, καὶ τηλεφανὴς Ὑπερίων.	Idem.
πυρόεις	-- ὡς πυρόεντος Ἀδρανὲς ὄμμα φέρειν κατεναντίον.	Nazianz.
ὑψίδρομος	Σοὶ μὲν ἄναξ φαέθων ὑψίδρομος ἄστρα καλύπτει.	Idem.
ἀρχεσίφωτος	Ἦμαρ ἀπ᾽ ἠελίοιο προπιδῦον ἀρχεσιφώτου.	Cyr. Theod.
χρυσοῦς	Ὁ χρυσοῦς ἐστὶν ἥλιος τῶν δογμάτων.	Pſellus.

γλαυκο-

γλαυκοφεγγής	Τοῦ νυκτερινοῦ γλαυκοφεγγοῦς ἡλίου.	Cyr. Theod.
πασιφανής	Ἥλιε πασιφανὲς, σύ τε νυκτὸς ἄγαλμα σελήνη.	Dolsc.
θεήλατος	Οὐρανὸς, ἠέλιός τε θεήλατος, ἠδὲ σελήνη.	Sibyll.
παλίστρεπτος	Ἠ θ' Ὑπεριονίδαο παλιστρέπτοιο κελεύθοις.	Nicand. Th.
μεσημβριόων	Ἤ τε μεσημβριόωντος ἰαίνεται ἠελίοιο.	Apoll. lib. 2.
ἀζαλέος	Οὐδέ πω ἀζαλέοιο βολαῖς πόσιν ἠελίοιο.	Idem lib. 4.
αἰγλήεις	Καὶ θρόνος ἠελίῳ πανομοίϊος αἰγλήεντι.	Apolinar.
λαμπόμενος	Ἠελίου ξυναγέρθεν ἐπὶ χθονὶ λαμπομένοιο.	Idem.
στελόεις	Τὰς δ' ἄερα στελόεντος ὑπ' ἠελίοιο τυπείσας.	Opp. κυνηγ. δ.
φαεσφόρος	Ἔκθορες αὐτολίηθε φαεσφόρος ἥλιος ἄλλος.	Epigr. lib. 4.
ἡδύς	Νυκτιφαὴς μήνη, συγνὸς Κρόνος, ἥλιος ἡδύς.	Epigr. lib. 7.
θοραῖος &c.	Ἡ τὸν θοραῖον πτῷον ὠρείτην θεόν.	Lycoph.
φαυσίβροτος	Τότε ὁ φαυσίβροτος δαίμων Ὑπεριονίδας.	Pind. Olym.
βασιλεὺς πυρός &c.	Κλῦθι πυρὸς νοεροῦ βασιλεῦ χρυσήνιε Τιτάν·	Procl. hym.
	Κλῦθι φάους ταμία, ζωαρκέος ὦ ἄνα πηγῆς.	
βαρύμηνις	Ἥλιος βαρύμηνις ἕως ἦνος.	Epigr. lib. 4.
χρυσοφαής	Τὰν καλλίσταν ὁ χρυσοφαὴς ἅλιος αὐγάζει.	Eurip. Heca.
λιπαρόζωνος	Ὦ λιπαροζώνου θύγατερ Ἀελίου Σελαναία.	Id. Phœniss.
πανδέρκης	Ἡ γὰρ σελήνη, χὠ πανδέρκης ἥλιος.	Aristop. Pa.
	Κλῦθι μάκαρ, πανδερκὲς ἔχων αἰώνιον ὄμμα,	Orph. hym. εἰς ἥλιον.
	Τιτὰν χρυσαυγής, ὑπερίων, οὐράνιον φῶς·	
	αὐτοφυής, ἀκάμα, ζώων ἡδεῖα πρόσοψι·	
	δεξιὲ μὲν γενέτωρ ἠοῦς, εὐώνυμε νυκτός·	
	κρᾶσιν ἔχων ὡρῶν, τετραβάμοσι ποσσὶ χορεύων·	
	εὔδρομε, ῥοιζωτήρ, πυρόεις, φαιδρωπέ, διφρευτά·	
	ῥόμβου ἀπειρεσίου δινεύμασιν οἶμον ἐλαύνων·	
	εὐσεβέσιν καθοδηγὲ καλῶν, ζαμενὴς ἀσεβοῦσι·	
	χρυσολύρη, κόσμου τὸν ἐναρμόνιον δρόμον ἕλκων·	
	ἔργων σημάντωρ ἀγαθῶν, ὡρότροφε κοῦρε·	

κοσμοκράτωρ, συρικτὰ, πυρίδρομε, κυκλοέλικτε·
φωσφόρε, αἰολόδικτε, φερέσβιε, κάρπιμε, παιάν·
αἰθαλὶς, ἀμίαντε, χρόνου πέρας, ἀθάνατε Ζεῦ·
εὔδιε, παμφαὴ, κόσμου τὸ περίδρομον ὄμμα·
δικτὰ δικαιοσύνης, φιλονάματε, δέσποτα κόσμου·
πιστοφύλαξ, αἰεὶ πανυπέρτατε, πᾶσιν ἀρωγέ·
ὄμμα δικαιοσύνης, ζωῆς φῶς, ὦ ἐλάσιππε,
μάστιγι σὺν λιγυρῇ τετράορον ἅρμα διώκων,
κλῦθι λόγων, ἡδὺν δὲ βίον μύστῃσι πρόφαινε.

Κλῦθι πυρὸς νοεροῦ βασιλεῦ χρυσήνιε Τιτάν· — Πρόκλου Λυκίου τοῦ φιλοσόφου ὕμνος εἰς ἥλιον.
κλῦθι φάους ταμία, ζωαρκέος ὦ ἄνα πηγῆς·
αὐτὸς ἔχων κληῖδα, καὶ ὑλαίοις ἐνὶ κόσμοις
ὑψόθεν ἁρμονίης ῥῦμα πλούσιον ἐξοχετεύων.
κέκλυθι· μεσσατίην γὰρ ἑὼν ὑπὲρ αἰθέρος ἕδρην,
καὶ κόσμου κραδιαῖον ἔχων ἐριφεγγέα κύκλον, &c.
Ἀλλὰ θεῶν σὺ ἄριστε, πυριστρεφὲς, ὄλβιε δαῖμον,
εἰκὼν παγγενέταο θεοῦ, ψυχῶν ἀναγωγεῦ &c.

Nonn. Dionyſ. δυωδεκάμηνος ὁδίτης, ὑψίπορος, ζείδωρος, φυτηκόμος, κοίρανος καρπῶν, φλογερός, ὑψιφανὴς, πυριφεγγὴς, ἀστροχίτων ἄναξ πυρὸς, ὄρχαμος κόσμου, βροτέοιο βίου δολιχόσκιος ποιμὴν, εὐρυόπης: & παμφαὲς αἰθέρος ὄμμα φέρων τετράζυγι δίφρῳ.

ἧλος clauus.

ὀξύτορος	Πήξω δάκτυλον ἄκρον ἐς ὀξυτόρων τύπον ἥλων.	Nonnus.
κρατερός	Κρατεροῖς ἀδάμαντος δῆσεν ἅλοις.	Pind. Pyth.

Ἠμαθία *Emathia, quæ nunc Macedonia.*

ἐρατεινή	Πιερίην δ' ἐπιβᾶσα, καὶ Ἠμαθίην ἐρατεινήν.	Hom. Iliad.
πολύολβος	-- ἁ πολύολβος Ἠμαθία ποίῳ κραίνεται ἡγεμόνι.	Epigr. lib. 6.

ἡμέρα, poetice ἦμαρ, *dies.*

ἐλεύθερον	Δακρυόεσσαν ἄγηται ἐλεύθερον ἦμαρ ἀπούρας.	Hom. Il. ζ.
δούλιον	Χήτει τοιοῦδ' ἀνδρὸς ἀμύνειν δούλιον ἦμαρ.	Eod.
αἴσιμον	Ἕλκε δὲ μέσσα λαβών, ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν.	Id. Iliad. θ.
νηλεές	Αἴσων ᾧ ἔγχει ἀμύνετο νηλεὲς ἦμαρ.	Id. Iliad. λ.
μόρσιμον	-- ἐπώρνυε μόρσιμον ἦμαρ Παλλὰς Ἀθηναίη.	Iliad. ο.
ὀλέθριον	Κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.	Iliad. τ.
ὀρφανικόν	Ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησι.	Iliad. χ.
νόστιμον	Ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ	Id. Odyss. α.
πολύστονον	Καί νύ κε Μυρμιδόνεσσι πολύστονον ὤπασεν ἦμαρ.	Calab. lib. 1.
εὔδιον	Ζεὺς ἐπάγει μερόπεσσι δι' ἠέρος εὔδιον ἦμαρ.	Idem lib. 1.
πολύευκτον	Ἦμαρ ἐμὸν πολύευκτον ἰδεῖν ἠγάλλετο θυμῷ.	Nonnus.
ἐράσμιον	Τοῦ εὐαγγελίου ἀγγέλλει ἐράσμιον ἦμαρ.	Dolsc.
πολύολβον	Ἰχανόων πολύολβα διαμπερὲς ἤματα λεύσσειν.	Apolinar.
φαεσίμβροτον	Καὶ νύκτα δνοφερὴν τελέει φαεσίμβροτον ἦμαρ.	Idem.
φωσφόρον	Νύκτα τε πρεσβίστην καλέω, καὶ φωσφόρον ἦμαρ	Orph. hym.
γλυκερόν	Ἴδοιμ' ἴδοιμι γλυκερὸν ἦμαρ τόδε.	Nazianz.
λαμπροπρεπές	Ἦν τρίτον ἦμαρ λαμπροπρεπὲς εἰσίδω.	Idem.
καλλιφεγγής	Ἡ καλλιφεγγὴς ἡμέρα δὲ τετάρτη.	Idem.
ποδαρκής	Τρία μὲν ἔργα ποδαρκὴς ἁμέρα θῆκε κάλλισ' ἀμφὶ κόμαις.	Pind. Olym.
πολύφθορος	Ἄλλων τε μόχθων πολυφθόροισιν ἐν ἁμέραις.	Id. Nem.
λευκόπωλος	Τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.	Soph. Aiace.

λαμπαδοῦχος	Λαμπαδοῦχος ἁμέρα, Διός τε φέγγος ἕτερον.	Eur.Iph.Au.
λευκόπτερος	Τὸ τᾶσδε λευκοπτέρου ἁμέρας φίλας βροτοῖς φέγγος ὀλοόν.	Id. Troad.
	ἡμερίς vitis domestica.	
ἡβώωσα	Ἡμερὶς ἡβώωσα τεθήλει δὲ σταφυλῇσι.	Hom. Od. ε.
πανθέλκτειρα	Ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε μῆτερ ὀπώρης.	Epigr. lib. 3.
	Nonn. Dionys. καλλίφυτος.	
	ἡμίονος mulus, mula.	
ἀγροτέρα	Ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων.	Hom. Bœot.
ταλαεργός	Ἡμίονον ταλαεργὸν ἄγειν, κατέδησ' ἐν ἀγῶνι.	Idem Iliad. ψ.
κρατερώνυξ	Ζεῦξαν δ' ἡμιόνους κρατερώνυχας, ἐντεσιούργους.	Idem Iliad. ω.
	ἡνία καὶ ἡνίον habena, lorum freni.	
σιγαλόεν	Ἀλλ' ἄγε νῦν μάστιγα, καὶ ἡνία σιγαλόεντα.	Hom. Iliad. ε.
φοινικόεν	Νέστωρ δ' ἐν χείρεσσι λάβ' ἡνία φοινικόεντα.	Idem Iliad. θ.
χρυσόνωτος	-ἐπιζὼν χρυσονώτων ἡνίαν, Ἄγγειλον ἄτας τὰς ἐμάς.	Soph. Aiace.
	ἡνιοχεύς auriga.	
	Nonn. Dionys. βοοσσόος, ἀκόρητος ἱμάσθλης, ταχυεργός, βαρύδουπος, ὀπισθόπορος, παλινδίνητος, ἀφειδής.	
	ἠνορέη virilitas, fortitudo.	
ἐρατεινή	Τῷ δὲ θεοὶ κάλλος τε καὶ ἠνορέην ἐρατεινήν.	Hom. Iliad. ζ.
ὑπέροπλος	Εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου.	Hesiod. Th.
ἀεισόπονος	Ἠνορέῃ μ' ἐκόρυσσας ἀεισοπόνῳ κατὰ δῆριν.	Apolinar.
ὑπερφίαλος	Αὐτὰρ ὅγ' ἠνορέης μὲν ὑπερφιάλοιο λέλησται.	Opp. ἁλ. ε.
κρατερά	Μνησόμενος, κρατερῆς εἵνεκεν ἠνορέης.	Epigr. lib. 4.

ἧπαρ

	ἧπαρ epar, iecur.	
κελαινόβρωτον	Κελαινόβρωτον δ᾽ ἧπαρ ἐκθοινήσεται.	Æsch. Prom.
	Nonn. Dionyſ. παλιμφυὲς, βιοσσόον.	
	Ἤπειρος Epirus: item terra continens.	
εὐρυβώλαξ	Κεῖθ᾽ ἁλὶ κεκλιμένη εὐρυβώλακος Ἠπείροιο.	Hom. Od. ν.
μέλαινα	-- οὔτ᾽ Ἠπείροιο μελαίνης,	Idē Odyſſ. ξ.
	Οὔτ᾽ αὐτῆς Ἰθάκης. (σοις	
πορτιτρόφος	Ἢ μὲν ἂν Ἤπειρον πορτιτρόφον, ἢ δ᾽ ἀνὰ νή-	Idem hym.
πίων	Πίονες ἤπειροί τε, καὶ αἱ περιναιέτε νῆσοι.	Callimach.
ἀπείριτος	Δωδώνης ἤπειρος ἀπείριτος ἐκπετάνυσαι.	Dionyſ.
βαθεῖα	Μοῖραι ἔχειν πόντοιο, καὶ ἠπείροιο βαθείης.	Idem.
πολυλήϊος	Τυτθὸν ἀπὸ Φρυγίης πολυληΐου ἠπείροιο.	Apoll. lib. 1.
ὑλήεσσα	-- ὑλήεσσαν Ἑξείης ἤπειρον ὑπωρείας τε νέμονται.	Idem lib. 2.
	Ἥρα Iuno.	
λευκώλενος	Τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη.	Hom. Iliad. α
βοῶπις, πότνια	Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη.	Eod.
χρυσόθρονος	Ἔνθα καθεῦδ᾽ ἀναβὰς, παρὰ δὲ χρυσόθρονος Ἥρη.	Eod.
Ἀργείη	Ἥρη δ᾽ Ἀργείη, καὶ Ἀλαλκομενηῒς Ἀθήνη.	Idem Iliad. δ.
πρέσβα θεά	Ἥρη πρέσβα θεὰ, θυγάτηρ μεγάλοιο Κρόνοιο.	Iliad. ε.
ἀπτοεπής	Ἥρη ἀπτοεπὲς, ποῖον τὸν μῦθον ἔειπες;	Iliad. θ.
ἠΰκομος	Ὡς δ᾽ ὅτ᾽ ἂν ἀστράπτῃ πόσις Ἥρης ἠϋκόμοιο.	Iliad. κ.
χρυσοπέδιλος	Παῖδα Διὸς μεγάλοιο, καὶ Ἥρης χρυσοπεδίλου.	Idem Od. λ.
ἐρατῶπις	Οἳ πόλιν αἰπεινὴν νύμφης ἐρατώπιδος Ἥρης.	Idem hym.
περσότθρονος	Τοίην κοιρανίην περσότθρονος ὤπασεν Ἥρη.	Coluth.
φαεσίμβροτος	Μήτηρ ἀθανάτοιο πυρὸς φαεσίμβροτος Ἥρη.	Tryphiod.
κλυτή	Καὶ τότε δὴ Κρονίωνα κλυτὴ προσεφώνεεν Ἥρη	Calab. lib. 4.
ζηλήμων	Τίκτοιεν, τυτθόν κεν ἐγὼ ζηλήμονος Ἥρης.	Callimach.
βαρύθυμος	Νύμφα Διὸς βαρύθυμε, σὺ δ᾽ οὐκ ἄρ᾽ ἔμελλες ἄπυστος. (Ἥρη.	Idem.
πολυμήχανος	Σᾶμος ἄρ᾽ αἰνὰ πέλωρα δύω πολυμήχανος	Theoc. εἰδ. λα

Λακινιάς	Ἔνθα κεν αἰπὺ ἴδοιο Λακινιάδος δόμον Ἥρης.	Dionyſ.
Πελασγίς	Καὶ Σάμος ἱμερόεσσα Πελασγίδος ἕδρανον Ἥρης.	Idem.
Ῥησκυνθίς	Θρηϊκίῳ βέβλωται, ἑκὰς Ῥησκυνθίδος Ἥρης.	Nicand. Th.
Ἰμβρασίη	Ἥρης τ' Ἰμβρασίης μούνης σέφος οὐχ ὑπέδεκτο	Idē Alexiph.
παρθενίη	-- ὅθι Ἰμβρασίης ἕδος Ἥρης	Apoll. lib. 1.
	Παρθενίης Αἰγαῖος ὑπέρβιος.	
ζυγίη	Ἥρη τε ζυγίη Διὸς εὐνέτις &c.	Idem lib. 4.
παμβασίλεια	Μὴ τόγε παμβασίλεια Διὸς τελέσειεν ἄκοιτις.	Eod.
φερέσβιος	Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεύς.	Empe. apud D.Laert. l. 8.
γλαυκῶπις	Ἔλθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν Ἥρης.	Epigr. lib. 1.
μισόνοθος	Ἥρης πρηΰνων μισονόθοιο χόλον.	Epigr. lib. 4.
χαλεπὴ θεός	Ἥρη δ' ἀμφοτέροις χαλεπὴ θεός.	Eod.
Σάμου μεδέουσα	Ἥ τε Σάμου μεδέουσα, καὶ ἣ λάχες Ἴμβρασον Ἥρη.	Epigr. lib. 6.
μεγαλοσθενής	Παῖ μεγαλοσθενέος ἄκουσον Ἥρας.	Pind. Nem.
Ἐνυώ	Πρηστὴρ Ἐνυοῦς οὔποτ' ἐς φύζαν τραπείς.	Lycoph.
δηΐα &c.	Σὼ θηλὲ βλώξας τῷ ἀπάστῳ δηΐας Μύστη Θοραίας μασὸν εὔθηλον θεᾶς.	Idem
ἀκραία θεός	Φέρουσ' ἐς Ἥρας τέμενος ἀκραίας θεοῦ.	Eurip. Med.
	Κυανέοις κόλποισιν ἐνημένη, ἀερόμορφε, Ἥρη παμβασίλεια, Διὸς σύλλεκτρε μάκαιρα, ψυχοτρόφους αὔρας θνητοῖς παρέχουσα προσηνεῖς. ὄμβρων μὲν μήτηρ ἀνέμων τροφὲ, παντογένεθλε. ἀλλὰ μάκαιρα θεὰ πολυώνυμε, παμβασίλεια, ἔλθοις εὐμενέουσα καλῷ γήθοντι προσώπῳ.	Hymnus Ἥρας ex Orph.

Nonn. Dionyſ. Διὸς εὐνέτις, αἰθέρος ὄρχαμος, βαρύμηνις, βαρύζηλος, ἀμείλικτος, ὑψαύχην, ποικιλόμητις, δολόμητις, δολοπλανής, ἀπατήλιος, δολοπλόκος, ταυρῶπις, πανεπόψιος, ὠκυπέδιλος, αὐτογόνος, λευκώνερος, ſeu λευκώλενος, δολορράφης, πολεμητόκος, Ἀργολίς, ἀλ-

λοπρόσαλλος,

λοπερέσδηλος, δίμαχος, θαλαμηπόλος, Τιτηνιάς, πολυμήχανος, ζηλομανής, βαρύκτυπος, Βακχιάς, κακοεργής, δισμήχανος, Πελασγιάς, ἀστύοχος, ἄλυτος, πανδαμάτειρα, Ιναχίς.

Ἡρακλῆς Hercules.

θρασυμέμνων	Εἶναι ἐμὸν πατέρα θρασυμέμνονα, θυμολέοντα.	Hom. Il. ε.
κρατερόφρων	Ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα.	Id. Il. ξ.
θεῖος	Ἀζηχὴς ὀδύνη Ἡρακλῆος θείοιο.	Iliad. ο.
καρτερόθυμος	Ἐπειδὴ Διὸς υἱὸν ἀφίκετο καρτερόθυμον Φῶθ' Ἡρακλῆα.	Odyss. φ.
θρασύς	Ὡς θρασὺν Ἡρακλῆα θοὸς χρυσόρραπις Ἑρμῆς.	Musæus.
Ἀμφιτρυωνιάδης	Τῶν καὶ ὀδόντων μὲν καναχὴ πέλεν, εὖτε μάχοιτο Ἀμφιτρυωνιάδης.	Hesiod. Scu.
ἄλκιμος	-- τὸ μὲν Διὸς ἄλκιμος υἱὸς Πλῆξεν ἐπικρατέως.	Ibidem.
ταλακάρδιος	Τὸν μὲν ἔπειτ' εἴασε Διὸς ταλακάρδιος υἱός.	Ibidem.
ἀκόρητος ἀϋτῆς	Τοῖος ἄρ' Ἀμφιτρυωνιάδης ἀκόρητος ἀϋτῆς.	Ibid.
θρασυκάρδιος	Ἡρακλέα κτείναντα Διὸς θρασυκάρδιον υἱόν.	Ibid.
Θηβαιγενής	Ὄφρ' Ἡρακλῆος Θηβαιγενέος κλέος εἴη.	Idem Theog
ἀειδείκετος	Ταῦτ' ἄρ' ἀζόμενος τίμα ἀειδείκετον υἱόν.	Ibid.
δαΐφρων	Τὸ πρὶν ἅμ' Ἡρακλῆϊ δαΐφρονι Λαομέδοντος.	Calab. lib. 1.
κρατερός	Ἤγαγον Εὐρύπυλον κρατεροῦ γένος Ἡρακλῆος.	Idem lib. 6.
ἀταρβής	Τηλέφου, ὅν ῥα καὶ αὐτὸν ἀταρβέϊ Ἡρακλῆϊ.	Eod.
ὄμβριμος	Ὀμβρίμου Ἡρακλῆος ἐπὶ στιβαρῆσι χέρεσσι.	Eod.
Ἀλκείδης θρασύφρων	Ἀλλὰ δ' ἄρ' Ἀλκείδαο θρασύφρονος ἄσπετα ἔργα.	Eod.
ἐϋκυδής	Ζεὺς ἐπίηρα φέρων ἠϋκυδεῖ Ἡρακλῆϊ.	Eod.
χαλκεοκάρδιος	Ἀλλὰ καὶ Ἀμφιτρύωνος ὁ χαλκεοκάρδιος υἱός.	Theoc. εἰδ. ιγ.
ταλαεργός	Ἵκετο χὼ ταλαεργὸς ἐς ἀφνειὰν Ἰαολκόν.	Eod.
λιποναύτης	Ἡρακλέην δ' ἥρωες ἐκερτόμεον λιποναύτην.	Eod.
ταυροφόνος	Ἀντία δ' Ἡρακλῆος ἕδρα σφιν ταυροφόνοιο.	Idem εἰδ. ιζ.
πολύφρων	Σὺν δ' υἱός τε βίη τε πολύφρονος Ἡρακλῆος.	Idem εἰδ. λβ.

εὔσκοπος	Αὐτῷ ἔπειτ' ἐπόρουσεν εὐσκόπῳ Ἡρακλῆϊ.	Eod.
λεοντομάχης	Τὸν τοῦ Ζανὸς δή ἡμῖν υἱὸν ἀνὴρ τὸν λεοντομάχαν, τὸν ὀξύχειρα.	Id. Epigr.
ὀξύχειρ		
μεγαλόφρων	Χερσὶν ἀεξηκόμενον μεγαλόφρονος Ἡρακλῆος.	Dionyſ.
πελώριος	Ὀβριμὸν θεράποντα πελωρίου Ἡρακλῆος.	Idem.
ἀλεξίκακος &c	Ὀχθήσας δ' ἄρ' ἔειπον, Ἀλεξίκακε, τελέσειενε.	Epigr. lib. 1.
Τιρύνθιος	Φοῖβος ἔχει· τοῖος γὰρ ἀεὶ Τιρύνθιος ἄκμων.	Callimach.
	-- ἀλλὰ δαμάσθη	Nazianz.
παντολέτης	Εἵμασι σαρκοφάγῳ κεῖνος ὁ παντολέτης.	
βουφάγος	Θείη ἀνίκατον μετὰ ὁ βουφάγος.	Epigr. lib. 1.
λεοντοπάλης	Τῷ λεοντοπάλᾳ Τιρυνθίῳ. οὐδὲ τὰ τόξα.	Eod.
δαμαληφάγος	Χαίροις Ἀλκείδα δαμαληφάγε, καὶ τάδε φρουρεῖ	Eod.
μυριόμοχθος	Δέρκεο μυριόμοχθε τεοὺς Ἥρακλες ἀγῶνας.	Epigr. lib. 4.
ἀείσαθλος	Ἦ γὰρ ὑφ' Ἡρακλῆος ἀεισάλθοιο δέδουπεν.	Eod.
λεοντόχλαινος	Καὶ σὺ λεοντόχλαινε πάλιν θωρήσαο ῥινῷ.	Eod.
πανδαμάτωρ &c.	Οὗτος ὁ πανδαμάτωρ, ὁ παρ' ἀνδράσι δωδεκάεθλος.	Eod.
οἰνοβαρής	Οἰνοβαρὴς μετὰ δαῖτα μεθυσφαλὲς ἴχνος ἑλίσσει	Eod.
ἀεθλοφόρος	Νυκτὶ, καὶ Εὐρυσθεὺς οἶδεν ἀεθλοφόρον.	Eod.
βαρύμοχθος	-- ὦ βαρύμοχθε	Eod.
	Ἀλκείδη, ποίην εἰκόνα σου βλέπομεν.	
βουθοίνης	Μὰ τὸν βουθοίναν Ἡρακλέα παῖδες ἀγρῶται.	Eod.
τετράσπερος λέων	Τετρασπέρου λέοντος, ὅν ποτε γνάθοις.	Lycoph.
τεκνοραίστης λ.	Ὁ τεκνοραίστης λυμεὼν ἐμῆς πάτρας.	Idem.
Μηκιστεύς	Τῆς πρὶν θανούσης ἐκ χερῶν Μηκιστέως.	Idem.
στερφόπεπλος	Τοῦ στερφοπέπλου σκαπανέως βοαγίδα.	Idem.
κηραμύντης	Τοῦ κηραμύντου πευκέως παλαίμονος.	Idem.
θηρόχλαινος	Καὶ θηροχλαίνου σηκὸν ὠμοσοῦ λύκου.	Idem.
ἐξάπρυμνος	Τὸν ἐξάπρυμνον στέρφος ἐγχλαινούμενον.	Idem.
σύμμαχος	Χαίρω τῷ δ' ἀγαθὸν σύμμαχον Ἡρακλέα.	Epigr. lib. 4.
λαοσσόος	Πλησίας Ἀθηναίη λαοσσόον Ἡρακλῆα.	Orph. λιθ.
θρασυμάχανος	Εὖτ' ἂν θρασυμάχανος ἐλθὼν Ἡρακλέης.	Pind. Olym.
ὑπέρβιος	Τράπε δὲ Κυκνεία μάχα καὶ ὑπέρβιον Ἡρακλέα	Ibidem.
ἀεισόμαχος	Ἀεισομάχου γόνος Ἡρακλέος βασιλεύς.	Id. Pyth.

καρτεραίχμης

καρτεραίχμης	Σπονδαῖσιν ἄρξαι καρτεραίχμαν Ἀμφιτρυωνιάδαν.	Id. Isthm.
ἥρως	Ἥρως Ἡρακλέης ἐλοχήσατο, καί οἱ ἄποινα.	Apoll. lib. 2
ζωστηροκλέπτης	Ζωστηροκλέπτης, νεῖκος ὤρινε διπλοῦν.	Lycoph.
Καδμογενής	Οὕτω δὲ τὸν Καδμογενῆ τρέφει.	Soph. Trach.
χάλκασπις	Ἵν' ὁ χάλκασπις ἀνὴρ θεοῖς πλάθει πᾶσι.	Id. Philoct.
τοξοφόρος	Ἔβας ἔβας τοξοφόρῳ συναριστεύσων ἅμ' Ἀλκμήνης γόνῳ.	Eur. Troad.
καλλίνικος	--οὐκ ἄρ' Ἡρακλῆς Ὁ καλλίνικος ὡς πάροιθεν λέξομαι.	Eur. Herc. F.
πολύπονος	Ἐμὸς ἐμὸς ὅδε γόνος πολύπονος.	Ibidem.
πολύμοχθος πολύπλαγκτος	Οὐκ ἂν εἰδείης ἕτερον πολυμοχθότερον πολυπλαγκτότερόν τε θνατῶν.	Mox.
κυνοκλόπος	Ξυνδεῖτε ταχέως τουτονὶ τὸν κυνοκλόπον.	Aristoph. R.
πολυτίμητος	Οἷον ῥοθιάζουσ' ὦ πολυτίμηθ' Ἡρακλεῖς.	Id. Acharn.
ἄτρεστος	Ἀτρέστου θεράποντι φέρων χάριν Ἡρακλῆος.	Orph. λίθ.
	Ἥρακλες ὀβριμόθυμε, μεγασθενές, ἄλκιμε τιτάν· (οῖς· καρτερόχειρ, ἀδάμαστε, βρύων ἄθλοισι κραται- αἰολόμορφε, χρόνου πάτερ, ἀΐδιέ τε εὔφρων· ἄρρητ', ἀγριόθυμε, πολύλλιτε, παντοδυνάστα· παγκρατὲς ἦτορ ἔχων, κάρτος μετὰ τόξα, τε μάντι· παμφάγε, παγγενέτωρ, παντυπέρτατε, πᾶσιν ἀρωγέ· αὐτοφυής, ἀκάμας, γαίης βλάστημα φέριστον. πρωτογόνοις στράψας φολίσι μεγαλώνυμε Παίων ἀθανάτοις πολύπειρος, ἀπείριτος, ἀστυφέλικτος. Nonn. Dionys. μόρσιμος, δυωδεκάεθλος.	Ex hymno Orphei εἰς Ἡρακλέα.

ἠρεμία quies.

πολύϋπνος	Ἡσυχίῃ χαίρουσα, καὶ ἠρεμίῃ πολυύπνῳ.	Orph. hym. noctis.

Ἠριγόνη Erigone.

Nonnus Dionys. ταχυώδης.

Ἠριδανός *Eridanus fl.*

βαθυδίνης	Νεῖλόν τ' Ἀλφειόν τε, καὶ Ἠριδανὸν βαθυδίνην.	Hesiod. Th.
καλλίρροος	Ἀγχόθι πηγάων καλλιρρόου Ἠριδανοῖο.	Dionys.
πολύκλυστος	Λείψανον Ἠριδανοῖο πολυκλύστου ποταμοῖο.	Aratus.
	Nonnus Dionys. ἀστερόεις, πυρόεις, ἀστερόφοιτος, πυρίκαυτος, αἰγλήεις, φεραυγής.	

Ἡρώ *Ero.*

νυκτίγαμος	Ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην.	Musæus.
Σηστιάς	Δίζεό μοί τινα πύργον ὅπη ποτὲ Σηστιὰς Ἡρώ.	Idem.
χαρίεσσα	Ἡρὼ μὲν χαρίεσσα διοτρεφὲς αἷμα λαχοῦσα.	Idem.
περικαλλής	Οὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος Ἡροῦς.	Idem.
εὐστέφανος	Οἰώμαι μοι Λείανδρος εὐστεφάνου πόσις Ἡροῦς	Idem.
φαεσφόρος	Ἡρὼ δ' ἠλιβάτοιο φαεσφόρος ὑψόθι πύργου.	Idem.
ἑλκεσίπεπλος	Ἡρὼ δ' ἑλκεσίπεπλος ἑοῖς λήθουσα τοκῆας.	Idem.
δύσμορος	Νηλειὴς καὶ ἄπιστος, ὄφελλε δὲ δύσμορος Ἡρώ.	Idem.

Ἡρώδης *Herodes.*

οὔλιος, παιδοκτ.	Οὔλιον Ἡρώδην παιδοκτόνον, ἠδὲ φονῆας.	Nazianz.
ἀμερσίγαμος	Οὔπω γὰρ θεὰ λέκτρον ἀμερσιγάμου βασιλῆος.	Nonnus.
ἄγριος &c.	Μοῦνος ἄγριος δύναξ δεινὰ φρεσὶ βυσσοδομεύων.	Cyr. Theod.
λαμπρός	Κατέρχεται πάλιν δὲ λαμπρὸς Ἡρώδης.	Niceph.
δεινός	Εὐπεδθεν εἰς ἅπαντα δεινὸς Ἡρώδης.	Idem.
βαρβαρόφρων	Τὴν δ' αὖ βαρβαρόφρων πεπεδημένος ὀρχηθμοῖσι.	Sibyll.
κρείων	Τὴν δὲ μέγ' ὀχθήσας προσέφη κρείων Ἡρώδης	Castalio.
ποιμὴν λαῶν	Ἡρώδῃ δὲ μάλιστα ὁμίλεε ποιμένι λαῶν.	Idem.
βροτῶν δηλ.	Ἡρώδῃ βασιλῆϊ βροτῶν δηλήμονι πάντων.	Idem.
Γαλιλαίων κοιρ.	Τὴν δ' ἴδεν Ἡρώδης Γαλιλαίων κοίρανος ἀνδρῶν.	Idem.

ἥρωες *heroes.*

φαίδιμοι	-- πόρεν δέ ἑ φαίδιμος ἥρως Σιδονίων βασιλεύς.	Hom. Od. δ.

ὄλβιοι	-- παρ' Ὠκεανὸν βαθυδίνην Ὄλβιοι ἥρωες.	Hesiod. li. 1.
ἀγλαοί	Αὐτὴ δ' Ἀμφιτρύων λαοσσόος, ἀγλαὸς ἥρως.	Id. Scuto.
κρατεροί &c.	Ἥρωες κρατεροὶ καὶ ἀταρβέες.	Calab. lib. 4.
ὄβριμοι	Τοῖος ἐπὶ Τρώων στρατὸν ἤϊεν ὄμβριμος ἥρως.	Idem lib. 8.
θαρσαλέοι	-- ἐπεὶ πόνος αἰνὸς ἔπειγε Θαρσαλέοις ἥρωας.	Eod.
παλαιγενέες	Ἴλιον ἀγλαὸν ἄστυ παλαιγενέων ἡρώων.	Dionys.
ἀθανάτοις ἴκελοι	Ἐξείης ἥρωας ὁμιλαδὸν ἑδριόωντας Ἀθανάτοις ἰκέλοις.	Orph. Arg.
μεγάθυμοι	ἦσιν ἀδημονέμενος μεγάθυμος ἄτ' ἐν φρεσὶν ἥρως	Dolsc.
Ἀρήϊος	-- σκοπιὴν ἤπλοντο φόνοιο Γηγενέων ἥρωες ἀρήϊοι.	Apoll. lib. 1.
ἀντίθεοι	Ἥρωας ἀντιθέοις, Ποίαντος υἱὸν τοξόταν.	Pind. Pyth.
λαοσεβεῖς	Ἥρως δ' ἔπειτα λαοσεβής.	Ibidem.
αἰχματαί	Ἥρωας αἰχματὰς φυτευθέντας.	Id. Nem.
ὠγύγιοι	Αἱ δέ οἱ εἰρομένῳ ἀμφ' ὠγυγίων ἡρώων.	Epigr. lib. 3.
ἡμίθεοι	Ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται Ἡμίθεοι.	Hesiod. li. 1.
	Ἡσαΐας *Esaias pr.*	
πολυΐδρις	Ἡσαΐας πολυΐδρις ἀνέγραφε θεσπιδὶ βίβλῳ.	Nonnus.
	Ἡσίοδος *Hesiodus.*	
Ἀσκραῖος	Ἀσκραῖον γενεὴν Ἡσίοδον κατέχω.	Epigr. lib. 3.
μουσῶν πρέσβυς	Τοίην γὰρ καὶ γῆρας ἀπέπνεεν ἐννέα μουσῶν Ὁ πρέσβυς.	Eod.
	ἡσυχία *tranquillitas, silentium.*	
νυκτὸς ἑταίρη	Ἡσυχίη δὲ πάλιν κατεβόσκετο νυκτὸς ἑταίρη.	Tryphiod.
μεσημβρινή	Λῶντο, μεσημβρινὰ δ' εἶχ' ὄρος ἁσυχία.	Callimach.
ἐρατεινή	Καὶ Διὸς σωφροσύνην τε, καὶ ἡσυχίην ἐρατεινήν.	Bapt. Camoi
εὔοπλος	Εὐόπλου Δαναῶν ἔσκυον ἡσυχίης.	Epigr. lib. 1.
φιλόπολις	Καὶ πρὸς ἡσυχίαν φιλόπολιν καθαρᾷ γνώμᾳ πετραμμένον.	Pind. Olym.
σύμφωνος	Δᾶμόν τε γεραίρων, τάποι σύμφωνον ἐφ' ἡσυχίαν	Id. Pyth.

φιλόφρων &c.	Φιλόφρον ἡσυχία, Δίκας ὦ μεγιστόπολι θύγατερ.	Ibidem.
ἀγανόφρων	Τό τε τῆς ἀγανόφρονος ἡσυχίας εὐήμερον πρόσωπον.	Aristoph. Auibus.

ἦτορ cor.

φίλον	Ἐν προμάχοισι φανέντα κατεπλήγη φίλον ἦτορ.	Hom. Il. γ.
ἄλκιον	Ὦ φίλοι, ἀνέρες ἐστὲ, καὶ ἄλκιον ἦτορ ἕλεσθε.	Id. Il. ε.
νηλεές	-- οὐδέ τί σε χρὴ Νηλεὲς ἦτορ ἔχειν.	Iliad. ι.
ἀμείλιχον	Ἔκλυεν ἐξ ἐρέβευσφιν ἀμείλιχον ἦτορ ἔχουσα.	Eod.
ἁπαλόν	Ἐλθὼν εἰς εὐνὴν, ἁπαλόν τε σφ' ἦτορ ἀπηύρα.	Iliad. λ.
θαρσαλέον	Θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσί.	Iliad. τ.
σιδήρεον	Υἱέας ἐξενάριξε, σιδήρεον νύ τοι ἦτορ.	Iliad. ω.
εὐμενές	Καὶ μάκαρ, εὐμενὲς ἦτορ ἔχων, πλούτῳ ἀρήγε	Id. hymn.
κελαινόν	Ἐμμενέως δ' ἄρα τοῦ γε κελαινὸν πίμπλαται ἦτορ.	Hesiod. Scu.
ὑπέρβιον	Ἤμελλεν τέξεσθαι ὑπέρβιον ἦτορ ἔχουσαν.	Id. Theog.
ὀλέθριον	Ὄφρα γε δυσμενέεσσιν ὀλέθριον ἦτορ ἐφείη.	Calab. lib. 1.
γυναιμανές	Καί τοι ἐνὶ φρεσὶ σῇσι γυναιμανὲς ἦτορ ἔχοντι.	Eod.
σμερδαλέον	Σμερδαλέον δέ οἱ ἦτορ ἐνὶ στήθεσσιν ὀρίνθη.	Idem lib. 2.
μενεδήϊον	Οὐδέ σοι ἐν στέρνοισι πέλει μενεδήϊον ἦτορ.	Eod.
κρατερόν	-- κρατερὸν γὰρ Κρόνῳ ἀμαθύνεται ἦτορ.	Eod.
ἄτρομον	Οὐδ' εἴπερ στέρνοισι μάλ' ἄτρομον ἦτορ ἔχησι.	Idem lib. 3.
ὄμβριμον	Ὣς φάτο Τυδεΐδαο δαΐφρονος ὄμβριμον ἦτορ.	Idem lib. 4.
μέλαν	Ὥς ὅγ' ἀμείλιχα θῦε, μέγαν δέ οἱ ἔζεεν ἦτορ.	Idem lib. 5.
ἄγριον	Λιμῷ ὑπ' ἀργαλέῳ δεδμημένος ἄγριον ἦτορ.	Eod
ἀλαπαδνόν	Δύσαν ὅσοις ἀλαπαδνὸν ὑπὸ κραδίῃ πέλεν ἦτορ.	Idem lib. 7.
ἄφθιτον	Εἴκελον Αἰακίδῃ, τῷ δ' ἄφθιτον ἦτορ ἐώλπει.	Idem libr. 8.
ἀγλαόν	Ἦ ῥα μέγα στενάχου Γανυμήδεος ἀγλαὸν ἦτορ.	Eod.
θεόπρεπον	Ὣς ἄρα μαιμώωσα θεόπρεπον ἔνδοθεν ἦτορ.	Idem lib. 12.
ἔμπεδον	Οἵη δ' ἔμπεδον ἦτορ ἔχεν πινυτόν τε νόημα.	Eod.
ἐπίρροπον	Πολλοὶ γὰρ καιροῖσιν ἐπίρροπον ἦτορ ἔχουσι.	Nazianz.
παναμείλιχον	Ἐμμενέως φεύγει παναμείλιχον ἦτορ ἔχουσα.	Opp. κυνηγ. β.
αἰόλον	Ἰησοῦ δ' ἑτάρων δεδαημένος αἰόλον ἦτορ.	Nonnus.
ἵλεον	Κλῦθι θεὰ δέσποινα, καὶ ἵλεον ἦτορ ἔχουσα.	Orph. hym.

μιαιφόνου	Ἀλλήλοις μάρνασθε μιαιφόνον ἦτορ ἔχοντες.	Sibyll.
πολυώδυνον	Γαστέρα θ' ἡμετέρην, καὶ ἐμὸν πολυώδυνον ἦτορ	Apolinar.
φιλοδέμνιον	Ἀλλ' ὅτ' ἀλεύασθαι χρειὼ φιλοδέμνιον ἦτορ.	Opp. κυνηγ. α
χαλκοῦν	Φωνὴ δ' ἄρρηκτος, χαλκοῦν δέ μοι ἦτορ ἐνείη.	Hom. Il. β.
παγκρατές	Παγκρατὲς ἦτορ ἔχων ἐναγώνιε, κοίρανε θνητῶν.	Orph. hym. ἑρμοῦ.
	Ἥφαιστος *Vulcanus.*	
κλυτοτέχνης	Τοῖσιν δ' Ἥφαιστος κλυτοτέχνης ἦρχ' ἀγορεύειν.	Hom. Il. α.
περικλυτὸς ἀμ-	-- ἧχι ἑκάστῳ δῶμα περικλυτὸς ἀμφιγυήεις	Eod.
φιγυήεις	Ἥφαιστος ποίησε. (χων.	
τεύχων	Ἔστη σκῆπτρον ἔχων, τὸ μὲν Ἥφαιστος κάμε τεύ-	Id. Iliad. β.
κυλλοποδίων	-- ὃν ῥ' αὐτὸς ποιήσατο κυλλοποδίων.	Iliad. σ.
πολυμῆτις	Πνοιῇ τειρόμενοι πολυμήτιος Ἡφαίστοιο.	Iliad. φ.
πολύφρων	Ἡφαίστοιο βίηφι πολύφρονος.	Eod.
βραδύς	Ὣς καὶ νῦν Ἥφαιστος, ἐὼν βραδὺς, εἷλεν Ἄρηα.	Id. Odyss. θ.
κλυτοεργός	-- λίσσετο δ' αἰεὶ Ἥφαιστον κλυτοεργόν.	Eod.
ῥικνὸς πόδας	Παῖς ἐμὸς Ἥφαιστος ῥικνὸς πόδας, ὃν τέκον αὐ-	Id. hymn.
κλυτόμητις	Ἥφαιστον κλυτόμητιν ἀείδεο Μοῦσα λίγεια. (τή.	Ibid.
ἠερίβρομος	Ἥφαιστος δ' ἐκέλευσεν ἠερίβρομος.	Tryphiod.
χαλκεοτέχνης	Ἡ δὲ καὶ ὡς Ἥφαιστον ἔΰφρονα χαλκεοτέχνην.	Calab. lib. 2
μαλερὸς, περιζ.	Ἡφαίστου μαλεροῖο περιζείοντος ἀϋτμῇ.	Idem lib. 13.
δαήμων	Δεσμοῖς ἐν θαμινοῖσι δαήμονος Ἡφαίστοιο.	Id. lib. 14.
λιπαραῖος	-ἔρως δ' ἄρα καὶ Λιπαραίου πολλάκις Ἁφαίστοιο	Theo. εἰδ. β.
χαλαίπους	Εἴγε μὲν Ἡφαίστοιο χαλαίποδος ἐν πτυχὶ νήσου.	Nicand. Th
τεχνήεις	Τεχνήεις Ἥφαιστος ἐμήσατο θέσκελα ἔργα.	Apoll. lib. 3
βραδυσκελής	Βραδυσκελὴς Ἥφαιστε, σοὶ Τιμασίων. (λεῖν.	Epigr. lib. 6
πευκάεις	Καὶ στεφάνωμα πύργων πευκάενθ' Ἥφαιστον ἑ-	Soph. Antig
Αἰτναῖος	Ἥφαιστ' ἄναξ Αἰτναῖε, γείτονος κακοῦ &c.	Eurip. Cycl.
αἴθων	Δεύτερον αὖτ' αἴθωνος ὑπὲρ λίθον Ἡφαίστοιο.	Orph. λιθ.
	Ἥφαιστ' ὀβριμόθυμε, μεγασθενὲς, ἀκάματον πῦρ	Ex hym. Or-
	λαμπόμενε φλογίαις αὔραις φαεσίμβροτε δαῖ-	phei εἰς Ἥ-
	φωσφόρε, καρτερόχειρ, αἰώνιε, τεχνοδίαιτε· (μον·	φαιστον.
	ἐργαστὴρ, κόσμοιο μέρος, στοιχεῖον ἀμεμφές·	
	παμφάγε, πανδαμάτωρ, πανυπέρτατε, παντο-	
	δίαιτε·	
	στώματά τε θνητῶν οἰκεῖς πολύολβε, κραταιέ.	

	Nonn. Dionyſ. βαρύγουνος, γαμοκλόπος, μογοστόκος, πυρόεις, αἰθαλόεις, ἀριστόπονος, εἰλιπόδης, πυρίπνοος, πυρσοφόρος, σελασφόρος, εὐπάλαμος, ζηλομανής, ἀπάτωρ.	
	ἦχος, ἠχή, ἠχώ, ſonus, echo.	
θεσπεσίη	Ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο.	Hom. Il. θ.
σύναυλος	Πολιοῖς πτεροῖσι μέλπων Ἀνέμου σύναυλον ἠχήν.	Anacr.
ἠνεμόεσσα	Μούνη δ' ἠνεμόεσσα, βοῆς ἀδίδακτος ἐοῦσα,	Coluth.
βοῆς ἀδίδ. &c	Ἰδαίων ὀρέων, ἀντίθροος ἴαχεν ἠχώ.	
τρηχεῖα	Τριβόμενοι τρηχεῖαν ἀνέστενον ἄξονες ἠχώ.	Tryphiod.
ἔλλοψ	Ἁδὺ μελίσδοις ἔλλοπι κούρᾳ, Καλλιόπᾳ νηλεύσῳ.	Theoc. εἰδ. λ.
λιγύθροος	-- πλαταγῆς δ' ἢ λιγύθροος ὄρνυτο ἠχή.	Dionyſ.
λάλος	Εὔφημος γλώσσῃ παραμείβεο τὰν λάλον ἠχώ.	Epigr. lib. 1.
ἐναρμόνιος	Μέλψομ' ἀπὸ στομάτων ἦχον ἐναρμόνιον	Nazianz.
ὑστερόφωνος	Πυνθάνομ' ὡς κενεὴν καὶ ἀνείδεον ὑστερόφωνον Ἠχώ.	Idem.
πολύστομος	Χείλεσι πιστοτάτοισι πολύστομον ἔβρεμον ἠχώ.	Nonnus.
διδυμόθροος	Διχθὰ μεριζομένῳ διδυμόθροος ἔβρεμεν ἠχώ.	Idem.
νεκυοσσόος	Ἄπνοον ἐψύχωσε δέμας νεκυοσσόος ἠχώ.	Idem.
σύνθροος	Ἑβραῖοι δ' ἀλάλαξαν ἀπείρονα σύνθροον ἠχώ	Idem.
βρονταίη &c.	Βρονταίη βαρύδουπος ἐπέκτυπεν αἴθριος ἠχώ.	Idem.
ψυχοσόος	Ἐκ νεκύων ἤγειρε, χέων ψυχοσόον ἠχώ.	Idem.
ἀσίγητος	Λαοὶ δ' αἰπάχησαν ἀσιγήτου κλόνον ἠχοῦς.	Idem.
φρικτοβόας	Τίς δέ τε φρικτοβόας σαλπίγγων ἔκτυπεν ἦχος.	Cyr. Theod.
βάρβαρος	Γραμματικὴ ξύουσα λόγον, καὶ βάρβαρον ἠχήν	Nazianz.
βαρύβρομος	Μοῦνόν τι μετὰ πᾶσι βαρύβρομον ἔκλαγξεν ἠχήν,	Opp. κυνηγ. γ.
ὄμβριμος	Κόσμος ἅπας μύκημα, καὶ ὄμβριμον ἦχον ἀκούει,	Sibyll.
πολεμόκλονος	Οὐκέτι συρίξει σάλπιγξ πολεμόκλονον ἦχον.	Ibid.
φοβερός	Ζέσσῃ, καὶ φοβερὸν πᾶσι μάλ' ἦχον ἔῃ.	Dolſc.
ἐρίδουπος	Πόντος κυμαίνων ἐρίδουπον ἰαλλέτω ἦχον.	Idem.

ἑορτάσιος	Μέλπωντ' ἐκ στομάτων ἦχον ἑορτάσιον.	Nazianz.
λιγύς	Μυγδονίου λιγὺν ἦχον ἀϋπνύοντας ἀκούειν.	Theo. εἰδ. κ.
αὐδήεσσα θεός	Ναίει ἐϋπλόκαμος δεινὴ θεὸς αὐδήεσσα.	Epigr. lib. 1.
ποιμενία	Ποιμενίαν εὔγλωσσος ἀν' ὀργάδα μέλπεται ἠχώ.	Epigr. lib. 4.
πετρήεσσα	Ηχὼ πετρήεσσαν ὁρᾷς φίλε, Πανὸς ἑταίρην.	Eod.
μιμολόγος	Ηχὼ μιμολόγον, φωνῆς τρύγα, ῥήματος οὐρὴν &c.	Eod.
ὀρέσσαυλος	Υλοβάτας, φιλόδενδρος, ὀρεσσαύλου πόσις ἠχοῦς	Eod.
λαλαγεῦσα	Ταν δὲ πάρος λαλαγεῦσαν ἐν ἄλσεσιν ἀγρόπιν ἠχώ.	Epigr. lib. 6.
ἀθυρόστομος	Βαρεῖα δ' ἀθυρόστομος ἀχὼ τηλεφανὴς πικρᾶς οἰμωγᾶς ὑπόκειται.	Soph. Phil.
	Nonn. Dionyſ. ἐπαλάστομος, ἀδούπητος, ἀπατήλιος, δευτερόφωνος, ἐέλδρομος, ὑπωροφίη, βλοσυρὴ, ὄμβελος, ἐπινίκιος, ξεινοσσόος, φοιβὰς, λιπόθροος, ἑτερόθροος, ἀσήμαντος, ὀρεσίδρομος, πετρήεσσα, ὑδριὰς, ἄπλοος, εὔϊος, φιλάγραυλος, ὑποκόλπιος, ἀλλόθροος, δίκτυπος, ὁμόγλωσσος, χαλκόθροος, αὐτόθροος, λαοσσόος, κυβεληῒς, ἀγχινεφὴς, φιλοπάρθενος, αὐτόκτυπος, θούελος, φοιβαλέη, ἄστατος, πανιὰς, ὑστερόφωνος, γαμήλιος, φιλοκέρτομος, λοίγιος, λάλος, ἀπερείσιος, ἐγερσίμοθος, ἄπλετος, ἀγέστρατος, λιθοσσόος, δρυΐφιλη, σακέσπαλος, διδυμόκτυπος, ἕλιξ ἐπαλάστερος, χαλκόκροτος, ἱκετήσιος, ἑτερόκτυπος, κυνοσσόος, ἔννυχος, ποικιλόμορφος, ἀθήητος, διάθροος.	

ἠώς, ſeu ἕως, aurora.

ἠριγένεια, ῥοδ.	Ημος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς.	Hom. Il. α.
κροκόπεπλος	Ηὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν.	Id. Iliad. θ.
εὔθρονος	Ε'στaότες παρ' ὄχεσφιν, εὔθρονον ἠῶ μίμνον.	Eod.
δῖα	Αἶψα γὰρ τάχιστα φανήμεναι ἠῶ δῖαν.	Id. Iliad. ι.
φαινομένη	Εὐνῇ ἐνὶ μαλακῇ, ἅμα δ' ἠοῖ φαινομένηφι.	Eod.

φαεσίμβροτος	Ἀλλ᾽ ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς.	Iliad. ω.
φαεινή	Τὸν ῥ᾽ Ἠοῦς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός.	Id. Odyss. δ.
ἐϋπλόκαμος	Ἀλλ᾽ ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ᾽ ἠώς.	Odyss. ε.
χρυσόθρονος	Ὣς ἔφατ᾽· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν ἠώς.	Odyss. κ.
πότνια	Νηπίη, οὐδ᾽ ἐνόησε μετὰ φρεσὶ πότνια ἠώς.	Id. hym.
ῥοδόπηχυς	Ἠῶ τε ῥοδόπηχυν, ἐϋπλόκαμόν τε Σελήνην.	Ibid.
ἄφθιτος	Καὶ γάμον ἀχλυόεντα, τὸν οὐκ ἴδεν ἄφθιτος ἠώς.	Musæus.
πολυδερκής	Ὀφθαλμοῖσιν ἴδοντο φάος πολυδερκέος ἠοῦς.	Hesiod. Th.
ἑκηβόλος	Ἐς δύσιν ἀχλύπεζαν ἑκηβόλον ἔτραπεν ἠῶ.	Tryphiod.
λευκαίνουσα	Ἠρέμα λευκαίνουσα κατέγραφεν ἠέρα πολλώ.	Idem.
ἱππότις	Νύκτα διαρρήξασα μιαιφόνον ἱππότις ἠώς.	Idem.
ῥοδόσφυρος	Ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐπόρουσε ῥοδόσφυρος ἠριγένεια.	Calab. lib. 1.
αἰγλήεσσα	Ἦμος δ᾽ αἰγλήεσσα κατ᾽ Ὠκεανοῖο βεβήκει Ἠώς.	Eod.
φαεσφόρος	Τῆμος Ἀρηΐου υἷα φαεσφόρου Ἠριγενείης.	Id. lib. 2.
πολύστονος	Μακρὸν ἀνεστονάχησε πολύστονος ἠριγένεια.	Eod.
ἄμβροτος	Κινήθη περὶ πᾶσα, τρόμος δ᾽ ἕλεν ἄμβροτον ἠῶ.	Eod.
βοῶπις	Θάψαν ὀδυρόμενοι, τοὺς δ᾽ ἠριγένεια βοῶπις.	Eod.
ῥοδόπεπλος	Γηθείτω ῥοδόπεπλος ἀν᾽ οὐρανὸν ἠριγένεια.	Id. lib. 3.
χρυσήνιος	Καὶ τότ᾽ ἀπ᾽ Ὠκεανοῖο κίεν χρυσήνιος ἠώς.	Id. lib. 5.
θεσπεσίη	-- θεσπεσίη δὲ πρὸς οὐρανὸν ἤλυθεν ἠώς.	Id. lib. 7.
ἀμβροσίη	Μέσφ᾽ ὅτε δὴ βουλυτὸς ἐπήλυθεν, αὖτε δ᾽ ἠὼς Ἀμβροσίη.	Eod.
λευκίππος	Οὐδ᾽ ὁπόκ᾽ ἁ λεύκιππος ἀνατρέχει ἐς Διὸς ἀώς.	Theo. εἰδ. ιγ.
γλαυκή	Τίς γὰρ τῶν ὁπόσοι γλαυκὰν ναίουσιν ὑπ᾽ ἀῶ.	Idem εἰδ. ις.
φαίδιμος	-- ἠὼς δὲ παραυτίκα φαίδιμος ἦλθεν.	Idem εἰδ. κς.
καθαρά	Πάντες ἀελφεαδέες καθαρᾶς ἅπερ ἠριγενείης	Idem λα.
λαμπέτις	Ἀνέτελλέ τε λαμπέτις ἠώς.	Lucian.
τερψίμβροτος	Ἀλλ᾽ ὅτ᾽ ἀπ᾽ ἀντολίης ἐφάνη τερψίμβροτος ἠὼς Ἥ δὺ φάος θνητοῖσι καὶ ἀθανάτοισι φέρουσα.	Orph. Arg.
παλίνδρομος	Ἀλλ᾽ ὅτε δὴ φάος ἄλλο παλίνδρομος ἤγαγεν ἠώς.	Nonnus.
ἀκροφανής	Ἀκροφανὴς δροσερῇσι βολαῖς πορφύρεεν ἠώς.	Idem.

θαλαμηπόλος	-- ἀλλ' ὅτε πέτρας Πορφυρέας ῥιπάτη θαλαμηπόλος ἔγραφεν ἠώς	Idem.
δίζυγος	Ὀξείῃ στροφάλιγγι παρέστιχε δίζυγος ἠώς.	Idem.
θέσκελος	Ἑβδομάτη δ' ἄπρηκτος ἔην τότε θέσκελος ἠώς	Idem.
μογοστόκος	Εἰσέτι τυφλὸν ἐόντα μογοστόκος ἔδρακεν ἠώς.	Idem.
τελεσσίμορος	Διχθαδίης παρέμειβε τελεσσιμόρου δρόμον ἠοῦς.	Idem.
ἀμαιμακέτη	Κραιπνὸν ἀμαιμακέτης ἀνιόντα τὸν εὖρον ἀπ' ἠοῦς.	Dolsc.
χαροπή	Ἦμος δ' οὐρανόθεν χαροπὴ ὑπολάμπεται ἠώς.	Apoll. lib. 1.
δνοφερά	Ἀνδρὶ ἅπερ γε φίλου, δνοφερή τ' ἠὼς ἀνατέλλει.	Politian.
καλή	Ἠέλιον φαέθοντα καλῆς ἐπιήρανον ἠοῦς.	Apolinar.
ἀεξίφυτος	Οἱ δ' ἁπαλὴν πίνοντες ἀεξιφύτου δρόσον ἠοῦς.	Epigr. lib. 1.
θαλερῶπις	Οὐδ' ὑπὸ μαρμαρυγῇ θαλερώπιδος ἠελιγε- νείης. (ἀῶ.	Epigr. lib. 3.
μονόπωλος	Κέλευθον οὐρανοῦ προσαρμόσας, μονόπωλον εἰς	Euri. Orest.
καλλιφεγγής	Ἡ καλλιφεγγὴς Κέφαλον εἰς θεοὺς ἕως.	Eurip. Hipp.
	Κλῦθι θεὰ θνητοῖς φαεσίμβροτον ἦμαρ ἄγουσα, ἠὼς λαμπροφαής, ἐρυθαινομένη κατὰ κόσμον· ἀγγελίεια θεοῦ μεγάλου Τιτᾶνος ἀγαυοῦ· ἣ νυκτὸς ζοφερήν τε κελαινόχρωτα πορείην ἀντολίαις ταῖς σαῖς πέμπεις ὑπὸ νέρτερα γαίης· ἔργων ἡγήτειρα βίου, πρόπολε θνητοῖσι &c.	Ex hymnis Orphei.
	Nonn. Dionys. ἔμπνοος, ἐγερσίμοθος, κυκλάς, λιμενοσκόπος, ὀργέπις, βοῶπις, εὐσμήνιγξ, κροκόπεπλος, χοροτερπής, χιονόπεζα, πυρίδρομος, φλογερή, ἐπίκουρος ἀνάγκης, δεισίμερος, ἀμερσίγαμος, ῥοδοστεφής, ῥοδοειδής, ἀμοιβαίη, γαληναίη, χελιδονίη, δροσερή.	

Θ

θάλαμος *thalamus*.

εὐώδης, κηώεις	Κὰδ δ' εἷσ' ἐν θαλάμῳ εὐώδεϊ κηώεντι.	Hom. Il. γ.
ὑψόροφος	Ἡ δ' εἰς ὑψόροφον θάλαμον κίε δῖα γυναικῶν.	Eod.

τέγεος	Δώδεκ' ἔσαν τέγεοι θάλαμοι ξεστοῖο λίθοιο.	Id. Iliad. ζ.
ὑψηρεφής	Οὐδοῦ ἐπεμβεβαὼς ὑψηρεφέος θαλάμοιο.	Iliad. ι.
κηώεις, κέδρινος	-- ἐς θάλαμον κατεβήσετο κηώεντα, κέδρινον.	Iliad. ω.
θυώδης	Ἐκ δ' Ἑλένη θαλάμοιο θυώδεος ὑψορόφοιο Ἤλυθεν.	Id. Odyss. δ.
πολύκμητος	Ἀλλ' ἄρ' ἐπ' οὐδοῦ ἷζε πολυκμήτου θαλάμοιο.	Eod.
πολυδαίδαλος	Βῆ δ' ἴμεν ἐς θάλαμον πολυδαίδαλον.	Odyss. ζ.
εὐπηκτος	-- ἡμεῖς δὲ μυχῷ θαλάμων εὐπήκτων Ἥμεθα.	Odyss. ψ.
ἐϋσταθής	Ἐκτὸς ἐϋσταθέος θαλάμου, τόν ῥ' αὐτὸς ἐποίει.	Eod.
κυπαρισσόροφ.	Βαῖν' ἐκ θαλάμων κυπαρισσορόφων.	Mnesimach.
πολύκλειστος	Παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισι	Phocyl.
φιλόξεινος	Ἡ δὲ φιλοξείνων θαλάμων κληῖδος ἀνεῖσα.	Coluth.
πολυκτέανος	Οὐδὲ πολυκτεάνων θαλάμων γλυκὺς ἵμερος αἱρεῖ.	Tryphiod.
κλυτός	Ἄλλαι δ' αὖτ' ἀπάνευθεν ἔσαν κλυτοῦ θαλάμοιο.	Calab. lib. 6.
ἐρατεινός	-- θάλαμοι δὲ κατεστρήθοντ' ἐρατεινοί Υἱωνῶν Γελάμοιο. (ρας.	Idem lib. 13.
ἀμβρόσιος	Οἱ δ' εἰς ἀμβρόσιον θάλαμον λευκοσφύρου Ἥ-	Theo. εἰδ. ιζ.
νεόγραπτος	Πρόσθε νεογράπτῳ θαλάμῳ χορὸν ἱστάσαντο.	Id. εἰδ. ιη.
ἀγλαός	Κεῖθεν ὅθ' εὐπλόκαμος θάλαμον λάχεν ἀγλαὸν ἠώς.	Dolsc.
νυμφίδιος	Οἴκαδε νυμφιδίοις θαλάμοις ἐπὶ λέκτρον ἱκέσθαι.	Apoll. lib. 1.
κουρίδιος	Ἡμέτερον δὲ λέχος θαλάμοις ἐνὶ κουριδίοισι.	Idem lib. 3.
γλαφυρός	Ἀλλ' οἵγε γλαφυρῇσιν ἀνεζόμενοι θαλάμῃσι.	Opp. ἁλ. β.
λυσίκομος	Ἄπλετα λυσικόμων θαλάμων ἀπολύμενα δε-	Id. κυνηγ. γ.
πηλόχυτος	Ἔκγονα πηλοχύτοις ξεινοδοκεῖ θαλάμοις. (σμοῦ	Epigr. lib. 1.
εὐλεχής	Αὐλή τοι εὐλεχέος θαλάμου, σεμνῶν θ' ὑμεναίων	Epigr. lib. 3.
γαμήλιος	Οἷς θάλαμον κοσμεῖτε γαμήλιον.	Epigr. lib. 6.
χαλκήλατος	Ζεὺς διαδὺς Δανάας χαλκηλάτοις θαλάμοις.	Epigr. lib. 7.
μεγαλοκευθής	Ὅπη τε μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις.	Pind. Pyth.
πολύχρυσος	Θαλάμῳ δὲ μίγεν ἐν πολυχρύσῳ Λιβύας.	Ibid.

Nonn. Dionys. ἐπλάμυχος.

θάλασσα *mare*.

πολύφλοισβος	Βῆ δ' ἀκέων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης	Hom. Il. α.

ἠχήεσσα

ἠχήεσσα	Οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα.	Eod.
ὀρινομένη	Χειμερίαι εἰλέωσιν ὀρινομένη τε θάλασσα.	Id.Iliad.β.
πολιά	-νῆες Εἰρύατ' εὔπρυμνοι πολιῆς παρὰ θι-νὶ θαλάσσης.	Iliad.δ.
εὐρύπορος	Οἱ δ' ὥς τε μέγα κῦμα θαλάσσης εὐρυπόροιο.	Iliad.ο.
γλαυκή	Οὐδὲ Θέτις μήτηρ, γλαυκὴ δέ σε τίκτε θάλασσα.	Iliad.π.
ἀγχιβαθής	Ἀγχιβαθὴς δὲ θάλασσα, καὶ οὔπως ἐστὶ πόδεσσι.	Id.Odyss.ε
ἀθέσφατος	Ὤρινεν δὲ θάλασσαν ἀθέσφατον.	Odyss.η.
ἀτρύγετος	Γαίης κινητῆρα, καὶ ἀτρυγέτοιο θαλάσσης.	Id.hym.
βαρύγδουπος	Οὐ βρόμον ἠχήεντα βαρυγδούποιο θαλάσσης.	Musæus.
χειμέριος	Ἀλλ' οὐ χειμερίης σε φόβος κατέρυκε θαλάσσης.	Idem.
μαινομένη	Μαινομένης σ' ὤρινεν ἀφειδήσαντα θαλάσσης.	Idem.
ἐρισμάραγος	Καὶ κτύπος ἦν ἀλίαστος ἐρισμαράγοιο θαλάσ-σης.	idem.
ἀμαιμάκετος	Ἐν δὲ λιμὴν εὔορμος ἀμαιμακέτοιο θαλάσσης.	Hesiod.Scu.
θεσπεσίη	Οἱ πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος, Θεσπεσίῃ ἰαχῇ.	Hom. Od.λ.
δεινή	Δεινὴ δέ σφ' ἰαχὴ, ἀραβός θ' ἅμα γίγνετ' ὀδόν-	Hesiod.Scu.
ἱμερόεσσα	Ἀμφὶ δὲ φορμίγγων ἰαχὴ πέλεν ἱμερόεσσα. (των	Calab.lib.6.
πυριβρέμετος	Νυκτερίοισι χοροῖσι, πυριβρεμέτοις ἰάχοισι.	Orph.hym.
καλαμόεσσα	Ὑπὸ καλαμόεσσαν ἔστασαν ἰαχάν.	Eurip.Iphig. Aulid.
	Ἴβηρες *Ibêres* seu *Iberi, Hispani.*	
μεγάθυμοι	Ἀγχοῦ στηλάων μεγαθύμων ἔθνος Ἰβήρων.	Dionys.
ἀγαυοί	Ἀλλ' ἤτοι πυμάτη μὲν ἀγαυῶν ἐστὶν Ἰβήρων.	Idem.
τείλλισοι	Ὁππότε τειλλίσων μετεκίαθεν ἔθνος Ἰβήρων.	Idem.
...θωνες	Αἰθώνων μετέπειτα σακέσπαλον ἔθνος Ἰβήρων.	Musurus.
...ντες	Θωῦσεν Ἄρης Κήτούς τε καὶ αὐχήεντας Ἴβηρας.	Opp.κυν.β.
	Τόσσον Ἴβηρες ἔασι θοοὶ πόδας ἠνεμόεντας.	Id.κυνηγ.α.
	Ἀνέρες ἀγρώσσοισι βίῃ κομόωντες Ἴβηρες. Nonn. Dionys. αἱματοδιψάδες.	Id.κυν.γ.

Ἰβηρίας Iberia.

σιδηροτόκος	Τῆς τε σιδηροτόκου βῶλος Ἰβηριάδος.	Epigr. lib. 1.

ἰδέα idea.

πολύμορφος	Ὕλην ἀλλάσσων ἱερὴν ἰδέαις πολυμόρφοις.	Orph. hym.
ἀλλόκοτος	Ἀλλοκότοις ἰδέαις μορφῆς τύπον ἐκπροφανεῖσα.	Idem.

Ἴδη Ida mons.

πολυπῖδαξ	Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν.	Hom. Il. θ.
πιδήεσσα	Ἴδης ἐν κορυφῇσι καθέζετο πιδηέσσης.	Idem Il. λ.
ὑψηλή	-προσεβήσατο γάργαρον ἄκρον Ἴδης ὑψηλῆς.	Iliad. ξ.
πολύπτυχος	Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑληέσσης.	Iliad. φ.
δάσκιος	Ἔβρεμε νυμφαίῃσιν ἅμα δρυσὶ δάσκιος Ἴδη.	Tryphiod.
μακεδνή	-- ὅστε μακεδνῆς Ἴδης ναιετάεσκεν ὑπὸ πτύχας.	Calab. lib. 3.
λασίη	Τὸν δ' ἄρ' ἐπεσσύμενον λασίης ὑπὲρ ἄκριας Ἴδης.	Idem lib. 10.
ὑψίκομος	Ἴδης ὑψικόμοιο θοοὶ προέηκαν ἱκέσθαι.	Id. lib. 12.
μακρή	Μακρὴ δ' ἀμφέστευεν Ἴδη καὶ Σιμόεις.	Id. lib. 14.
πολύδενδρος	Ἴδαν ἐς πολύδενδρον ἀνὴρ ὑλητόμος ἐλθών.	Theoc. εἰδ. ιζ.
τηλεθόωσα	Ἴδη καλλικόμοισιν ὑπαὶ δρυσὶ τηλεθόωσα.	Dionyſ.
ζαθέη	Τὴν ἑτέραν, ἣ κεῖται ὑπὸ ζαθέης πόδας Ἴδης	Idem.
	Nonnus Dionyſ. Τευκρὶς, Κορυβαντίς.	

Ἴδμων Idmon.

καρτερός	Δὴ τότ' Ἄβαντος παῖς νόθος ἤλυθε καρτερὸς Ἴδμων.	Orph. Arg.
Ἀμπυκίδης	Ἀμπυκίδην Ἴδμωνα, κυβερνητῆρά τε Τίφυν	Id. iiſdem.

Ἰδομενεὺς Idomeneus.

δαΐφρων	Οἱ δ' ἀμφ' Ἰδομενῆα δαΐφρονα θωρήσσοντο.	Hom. Il. δ.
Κρητῶν ἀγός	Τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα.	Eod.
δουρικλυτός	Τὸν μὲν ἄρ' Ἰδομενεὺς δουρικλυτὸς ἔγχεϊ μακρῷ.	Id. Ili[illegible]
ἀγακλυτός	Ἀμφ' Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰδομενῆα.	Il[illegible]
Ἀρήϊος	Νέστορά τ' ἀμφὶ μέγαν καὶ Ἀρήϊον Ἰδομενῆα.	[illegible]

ἀγαυός	Ἔγχει Ἰδομενῆος ἀγαυοῦ Δευκαλίδαο.	Iliad μ.
ἀγαπήνωρ	Μηριόνης θεράπων ἀγαπήνορος Ἰδομενῆος.	Iliad. ψ.
ἐΰθυμος	Εἰ μὴ Τεῦκρος ἵκανε καὶ Ἰδομενεὺς ἐΰθυμος.	Calab. lib. 6.
	ἱδρὼς *sudor*.	
νότιος	Σκάζων ἐκ πολέμου, κατὰ δὲ νότιος ῥέεν ἱδρώς.	Hom. Iliad.
ψυχρός	Καδ δ' ἱδρὼς ψυχρὸς χέεται, τρόμος δέ.	Sappho.
ἄσπετος	Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς.	Theogn.
αἱματόεις	Ἱδρὼς αἱματόεις θαλερὰς ἐρύθαινε παρειάς.	Calab. lib. 4.
αἰνός	Καὶ χέρας· ἐκ δέ οἱ αἰνὸς ἀπὸ μελέων ῥέεν ἱδρώς.	Idem lib. 8.
θερμός	Θερμὸν ἔχων ἱδρῶτα καλυπτομένοιο προσώπου	Nonnus.
ῥαιστήελος	Ἡφαίστῳ τε μέλει ῥαιστήελος ἱδρώς.	Opp. ἁλ. β.
λιπαρὸς, ἀθέσφ.	Ἤδη δ' ἐκ μελέων λιπαρὸς καὶ ἀθέσφατος ἱδρώς.	Eod.
καματώδης	Ἱδρῶτ' ἐξαινύσας καματώδεα.	Idem ἁλ. ε.
	Nonn. Dionys. καμάτοιο προάγγελος	
	εὐκάματος, μυδαλέος, θηροφόνος, γάμιος.	
	ἱέραξ: infra ἴρηξ.	
	ἱερεῖς *sacerdotes*.	
ἄγρυπνοι	Λευΐτας προΐαλλε, καὶ ἀγρύπνους ἱερῆας.	Nonnus.
ἀνιπτόποδες	Καὶ θρασὺς ἑσμὸς ἔειπεν ἀνιπτοπόδων ἱερήων.	Idem.
θεόκλητοι	Καὶ πάλιν ἑσμὸς ἔειπε θεοκλήτων ἱερήων.	Idem.
ἀρνοφάγοι	Εἰάζων ἐπὶ Πάσχα καὶ ἀρνοφάγων ἱερήων.	Idem.
	ἱερὸν *templum*.	
ὑψιμέλαθρον	Ἡ δ' ὁπότ' ὑψιμέλαθρον ἐς ἱερὸν ἦλθεν Ἀθήνης.	Tryphiod.
	Ἱροσόλυμα *Hierosolyma*.	
…έα	Εὐαγέων ἀνέβαινεν ἐς ἕδρανον Ἱροσολύμων.	Nonnus.
…όπελοι	Οὐδὲ τανυσκοπέλων ὑπὸ τέμπεσιν Ἱροσολύμων.	Idem.
	Μυστιπόλων ἀνέβαινον ἐς ἕδρανον Ἱροσολύμων.	Idem.
	Σὸν δὲ ποτὶ νηὸν Σολύμη μεγακυδέ' ἐν ἱρῇ.	Dolsc.

Ἱέρων

Ἱέρων Hieron.

αἰχμητής	Ὑμνεῖν σὺν λαοῖσι καὶ αἰχμηταὶ Ἱέρωνα.	Theoc. εἰδ. 15.
Συρακόσιος ἱπ.	Συρακόσιον ἱπποχάρμαν βασιλῆα &c.	Pind. Olym.
ὀρθὰ μηδ.	Ἱέρων καθαρῷ σκάπτῳ διέπων, ὀρθὰ μηδόμενος.	Ibidem.
καλλίνικος	Ἀγγέλλων Ἱέρωνος ὑπὲρ καλλινίκου.	Idem Pyth.
εὐάρματος	Εὐάρματος Ἱέρων ἐν ᾧ κρατέων &c.	Ibidem.
Αἰτναῖος	Παρ' Αἰτναίου ξένου, ὃς Συρακόσσαισι νέμει.	Ibidem.
πρηΰς, &c.	Βασιλεύς, πραῢς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς, ξείνοις δὲ θαυμαστὸς πατήρ.	

Ἰωνία Ionia.

τρυφερή	Οὐ Κολοφὼν τρυφερῆς ἄστρον Ἰωνίης.	Epigr. lib. 4.

ΙΗΣΟΥΣ IESVS.

θεηγόρος	Καὶ πολέες δίζοντο θυώδεος ἔνδοθι νηοῦ, Ἰησοῦν ἀπιόντα θεηγόρον.	Nonnus.
βιοσσόος	Ἰησοῦν ἐσίδοιτο βιοσσόον.	Idem.
ταχυεργός	Ἰησοῦς ταχυεργὸς ἀνίστατο, δεῖπνον ἐάσας.	Idem.
Γαλιλαῖος	Ναζαρὲθ ναέτης πελέθω Γαλιλαῖος Ἰησοῦς.	Idem.
Ἰουδ. βασιλεύς	Οὗτος Ἰουδαίων βασιλεὺς Γαλιλαῖος Ἰησοῦς.	Idem.
σκηπτοῦχος	Κοίρανος Ἑβραίων πελέθω σκηπτοῦχος Ἰησοῦς.	Idem.
κυματόφοιτος	— δι' ἠέρος ἦλθεν Ἰησοῦς Κοίρανος κυματόφοιτος.	Idem.
σωτήρ, πλαστουρ.	Σωτὴρ Ἰησοῦ Χριστὲ μου, πλαστουργέ μου.	Cyr. Theod.
Ναζαρηνός	Τὸν Ναζαρηνὸν υἱὸν Ἰησοῦν, ὦ κόραι.	Nazianz.
ἀμύμων	Αἶψα δὲ πνεῦμα φίλον μετ' ἀμύμονα πέμψεν Ἰησοῦν.	Castalio.
πάγκλ. ἄναξ	Ὦ τῶν πόλων πάγκλυτος Ἰησοῦ ἄναξ.	Nazianz.

ΙΣ ΧΣ ΘΥ ΥΙΟΣ, ΣΩΤΗΡ, ΣΤΣ.

Ἱδρώσει δὲ χθών, κρίσεως σημεῖον ὅτ' ἔσται.
Ἥξει δ' οὐρανόθεν βασιλεὺς αἰῶσιν ὁ μέλλων
Σάρκα παρὼν πᾶσαν κρῖναι, καὶ κόσμον ἅπαντα.
Ὄψονται δὲ θεὸν μέροπες πιστοὶ καὶ ἄπιστοι,
Ὕψιστον μετὰ τῶν ἁγίων ἐπὶ τέρμα χρόνοιο,

Ἀκροστιχὶς τ[illegible]
Χριστ[illegible]

Σαρκοφόρων ψυχὰς ἀνθρώπων βήματι κρί-
νων,
Χέρσος ὅταν ποτὲ κόσμος ὅλος καὶ ἄκανθα γέ-
νηται.
Ῥίψουσιν δ' εἴδωλα βροτοὶ, καὶ πλοῦτον ἅπαντα·
Ἐκκαύσει δὲ τὸ πῦρ γῆν, οὐρανὸν, ἠδὲ θάλασσαν
Ἰχνεῦον· φλέξει δὲ πύλας εἱρκτῆς ἀΐδαο. (ἥξει
Σὰρξ τότε πᾶσα βροτῶν ἐπ' ἐλευθέριον φάος
Τῶν ἁγίων, ἀνόμους δὲ τὸ πῦρ αἰῶσιν ἐλέγξει.
Ὁππόσα τις πρήξας ἔλαθεν, τότε πάντα λα-
λήσει.
Στήθεα γὰρ ζοφόεντα θεὸς φωστῆρσιν ἀνοίξει.
Θρῆνος δ' ἐκ πάντων ἥξει, καὶ βρυγμὸς ὀδόν-
των·
Ἐκλείψει δὲ φάος σέλας ἠελίοιο καὶ ἄστρων,
Οὐρανὸν εἱλίξει, μήνης δέ τε φέγγος ὀλεῖται.
Ὑψώσει δὲ φάραγγας, ὀλεῖ δ' ὑψώματα βουνῶν·
Ὕψος δ' οὐκέτι λυγρὸν ἐν ἀνθρώποισι φανεῖται·
Ἶσά τ' ὄρη πεδίοις ἔσται, καὶ πᾶσα θάλασσα
Οὐκέτι πλοῦν ἕξει· γῆ γὰρ φρυχθεῖσα κεραυνῷ,
Σὺν πηγαῖς ποταμοὶ δὲ καχλάζοντες λείψουσιν.
Σάλπιγξ δ' οὐρανόθεν φωνὴν πολύθρηνον ἀ-
φήσει,
Ὠρύουσα μύσος μελέων, καὶ πήματα κόσμου.
Ταρτάρεον δὲ χάος τότε δείξει γαῖα χανοῦσα·
Ἥξουσιν δ' ἐπὶ βῆμα θεοῦ βασιλῆες ἅπαντες·
Ῥεύσει δ' οὐρανόθεν ποταμὸς πῦρ, ἠδέ τε θεῖον.
Σῆμα δὲ πᾶσι βροτοῖσι τότε, σφραγὶς ἐπίσημος,
Τὸ ξύλον ἐν πιστοῖς, τὸ κέρας τὸ ποθούμενον ἔσται,
Ἀνδρῶν εὐσεβέων ζωὴ, πρόσκομμα δὲ κόσμου.
Ὕδασι φωτίζων κλητοὺς ἐν δώδεκα πηγαῖς.
Ῥάβδος ποιμαίνουσα σιδηρείη τε κρατήσει.
Οὗτος ὁ νῦν προγραφεὶς ἐν ἀκροστιχίσιν θεὸς ἡ-
μῶν,
Σωτὴρ ἀθάνατος, βασιλεὺς, ὁ παθὼν ἕνεχ' ἡμῶν

ἰητήρ,

ἰντήρ, ſupra ἰατρός.

Ἰθάκη *Ithaca.*

κραναή	Ὅς ῥ᾽ ἔφη ἐν δήμῳ Ἰθάκης κραναῆς περ ἐούσης.	Hom. Iliad. γ.
ἀμφίαλος	Μή σέ γ᾽ ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων.	Id. Odyſs. α.
εὐδείελος	Οἱ νεμόμεσθ᾽ Ἰθάκην εὐδείελον.	Odyſs. β.
ὑπονήϊος	Ἡμεῖς ἐξ Ἰθάκης ὑπονηΐου εἰλήλουθμεν.	Odyſſ. γ.
αἰγίβοτος	Αἰγίβοτος καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο.	Odyſs. δ.
τρηχεῖα, κουροτρ.	Τρηχεῖ᾽, ἀλλ᾽ ἀγαθὴ κουροτρόφος.	Odyſs. ι.
ἐϋκτιμένη	Ὄφρ᾽ Ἰθάκης κατὰ δῆμον ἐϋκτιμένης βασιλεύοι.	Odyſs. χ.
Νηειτή	Τῆς δ᾽ ἐπὶ Νηειτῆς Ἰθάκης εἶδος ἐσήελκται.	Dionyſ.

ἱκεσία *ſupplicatio, preces.*

ἀγανόφρων	Μὴ δέ μευ ἱκεσίην ἀγανόφρονα πάγχυ παρέλθοις.	Apolinar.
πολυδάκρυος	Δέχνυσο δ᾽ ἱκεσίην πολυδάκρυον.	Procl. Lyc.

Nonn. Dionyſ. πολύευκτος.

ἱκέτης *ſupplex.*

αἰδοῖος	Ἀντί τοι εἴμ᾽ ἱκέταο διοτρεφὲς αἰδοίοιο.	Hom. Il. φ.
λυγρός	Ἵζανον, ἥ τε δίκη λυγροῖς ἱκέτῃσι τέτυκται.	Apoll. lib. 4.
νηλής	Νηλεεῖς ἱκέται, ὅτ᾽ ἐφέσιοι ἀϋπόωσιν.	Eod.

ἰκμάς *humor, lacryma.*

πηγόρρυτος	Καὶ χθόνιοι γαίης πηγόρρυτοι ἰκμάδες ἁγναί.	Orph. hym. ὠκεανοῦ.

Nonnus Dionyſ. γλαγόεσσα, καπάρρυτος, νεκταρέη, ἀθλιβής, ἀχελόεσσα, ὄμπνιος.

Ἴλιος *Ilios, Ilium.*

εὐτείχεος	Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι.	Hom. Il. β.
ἠνεμόεσσα	Ἤτοι ἐγὼν εἶμι προτὶ Ἴλιον ἠνεμόεσσαν.	Iliad. γ.
ἱρή	Τάων μοι περὶ κῆρι τιέσκετο Ἴλιος ἱρή.	Iliad. δ.
ἐρατεινή	Ἤματι τῷ ὅτ᾽ ἐλόμην, ὅτε Ἴλιον εἰς ἐρατεινὴν.	liad [illegible]
εὔπωλος	Ἴλιον εἰς εὔπωλον ἅμ᾽ Ἀργείοισιν ἕπεσθαι.	E[illegible]
αἰπεινή	-- ἐπεὶ οὐκ ἔτι δήετε τέκμωρ Ἰλίου αἰπεινῆς [illegible]	
ὀφρυόεσσα	Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ᾽ ἄκρη[illegible]	

αἰθαλόεσσα	-- σῆμα φίλοις ἄστοῖσιν ἐτύχθη	Tryphiod.
	Ἴλιος αἰθαλόεσσα.	
εὔπυργος	Ιλίου εὐπύργοιο συνέσσεσθαι κύδιμον ἄστυ.	Calab.lib.4.
Φρύγιον ἄστυ	Ἴλιον Ἴλιον ὤ μοι μοι Φρύγιον ἄστυ καλλίβωλον.	Eurip.Oreft.
Δαρδανίη	-- στῆς ἀπάπερθεν Ἀβύδου Ἴλιον Δαρδανίην.	Orph.Arg.

Ἶλος *Ilus, f. Trois.*

Δαρδανίδης	Ἴλου Δαρδανίδαο παλαιοῦ δημογέροντος.	Hom.Iliad.λ
Φρύξ	Ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλου.	Theoc.εἰδ.ιϛ.

ἱμάς *lorum, corrigia.*

πολύκεστος	Ἄγχε δέ μιν πολύκεστος ἱμὰς ἁπαλὴν ὑπὸ δειρήν.	Hom. Il.γ.
ἐΰτμητος	Ἵπποις μὲν κατέδησαν ἐϋτμήτοισιν ἱμᾶσιν.	Id. Iliad.κ.
βόεος	Ἐς σφυρὸν ἐκ πτέρνης, βοέοις δ' ἐξῆπτεν ἱμάντας.	Iliad.χ.
φαεινός	Ἐκ δ' ἐτάνυσσα ἱμάντα βοὸς φοίνικι φαεινόν.	Odyſs.ψ.
θοός	Ἴχνεα λωβήεντα θοῶν ἀνέφαινον ἱμάντων.	Tryphiod.
στερεός	Ἀλλήλοις δ' ὄλεκον στερεοῖς θείνοντες ἱμᾶσιν.	Theoc.εἰδ.κβ.
πηρόδετος	Πηροδέτῳ δ' ὅγ' ἱμάντι κατ' αὐχένος ἅμμα λυγώσας.	Epigr. lib. 1.
σκληρός	Τύψας ἀπροφάτως κεφαλὴν σκληροῖσιν ἱμᾶσι	Orph.Arg.
σκολιός	Παντοίας στροφάλιγγας ὑπὸ σκολιοῖσιν ἱμᾶσιν.	Opp.ἁλ.β.

Nonn. Dionyſ. ἐχιδνήεις, πύμπλοκος, ἐπωμάδιος, αὐχένιος, ὁμοπλεκής, ἀρραγής.

ἱμάσθλη *flagellum, ſcutica.*

χρυσ. εὔτυκτος	-- γέντο δ' ἱμάσθλην Χρυσείην εὔτυκτον.	Hom.Il.θ.
[illegible]φλεγέθων	Τάρταρον ἠερόεντα, πυριφλεγέθοντας ἱμάσθλας.	Nazianz.
[illegible]ή	Ῥιγεδανῇ Χείρωνος δέμας φοίνιξεν ἱμάσθλῃ.	Nonnus.
	Αὐτὴ δ' ἡνί' ἔδεκτο, καὶ εὐποίητον ἱμάσθλην.	Apoll.lib.3.
	-- τῇ δ' ἄρ' ἱμάσθλην	Eod.
	...αἰδαλέην οὐρῆας ἐλαυνέμεν.	

Nonnus Dionyſ. ἀφειδής, πλήξιππος,

ἐχιδνήεσσα,

ἐχιδνήεσσα, λαθίφρων, εὐποίητος, τελέλικτος, τετραείη, καρχαλέη.

Ἴμβρος Imbrus insula.

παιπαλόεσσα	Μεσσηγὺς τε Σάμου καὶ Ἴμβρου παιπαλοέσσης.	Hom. Il. ω.
εὐκτιμένη	Ἴμβρός τ' εὐκτιμένη, καὶ Λῆμνος ἀμιχθαλόεσσα.	Id. hymn.

ἵμερος desiderium, libido.

γλυκὺς	Ὣς εἰποῦσα θεὰ, γλυκὺν ἵμερον ἔμβαλε θυμῷ.	Hom. Il. γ.
καλός	Τῇ δ' ἔρος ὡμάρτησε, καὶ ἵμερος ἕσπετο καλός.	Hes. Theog.
ὀξύς	Οὐδὲ διὰ σπλάγχνων ἦλθ' ἵμερος ὀξὺς ἀνάκτος.	Nazianz.
θρασύς	Αἰδοῖ δ' ἐρχομένην θρασὺς ἵμερος ὄρνυεσκεν.	Apoll. lib. 3.

Nonnus Dionys. πανδαμάτωρ, ἀπατήλιος.

Ἴναχος Inachus.

Nonn. Dionys. εὐπάρθενος, νηοπόλος, ὠκυρέεθρος, θυηπόλος Ἥρης.

Ἰνδοί Indi pop.

κελαινοί	Αὐτὸς δ' ὁππότε φῦλα κελαινῶν ὤλεσεν Ἰνδῶν	Dionys.
μελάγχρωτες	Χρυσοφόροι δ' Ἰνδοῖσι μελαγχρώτεσσιν ἄφυσσον.	Nazianz.
μελανόχροες	Ἤπαγον δολίοισι λόχοις μελανόχροες Ἰνδοί.	Opp. κυνηγ.

Nonnus Dionys. γηγενέες, ἀδίδακτοι, ὑπερφίαλοι, ἄφρονες, ὑλόκομοι, ἀβρόβιοι, ἀντίποροι, ἀγλώσσες, αἴθοπες, γυναιμανέες, μελανόχροοι, ἀπύνακτοι, αἰχητοί, οἰνόμοροι, σιδηροφόροι, χαλκοχίτωνες, ὁμόζυγες, Ἐρυθραῖοι, θρασέες, ὑλοκάρηνοι, εὐπήληκες, κυανόχροες, δολορραφέες, φόνιοι, τολμήεντες, ὑψίλοφοι, ἀκανθοφόροι, ἑτερότροποι, ἀρχμανέες, δασπλῆτες, πολυσπερέες, μειλίχιοι, ἀμεμφέες, ἀβάκχευτοι, χαμαιγενέες, δορυθρασέες, ἔμφρονες.

Ἰνώ Ino.

καλλίσφυρος	Τὸν δὲ ἴδε Κάδμου θυγάτηρ καλλίσφυρος Ἰ	

Ἀγλωοεὶς	Νηπίαχον γὰρ Βάκχον Ἀγλωοεὶς ἔτρεφεν Ἰνώ.	Opp. κυνηγ. δ.
ἄμβροτος	Ἀλλὰ κασιγνήτοι μιαρώτατοι, ἄμβροτος Ἰνώ.	Epigr. lib. 1.
φιλόπαις	Ἦν Ἰνὼ φιλόπαις, ἀλλ' ἀσεβὴς Ἀθάμας.	Eod.
λευκοθέα	Ἰνὼ δὲ λευκοθέα, ποντιᾶν ὁμοθάλαμε Νηρηΐδων.	Pind. Pyth.
	Nonnus Diony∫. ἀκάμαντος, ὑγροβαφὴς, οἰστρηθεῖσα, κεραςφόρος, κουροτρόφος, ἀγλαόπαις, δίγαμος, ὀρεσίδρομος, λυσσὰς, πειθὰς, πλησίπονος, ἀκήρυκτος, ποικιλόδακρυς, ποδηνέμος, ὀρεσίδρομος, ποντιὰς, θαλασσόνομος, μαῖα Διωνύσοιο, κυανόπεζα, ὑδριὰς, ἄσαπος, καλλοτόκος, βοόκραιρος.	

Ἴξαλος caper.

εὐπώγ. αἰγὸς π.	Ἴξαλος εὐπώγων αἰγὸς πόσις.	Epigr. lib. 1.
δίκερως &c.	Δικραίρῳ δικέρωτι, δασυκνάμῳ δασυχαίτᾳ Ἰξάλῳ.	Epigr. lib. 6.

ἰξός viscus.

ὑγρὸς, μελίχροος	Καὶ δολιχαὶ θώμιγγες, ὑγρός τε μελίχροος ἰξός.	Opp. κυνηγ. α
δήϊος	Οὔτε γὰρ ὀρνίθων σφε δαμάσσατο δήϊος ἰξός.	Id. κυνηγ. γ.
θηρευτής	Φοιτῶ, θηρευτὴν ὄμμασιν ἰξὸν ἔχων.	Epigr. lib. 7.

ἰοδόκη pharetra.

πικρὴ, πυρφόρος	Νήπιε, ποῦ πικρὴ πυρφόρος ἰοδόκη.	Epigr. lib. 4.

Ἰόλαος Iolaus.

κυδάλιμος	Ἦλθ' Ἡρακλῆος καὶ κυδαλίμου Ἰολάου.	Hesiod. Scu.
κρατερός	Ὅς ῥα ἡνίοχον προσέφη κρατερὸν Ἰόλαον.	Ibidem.
[illegible]διοτρεφής	Ἥρως ὦ Ἰόλαε διοτρεφὲς, οὐκέτι τηλοῦ.	Ibidem.
[illegible]ης	Οὐδ' Ἰφικλείδην δεδίξεται &c.	Ibidem.
	-- τότε δή ῥα διόγνητος Ἰόλαος Σμερδαλέου &c.	Ibid.
	[illegible]φιτρυωνιάδης σὺν ἀρηϊφίλῳ Ἰολάῳ.	Id. Theog.
	[illegible]ος δ' ἔχεν Ἡρακλῆα θαρσαλέον τ' Ἰόλαον	Calab. lib. 6.

ἱππόμητις

ἰσοπόμηνις	Ἦ ὅτ' ἀμφ' Ἰόλαον ἰσοπόμηνιν.	Pind. Isthm.
ἀσπιστής	Ἀσπιστὰς Ἰόλαος, ὃς κοινοὺς αἰρόμενος πόνους.	Eurip. Ione.

ἴον viola.

μέλαν	Καὶ τὸ ἴον, μέλαν ἐστὶ, καὶ ἁ γραπτὰ ὑάκινθος.	Theoc. εἰδ. ι.
λευκόν	Ἤδη λευκὸν ἴον θάλλει, θάλλει δὲ φίλομβρος Νάρκισσος.	Epigr. lib. 7.
κυαναυγές	Καὶ νάρκισσος ὑγρὸς, καὶ κυαναυγὲς ἴον.	Eod.

Ἰορδάνης Iordanes.

ἀργυροδίνης	Τίπτε καλὸν ῥέεθρον Ἰορδάνη ἀργυροδίνη.	Cyr. Theod.
καλλίροος	Καὶ τοῦ Ἰορδάνεω ἀπὸ καλλιρόοιο ῥεέθρων.	Dolsc.

ἰός sagitta, venenum.

ταχύς	Τλαίης μέν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν.	Hom. Il. δ.
ἀβλής, πτερόεις	-- ἐκ δ' ἕλετ' ἰὸν Ἀβλῆτα, πτερόεντα.	Eod.
ὠκύμορος	-- ποῦ νύ τοι ἰοὶ Ὠκύμοροι.	Idem Il. ο.
πολύστονος	Αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός.	Eod.
χαλκοβαρής	Ἰὸς χαλκοβαρὴς, τόξον δέ οἱ ἔκπεσε χειρός.	Eod.
χαλκήρης	-- ὄφρα οἱ εἴη ἰοὺς χρίεσθαι χαλκήρεας.	Id. Odyss. α.
καρτερός	Πείνυ γ' οἱ ἰὸν ἐφῆκεν ἄναξ ἑκαεργὸς Ἀπόλλων Καρτερόν.	Id. hymn.
ὠκύς	Λύετο καμπύλα τόξα, κατέρρεον ὠκέες ἰοί.	Tryphiod.
ἀλγήεις	Ἰοδόκην ὤμοισιν ἔχων καὶ ἀλγήεας ἰούς.	Calab. lib. 3.
λυγρός	Ἔκπροθεν ἀπροφάτοιο λυγρῷ βεβολημένος ἰῷ	Eod.
ἀλγινόεις	Αἰεπὺς ἀλγινόεντι δέμας βεβολημένος ἰῷ.	Idem lib. 6.
εὐγλώχιν	Ἰῷ εὐγλώχινι βαλὼν αἰζηὸς ὀλέσσῃ.	Idem libr. 8.
στυφελός	Ἰοῦ ἀπὸ στυφελοῖο, τόν οἱ ἀπομόρξατ' ὀδοῦσι.	Id. lib. 9.
ἀμείλιχος	Εἴρυσε, κυκλώθη δὲ κέρας καὶ ἀμείλιχος ἰός.	Idem lib. 10
δυσηχής	Ἰοῦ ἀπεσσυμένοιο δυσηχέος, οὐδ' ἀφάμαρτε.	Eod
ὀλοός	Αὐ δὲ Φιλοκτήτης ὀλοῷ βάλε Πειρασίδην ἰῷ.	dem lib. 11.
φαρμακόεις	Κεῖσθαι φαρμακόεντα δι' ἤπατος ἰὸν ἔχοισα.	The [illegible]

κρυερός	Ὁλκὸς ἄγει, κρυερὸν δὲ πάλιν μετεχεύατο ἰόν.	Opp. ἁλ. α.
βαρύς	Ερχομένοις λάμπεσκε, βαρὺν δ' ἐξέπτυον ἰόν.	Theoc. εἰδ. λα
ἐχέστονος	-- περὶ δ' ἰὸν ἐχέστονον εἶθαρ ἔβησα.	Id. εἰδ. λβ.
πολυώδυνος	Ἀλλ' οὐδ' ὡς ὑπὸ βύρσαν ἔδυ πολυώδυνος ἰός.	Eod.
ἐχιδναῖος	Ἰὸν ἐχιδναῖον πέμπουσ' ἐπὶ σοῖσι καλοῖσι.	Nazianz.
λευγαλέος	Ἰοῖς δαμνασθεὶς λευγαλέοισι μόρῳ.	Dolsc.
φθισήνωρ	Οὐρανόθεν δὲ βαλὼν ἃ βέλη φθισήνορας ἰούς.	Idem.
ὀξύς	Ὀξέες οἱ ἰοί, δηλήμονες οἱ σευ ὀϊστοί.	Idem.
θανατηφόρος	Τῶν δὲ καὶ ἐκ στόματος χεῖται θανατηφόρος ἰός.	Sibyll.
κακοεργός	-- κακοεργὸς ὁμῶς ἐνιτέτροφεν ἰός.	Nicand. Th.
θυμοφθόρος	Ἀνδρὸς ἐνισκήψῃ χολόων θυμοφθόρον ἰόν.	Ibid.
ἀμείλικτος	Ἔνθεν ἀμείλικτον γυίοις ἀνερεύγεται ἰόν.	Ibid.
χολόεις	Πιδύεται χολόεντι νέον πεφορυγμένον ἰῷ.	Ibidem.
χολοιβόρος	Φύρσας δὲ πληγῇσι, χολοιβόρον ἰὸν ἐρύξεις.	Ibidem.
ὁλοφώϊος	-- νέμεται μέγας ἤδ' ὁλοφώϊος ἰὸς Πᾶν δέμας.	Ibidem.
μελάγχιμος	Ἀλλά κεν ὡς τὰ πρῶτα μελάγχιμον ἰὸν ἐνείη.	Apoll. lib. 4.
ζαμενήχολος	Πευκεδανοῦ, θανάτοιο φίλον, ζαμενήχολον ἰόν.	Opp. κυνηγ. γ.
ὠκύβολος	Ἀλλ' ὁ μὲν ὠκυβόλων ἰῶν κράτος.	Epigr. lib. 6.
τηλέβολος	Καὶ γὰρ τηλεβόλοις ἰοῖς, καὶ χερμάδι αἰνά.	Eod.
λυσσητήρ	Ἀνέρα λυσσητῆρι κυνὸς βεβολημένον ἰῷ.	Eod.
κομήτης	Ἦ κεν κομήτην ἰόν, ἐς δὲ πλεύμονας.	Soph. Trach.
μελάγχολος	-- ᾗ μελαγχόλους ἔβαψεν ἰοὺς θρέμμα Λερναίας ὕδρας.	Ibid.
βροτοφθόρος	Πολλάκι μὲν θανάτοιο βροτοφθόρον ἔκφυγεν ἰόν.	Procl. Lyc.
ὀλεσίμβροτος	Νέρθεν ὑπὸ κνήμης ὀλεσίμβροτον ἰὸν ἐλάσσας.	Orph. λιθ.

Nonn. Dionys. ἀκοντιστήρ, ὑποκάρδιος, μιαιφόνος, τανυπτέρυξ, φαρμακόεις, δολιχόσκιος, γλυκύς, γάμιος.

Ἰουδαία Iudaea.

ἐρατεινή	Ἄστεα δ' ἀϋστήσει Ἰουδαίης ἐρατεινῆς.	Apolinar.
θεογλυής, πάμπλυτος, χαρίεσσα	Θεογλυὴς πάμπλυτε.	Sibyll.
	Ἰουδαία χαρίεσσα καλὴ πόλις &c.	Mox.

Ἰουδαῖοι Iudaei.

[illegible]	-- ὑψινόων δὲ	Nonnus.
	Λαὸς Ἰουδαίων φιλοπευθέα ῥήξατο φωνήν.	

ἀντίβιοι

ἀντίβιοι	Τίς μιν ἀνὴρ ἤμελλεν Ἰουδαίοις παραδώσειν Ὤνιον ἀντιβίοισι.	Idem.
θεοστυγεῖς	Ὅς σε θεοστυγέεσσιν Ἰουδαίοις παραδώσει.	Idem.
πολύμοχθοι	Ἐργοπόνοι παλάμαι Ἰουδαίων πολυμόχθων.	Cyr. Theod.
ἀχάριστοι	Μάννα Ἰουδαίων ἀχαρίστων θρέψε γενέθλην.	Idem.
ἀλάστορες	Οὐκ, ἀλλὰ παῖς θνήσκει σὸς ὑπ᾽ ἀλαστόρων.	Nazianz.
μιαιφόνοι	Ὡς πάννυχον κρίνουσιν οἱ μιαιφόνοι.	Idem.
μεγάθυμοι	Τῷ δὲ δὴ πλείστους ὅγ᾽ Ἰουδαίων μεγαθύμων.	Castalio.
ὑπερηνορέοντες	Τοὺς δ᾽ ἄρ᾽ Ἰουδαῖοι ὑπερηνορέοντες ἴηλαν.	Idem.
μάκαρες, οὐρανίωνες &c.	Sibylla, citante Lactantio lib. 4. de vera sap. cap. 21. Ἰουδαίων μακάρων θεῖον γένος οὐρανιώνων.	

Ἰούδας *Iudas traditor.*

θεοκτόνος, Ἰσκ.	Πέμπω δ᾽ ἴσα φέροιτο θεοκτόνος Ἰσκαριώτης.	Nazianz.
φιλοκτέανος	Ἄρτον ἔσω κήρυκα φιλοκτεάνοιο φονῆος.	Nonnus.
δήϊος, ἀλλοπρόσαλλος	Idē vocat eū δήϊον, ἀλλοπρόσαλλον, διάβολον, vt etiam Christus apud Ioannem cap. 6.	
ἐπίκλοπος	Ἁγνοτόκου Σίμωνος ἐπίκλοπον υἱὸν Ἰούδαν.	Idem.
χρυσομανής	Χρυσομανὴς δολίης πεφορημένον ἐς λίνον ἄγρης	Idem.
δολοπλόκος	Καὶ φθονεροῖς στομάτεσσι δολοπλόκος εἶπεν Ἰούδας.	Idem.
δυωδεκάριθμος	Ἀλλ᾽ ὅτι νόσφι βέβηκε δυωδεκάριθμος Ἰούδας.	Idem.
ἀναιδής	Βάψας ὕστατον ἄρτον ἀναιδέϊ δῶκεν Ἰούδᾳ.	Idem.
ἄστοργος	Χρυσομανὴς ἄστοργος ἀνὴρ ἐμὸν ἄρτον ἐρέπτων.	Idem.
θρασύς	Υἱὸς Ἰακώβοιο, καὶ οὐ θρασὺς Ἰσκαριώτης.	Idem.
ἀβέλτερος	Εἷς δ᾽ ἄρα τῶν ἐξώλετ᾽ ἀβέλτερος Ἰσκαριώτης.	Cyr. Theod.
θρασύχειρ	Δέρκεο τὸν θρασύχειρα, τὸν αὐθάδη.	Idem.
κακότεχνος	Ὤφελες ὦ κακότεχνε καθευδέμεν Ἰσκαριῶτα.	Idem.
δολομήτης	Τίπτε φιλεῖς δολομῆτα διδάσκαλον ἐσθλὸν Ἰούδα	Idem.
κακοεργός	Τίπτε φίλων κακοεργὲ μαχαιροφόρος ποτὶ ἄρνα.	Idem.
ἀργυροδέκτης	Ἀργυροδέκτης, δύστροπος μύστις λέγει.	Nazianz.
ἀργυροφύλαξ	Ἀργυροφύλαξ ἀργυροτρώκτης πλέον.	Idem.
μαινόλης	Ἢ ὡς λαβὴ δράματος ἦν τῷ μαινόλῃ.	Idem.

παγκάκιστος	Ὦ παγκάκιστε, τοῦτο νῷν σ' εἰπεῖν ἔχω.	Idem.
ἀργυραμοιβός	Ἀργυραμοιβὲ, ποῦ συνείδη τῷ λόγῳ.	Idem.
μιαιφόνος	Ὦ δύστροπ', ὦ κάκιστε, ὦ μιαιφόνε.	Idem.
αἰσχροποιός	Ἔῤῥ' αἰσχροποιὲ, φιλίας διαφθορεῦ.	Idem.
ἀπεμπολητής	Ἀπεμπολητὴς αἰσχρὸς ἐξ ὀπαόνων.	Idem.
ἄπιστος, ἄθεος	Ἄπιστον, ἄθεον, παράνομον, ἄδικον·	Idem.
&c.	Κλέπτην γὰρ ὄντα, καὶ θεοῦ ῥάπτην φόνου.	
σχέτλιος	Σχέτλιος ὀμβριμοεργὸς, ὃς οὐκ ὄθετ' αἴσυλα	Falconia
ὀμβριμοεργὸς	ῥέζων. mox; Κερδαλεόφρων, ποικιλομή-	Proba in
κερδαλ. &c.	της &c.	Iudam.
	Ἰουλιανός *Iulianus Cæsar Apostata.*	
ψυχῶν ὀλετήρ	Δεινὸν Ἰουλιανοῖο κράτος ψυχῶν ὀλετῆρος.	Nazianz.
	ἴουλος *lanugo.*	
καλός	Στέφεται καλοῖς ἰούλοις Χαρίτεσσι συγχορεύων	Anacr.
ἁβρός	- Παρνηΐδος ἁβρὸς ἴουλος.	Orph. Arg.
χνοάων	Τοῖος ἔην Διὸς υἱὸς, ἔπι χνοάοντας ἰούλους	Apoll. lib. 2.
	Ἀντέλλων.	
ἁπαλός, νεοτρ.	Φελκτὸς ἔην, ἁπαλοῖς τε νεοτρεφέεσσιν ἰούλοις.	Christod.
	Ἵππα *Hippa, Bacchi nutrix.*	
	Ἵππαν κικλήσκω Βάκχου τροφὸν, εὐάδα κού-	Orph. hym.
	ρην·	
	μυστιπόλον χθονίην, βασίλειαν καλλιπάρηον &c.	
	Ἱπποθόη *Hippothoë.*	
ἐρόεσσα	Ἱπποθόη τ' ἐρόεσσα, καὶ Ἱππονόη ῥοδόπηχυς.	Hesiod. Th.
ἐείθυμος	Ἠδὲ καὶ Ἀντιβρότην, μετὰ δ' Ἱπποθόην ἐείθυ-	Calab. lib. 1.
	μον.	
	Ἱπποκράτης *Hippocrates.*	
Θεσσαλ. Κῷος	Θεσσαλὸς Ἱπποκράτης Κῷος γένος, ἐνθάδε	Epigr. lib. 3.
	κεῖται.	
[illegible] μερόπων	Ἰητὴρ μερόπων Ἱππόκρατες, ἀλλὰ καὶ ἵππων.	Epigr. lib. 4.

παιήων

παιήων μερόπ.	Παιήων μερόπων Κῷος Ἱπποκράτης.	Eod.
	Ἱπποκρήνη Hippocrene.	
Ἑλικωνὶς, &c.	Ἵππω ἐπὶ κραίνα Ἑλικωνίδι καλὰ ῥεοίσα.	Callimach.
εὐύδρης	Καλὸν ὕδωρ ἀγαγεῖν εὐύδρεος Ἱππουκρήνης.	Aratus.
	Ἱππολύτη Hippolite.	
φιλοπτόλεμος	Πεζὸς ἔβη ζωστῆρα φιλοπτολέμοιο κομίζων Ἱππολύτης.	Apoll.lib. 1.
τοξοδάμνος	Τὴν τοξοδάμνου νοσφίσας Ὀρθωσίαν.	Lycoph.
φίλιππος	Ὁ τῆς φιλίππου παῖς Ἀμαζόνος βοᾶ.	Eurip.Hipp.
	ἵππος equus, equa.	
	ἵπποι equi, equæ.	
ὠκύποδες	Εὖ δέ τις ἵπποισιν δεῖπνον δότω ὠκυπόδεσσι.	Hom. Il. β.
ποδώκεες	Τὰς Εὔμηλος ἔλαυνε ποδώκεας, ὄρνιθας ὥς.	Id. Bœot.
ὄτριχες	Ὄτριχας οἰετέας, σταφύλῃ ἐπὶ νῶτον ἐΐσας.	Ibid.
ὠκέες	Τὼ δὲ διὰ σκαιῶν πεδίον δ' ἔχον ὠκέας ἵππους.	Id. Iliad. γ.
ἀερσίποδες	Ἵπποι ἀερσίποδες, καὶ ποικίλα τεύχε' ἔκειτο.	Eod.
μώνυχες	Αὐτώ τε κτείνῃ, καὶ ἐλάσῃ μώνυχας ἵππους.	Eod.
μήστωρες φόβου	Τὼ δὲ δύ' Αἰνείᾳ δῶκεν, μήστωρε φόβοιο.	Eod.
καλλίτριχες	-- καλλίτριχας ἵππους Ἐξέλασε Τρώων.	Eod.
κρατερώνυχες	Αἶψα δὲ Τυδείδην μέθεπε κρατερώνυχας ἵπποις.	Eod.
ταχεῖς	-- ἠέρι δ' ἔγχος ἐκέκλιτο, καὶ ταχέ' ἵππω.	Eod.
χρυσάμπυκες	Πολλὰ λισσομένη χρυσάμπυκας ἤτεεν ἵππους.	Eod.
κεντρηνεκέες	Τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους.	Eod.
ὑψηχέες	Τόσσον ἐπιθρώσκουσι θεῶν ὑψηχέες ἵπποι.	Eod.
χαλκόποδες	Ὣς εἰπὼν, ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω.	Iliad. θ.
ὠκυπέται, κομ.	Ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν κομόωντε.	Eod.
βραδέες	Ἠπεδανὸς νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.	Eod.
πηγοί, ἀθλοφ.	-- δώδεκα δ' ἵππους Πηγοὺς ἀθλοφόρους.	Iliad. ι.
ἐριαύχενες	Δώσω γὰρ δίφρον τε, δύω τ' ἐριαύχενας ἵππους,	Iliad. κ.
ξανθαί	Ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.	Iliad. λ.

αἴθωνες	-- ὃν Ἀρίσβηθεν φέρον ἵπποι Αἴθωνες μεγάλοι.	Iliad. μ.
ἐΰσκαρθμοι	Τὸν δ' ἐς Ἀχαιῶν νῆας ἐΰσκαρθμοι φέρον ἵπποι.	Iliad. ν.
ἐρυσάρματες	Πάντες ὁμοκλήσαντες ἔχον ἐρυσάρματας ἵπποις.	Iliad. ο.
ἄμβροτοι	-- Τὸν δ' ἔκφερον ὠκέες ἵπποι Ἄμβροτοι.	Iliad. π.
κυανοχαίτης	Ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτη.	Iliad. υ.
ἐΰτριχες	Ἀντίλοχος δὲ τέταρτος ἐΰτριχας ὡπλίσαθ' ἵπποις.	Iliad. ψ.
ἀργίποδες	Ἵπποις ἀργίποδας, τοί τ' ἀθανάτοις φορέουσι	Idem hym.
ἀελλόποδες	Γαθόσυνος δ' ἵπποισιν ἀελλοπόδεσσιν ὀχεῖτο.	Ibid.
εὐγενέες	Ἵπποις δ' εὐγενέας δίζεσθαι μὲν κατ' οἶκον.	Phocyl.
χαιτήεσσαι	Ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης.	Idem.
τανυπτέρυγες	Ἀλλ' ἵπποις ἔμβαλλε τανυπτερύγεσσι χαλινούς.	Theogn.
Θρηΐκιοι	Ἵπποι Θρηΐκιοι, Λακεδαιμόνιαί τε γυναῖκες.	Apollo Del.
ὁμόζυγες	Οἰκτρὰ κάτω μύοντες, ὁμόζυγας ἔστενον ἵπποις.	Tryphiod.
θοοί	Δυεῖ ὑπεσπαίρουσα, θοῷ δ' ἐπικέκλιτο ἵππῳ.	Calab. lib. 1.
ἐλαφρόποδες	Οἱ δ' ἄφαρ ἐγκονέοντες ἐλαφροπόδων μένος ἵππων.	Id. lib. 4.
ἀνδροβόροι	Θρηϊκίων ἀνὰ γαῖαν ἔσαν Διομήδεος ἵπποι Ἀνδροβόροι.	Id. lib. 6.
ἀτειρέες	Αὐτὸς δ' εἰς θοὸν ἅρμα φορῶν καὶ ἀτειρέας ἵππους	Idem libr. 8.
ἀκάμαντες	Ἠέλιος δ' ἀκάμαντας ὑπὸ ζόφον ἤλασεν ἵπποις.	Eod.
ζευγήτιδες	Ἐξότ' ἐπ' Ἀμφρυσσῷ ζευγήτιδας ἔτρεφεν ἵπποις.	Callimach.
πολεμήϊοι	Καὶ τὸν ἀεθλοφόρον, καὶ τὸν πολεμήϊον ἵππον.	Idem.
λευκότριχες	Χῶσαι τὸν κάλαθον λευκότριχες ἵπποι ἄγοντι.	Idem h. 6.
στεφανηφόροι	-- ἵπποι Οἵ σφισιν ἐξ ἱερῶν στεφανηφόροι ἦνθον ἀγώνων.	Theoc. εἰδ. ις
Θεσσαλοί	Ἢ κάπῳ κυπάρισσος, ἢ ἅρματι Θεσσαλὸς ἵππος	Id. εἰδ. ιη.
ἀποπτυστὴρ χαλ.	Ὄφρα κεν ὡς θοὸν ἵππον ἀποπτύσειε χαλινοῦ.	Nazianz.
πτερόεντες	-- οὐδὲ μὲν ἵππους Εὐγενέτας πτερόεντας.	Idem.
θρασεῖς	Πεῖρεν ἀνακρούων, ὥστε θρασὺν ἵππον ἐέργων.	Opp. ἁλ. γ.
συνάεθλ.	Θυμαίνων, συνάεθλος, ἀρήϊος, ὄμβριμος ἵππος	Id. κυνηγ. α.

ἐνυάλ

ἐνυάλιος	Ἵππος ἐνυάλιος τοῦ Μακηδονίου βασιλῆος.	Eod.
Νυσαῖοι	Κάλλεϊ δ' ἐν πάντεσσι πέλει πανυπείροχος ἵππος Νυσαῖος.	Eod.
κλυτ. μεγαλήτ.	Ἵππον δ' ἐγγὺς ἰόντα κλυτοῦ μεγαλήτορα μίμνη.	Eod.
κρατεροί, ἀγε.	Ἵπποισι κρατεροῖσιν ὁμήθεες ἀγρευτῆρσι.	Eod.
καναχήποδες	Ἠ ὁπότε προπάροιθεν ἴῃ καναχήποδος ἵππου.	Id. κυνηγ. β.
χαροποί, μεγαλ.	Ἵππους μὲν χαροποὺς μεγαλήτορας ἀρτιώαντες	Id. κυνηγ. δ.
πέτρωροι	Τετρώροις ἵπποισιν ὑπ' Ατθίδος ἤγαγες ἄντρον.	Orph. hym.
ἀγλαός	Πάντοθεν αἰγλήεις κεκορυθμένος, ἀγλαὸν ἵππον.	Epigr. lib. 4.
φερένικος	Καὶ φερενίκου χάρις νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν.	Pind. Olym.
ἀκαμαντόποδ.	Ὕμνον ὀρθώσαις ἀκαμαντοπόδων ἵππων ἄωτον	Ibid.
ἀγάνορες	Καὶ ἀγάνορος ἵππου θᾶσσον &c.	Ibid.
σιδηροχάρμαι	Ἵππων τε σιδαροχαρμᾶν δαιμόνιαι τροφοί.	Id. Pyth.
λασιαύχενες	Λασιαύχενά θ' ἵππον ἄξεται ἀμφίλοφον ζυγὸν, οὔρειόν τ' ἀδμῆτα ταῦρον.	Sophocles Antig.
φιλιώιοι	Ὑφ' ἅρματ' ἤγαγον φιλιωίους Ἵππους.	Æsch. Prom.
χαλκόκροτοι	Χαλκοκρότων ἵππων κτύπος καὶ χρεμετισμὸς ἀνδάνει.	Aristoph. Equitib.
κυανότειχες	Αὐτὰρ ἔπειθ' ὡς μιν Πλουτεὺς κυανότειχας ἵπποις.	Orph. Arg.
	Nonn. Dionyſ. ἀερσίλοφος, ὑψίλοφος, φορβάδες, ἀελλήεις, λυσσάδες, ἀλίβρεφεῖς, χαλκοχίτωνες, ὑγρόποροι, θυελλόποδες, σιδηρόποδες, Αρκάδες αὐτόποροι, ἀπειθέες, ἅρπαγες, ἀερσιπότητος, ἀγλώωρ, ἀνίκητος, ὑψαύχην, ὁδοιπόρος, ἀκοίμητος, αἰολόδειρος, Θεσσαλὸς, ἀντιπρόποδες, στατὸς, περίγλωσοι: & θαλασσονόμων γένος ἵππων.	
	ἵππος δουράτεος, equus ligneus.	
πελώριος	Τροίης ἐχθρὸν ἄγαλμα πελώριον ἵππον ἐποίει.	Tryphiod.
μενεδήιος	Αὐτὸς ἐπειδὴ πάντα κάμεν μενεδήϊον ἵππον.	Idem.
ἐϋκύμονος	Τοῖσι δ' ἐπὶ κλήϊσε θύρην ἐϋκύμονος ἵππου.	Idem.
τεχνήεις	Οἱ δ' ὅτε τεχνήεντος ἴδον δέμας αἰόλον ἵππου.	Idem.

Αρήϊος	Αθανάτοις δ' ἐκέλευον Αρήϊον ἵππον ἀνάψαι.	Idem.
χρυσείϊος	Ε'λκετ' ἐς ἀκρόπολιν μεγάλην χρυσείϊον ἵππον.	Idem.
αἰόλος, ἐρίηφ.	Εἴπετο δ' αἰόλος ἵππος ἐρίηφιλος ἐπὶ βωμοὺς.	Idem.
μεγεστόκος	Οὐ γὰρ ἵπ' ὠδίνεσσι μεγεστόκον ἵππον ἀνεῖσαι.	Idem.
ὄβριμος	Τέξεται ὄβριμος ἵππος· ἐπὶ χθόνα δ' ἀργὰ θοροῦντες.	Idem.
πολυχανδής	Ρ'ηγνύσθω πελέκεσσι δέμας πολυχανδέος ἵππου	Idem.
εὐήνωρ	Ε'στη παπταίνουσα φυλὴ εὐήνορος ἵππου.	Idem.
μεγακήτης	Καὶ τότε δῖος Επειὸς ὑπὲρ μεγακήτεος ἵππου.	Calab. li. 12.
εὔξοος	Ες δ' ἵππον βαίνομεν εὔξοον.	Eod.
κητώεις	Πρῶτος μὲν κατέβαινεν ἐς ἵππον κητώεντα.	Eod.
περιμήκης	Σφρὴν ἀμφεβάλοντο θοῶς περιμήκεϊ ἵππῳ.	Eod.
λυγρός	Αμφίτυπον βουπλῆγα, λυγρῷ δ' ἐπεμαίνετο ἵππῳ.	Eod.
δολόεις	Ηὖ δ' ὁπόσοι δολόεντος ἐσήλυθον ἔνδοθεν ἵππου.	Id. lib. 14.
οὐράνια βρέμων &c.	Ο'τ' ἔλιπον ἵππον οὐράνια βρέμοντα, Χρυσεοφάλαρον, ἔνοπλον.	Euripid. Troad.

ἵρηξ *accipiter*.

ὠκύπτερος	Αὐτὸς δ' ὥσθ' ἵρηξ ὠκύπτερος ὦρτο πέτεσθαι.	Hom. Il. ν.
ὠκὺς, φασσοφόν.	Ω'κεϊ φασσοφόνῳ, ὅστ' ὤκιστος πετεηνῶν.	Id. Il. ο.
ὠκυπέτης, τὰν.	Ω'ς ἔφατ' ὠκυπέτης ἵρηξ τανυσίπτερος ὄρνις.	Hesiod. lib. 1.
ὠμοβόρος	Ηὖ γναμπτοῖς ὀνύχεσσι πεπαρμένον ὠμοβόροιο Ι'ρηκος &c.	Nazianz.

Ι'ρις *Iris*.

ποδήνεμος, ὠκ.	Τρωσὶν δ' ἄγγελος ἦλθε ποδήνεμος ὠκέα Ι'ρις	Hom. Bœot.
χρυσόπτερος	Ι'ριν δ' ὤτρυνε χρυσόπτερον ἀγγελέουσαν.	Iliad. θ.
ταχεῖα	Βάσκ' ἴθι Ι'ρι ταχεῖα, πάλιν τρέπε.	Eod.
ἀελλόπος	Ω'ς ἔφατ'· ὦρτο δὲ Ι'ρις ἀελλόπος ἀγγελέουσα.	Eod.
πορφυρέη	Ηύτε πορφυρέην Ι'ριν θνητοῖσι τανύσσῃ.	Iliad. ρ.

Nonn. Dionys. πολύχροος, ἄγγελος Διὸς ἄγγελος, ἀελλήεσσα, εὔλοχος, μήτηρ ἔρωτος, ἄσκοπος, θεὰ παλινόστιμος, ἑτερόχροος, ἀγλαόπηχυς, Διὸς ἄγγελος.

Ι'ερὸς

Ἶρος Irus.

ἄϊρος	Ἦ τάχα Ἶρος ἄϊρος ἐπίσπαστον κακὸν ἕξει.	Hom. Od. σ.
ἀλήτης	Τὸν δὲ χολωσάμενος προσεφώνεεν Ἶρος ἀλήτης	Eod.
δημοβόρος	Ἥρως Ἀτρείδης, Ἶρος δημοβόρος.	Nazianz.

ἰσθμός Isthmus.

πιτυώδης	Καὶ λίαν πάντες γε πέραν πιτυώδεος ἰσθμοῦ.	Theo. εἰδ. κϛ.
ἄσπετος	Σκαιῇ δ' Αὐσονίων περιπέπλαται ἄσπετος ἰσθμὸς	Dionys.
πουλυτενής	Πουλυτενής.	
πλατύς	Πρὸς νότον· ἤπειρον γὰρ ἐπὶ πλατὺς ἔρχεται ἰσθμός	Idem.
ἐεργόμενος, στεν	Ἄκρῳ μὲν γὰρ ἔοικεν ἐεργόμενος στενὸς ἰσθμός.	Idem.
Κορίνθιος	Μέχρις ἐπ' ἰσθμὸν ἔκελσε Κορίνθιον.	Epigr. lib. 1.
κλεινή	Κλεινᾷ τ' ἐν Ἰσθμῷ τετράκις εὐτυχέων.	Pind. Olym.
ποντία	Ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμὸν ποντίαν	Ibid.
κλειτή, Δωρία	Ποτὶ κλειτὰν θαμὰ νίσεται Ἰσθμὸν Δωρίαν.	Id. Nem.

Nonnus Dionys. ἁλίζωνος.

Ἴσις Isis.

μελανηφόρος, σ.	Σὺν σῇ μητρὶ θεᾷ μελανηφόρῳ Ἴσιδι σεμνῇ.	Orph. hym.
καρποτόκος, τ.	Ἴσιδι καρποτόκῳ, ταχυμήτρει, μυριομόρφῳ.	Epigr. lib. 4.

Ἰσμηνός Ismenus.

μελάμψηφις	-- μελαμψήφιδος ἔχουσαι Ἰσμηνοῦ χέρα παιδός.	Callimach.

ἱστορία historia.

Diuus Greg. Nazianz. in carminib. suis sacris, ἱστορία φρενὸς ἔμπλεος, συμφερτὴ σοφία, πολλῶν νόος. Cicero: *Historia est testis temporum, lux veritatis, vita memoriæ, magistra vitæ, nuntia vetustatis* &c.

ἱστός malus nauis.

εἰλάτινος	Ἱστὸν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης.	Hom. Od. β.
ἀμαιμάκετος	Ἱστὸν ἀμαιμάκετον νηὸς κυανοπρῴροιο.	Idem Od.

	ἱστός tela, penſum.	
δίπλαξ, μαρμαρέη	-- ἡ δὲ μέγαν ἱστὸν ὕφαινε Δίπλακα μαρμαρέην.	Hom. Iliad. ſ.
λεπτός, περιμετ.	-- ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε Λεπτὸν καὶ περίμετρον.	Idem Od. β.
ἀγλαός	Καὶ τήν γ' ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν.	Eod.
πολυδαίδαλος	Ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν.	Hesiod. li. 1.
λινεργής	Οἱ δ' ἱστοὺς ὑφόωσι λινεργέας, οἱ δ' ἐλεφάντων.	Dionyſ.
καλλίφθογγος	Οὐδ' ἱστοῖς ἐν καλλιφθόγγοις κερκίδι Παλλάδος Ἀτθίδος εἰκὼ Τιτανίων ποικίλλουσα.	Eur. Iph. T.
	Nonnus Dionyſ. ὑψικάρηνος, πολύκροτος.	
	Ἴστρος Iſter.	
καλλιρέεθρος	Στρυμόνα Μαίανδρόν τε καὶ Ἴστρον καλλιρέεθρον.	Hesiod. Th.
ἱερός	Ῥείῳ δ' ἑξείης ἐπιπέλλεται ἱερὸς Ἴστρος.	Dionyſ.
εὐρὺ ῥέων	Ἴστρῳ ἐπ' εὐρὺ ῥέοντι κυνήσατο τοξευτείρα.	Opp. κυνηγ. γ.
κελαινός	Ὑπὲρ κελαινὸν Ἴστρον ἤλασαν Σκύθας.	Lycoph.
	Nonn. Dionyſ. ὑγροπαγής.	
	ἰσχίον vertebrum coxarum, coxendix.	
βαρύγουνον	Κεκλιμένοι βαρύγουνον ἐπ' ἰσχίον εὐνάζοντο.	Coluth.
κοῖλον	Κοῖλον ὑποκρύψαντες ἐς ἰσχίον ἔνθεσαν ἵππου.	Tryphiod.
	ἰσχύς vis, robur.	
ἄπλατος, κρατ.	Ἰσχὺς δ' ἄπλατος κρατερή, μεγάλῳ ἐπὶ εἴδει.	Hesiod. Th.
κρατεραλκής	Αὐτὴ κατ' ἐχθιόνων κρατεραλκέα ὤπασεν ἰσχύν.	Cyr. Theod.
ὑπερμεγέθης	Λῦσ' ὁ ὑπερμεγέθη κύελος ἰσχὺν ἔχων.	Dolſc.
ἄπλετος	Ὁρμιᾶτ' Ἰδαίων Κορυβάντων ἄπλετον ἰσχύν.	Orph. Arg.

Ἰταλία

	Ἰταλία *Italia.*	
εὐρεῖα	Καὶ Τίτος εὐρείας ἄγαγ' ἀπ' Ἰταλίας.	Epigr. lib. 1.
τεναγώδης	Ῥήγιον Ἰταλίης τεναγώδεος ἄκρον ἀείδω.	Epigr. lib. 3.
κραναή	Σκυλοφόρος, κραναῆς τέρμα παρ' Ἰταλίης.	Epigr. lib. 6.
Τυρσηνία	Πάλιν πλανήτην δέξεται Τυρσηνία.	Lycoph.
κλυτή	Κλυτὰν ὃς ἀμφέπεις Ἰταλίαν.	Soph. Antig.
	Nonn. Dionys. ιγ' τείλοφος. ita enim est legendum, non τέλοφος, vt vulgatũ exemplar habet. Est tamen id etiam epitheon Siciliæ, vt suo loco annotatum.	
	ἰτέα *salix.*	
ὠλεσίκαρπος	μακραί τ' αἴγειροι, καὶ ἰτέαι ὠλεσίκαρποι.	Hom. Od. κ.
	ἴτυς *circumferentia, vmbo.*	
χρυσῆ, ἄφθιτος	Τῶν ἤτοι χρυσέη ἴτυς ἄφθιτος.	Hom. Iliad. ε.
κυκλόεσσα	Ἀλλ' ὄλετ' ἀμφ' ἑτάρων χῶ· κυκλόεσσαν ἴτυν.	Epigr. lib. 3.
καμπυλόεσσα	Γυρῶν τ' ἀγκίστρων καμπυλόεσσαν ἴτυν.	Epigr. lib. 6.
	Nonn. Dionys. ποικιλόνωτος, εὔκυκλος, ἐρχόεσσα.	
	Ἴτυς *Itys, Terei & Progenes fil.*	
πολύδακρυς	Τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτυν.	Arist. Auib.
	Nonn. Dionys. τετράπλευρος.	
	ἰϋγή *sibilus, clamor.*	
	Apollo apud Herodot. in Vrania.	
βαρβαρόφωνος	Ἑλλήνων συνόδου, καὶ βαρβαροφώνου ἰϋγήν.	
	Ἰφιγένεια *Iphigenia.*	
	Nonn. Dionys. ψευδήμων, ἀνύμφευτος, ἑσσομένη Ἀχιλῆος παρευνέτις.	
	Ἰφιδάμας *Iphidamas.*	
Ἀντηνορίδης	Ἰφιδάμας Ἀντηνορίδης ἠΰς τε μέγας τε.	Hom. Ilia[d]

Ἰφικλῆς ἢ Ἴφικλος Iphiclus.

μεγάθυμος	Ἰφικλέης μεγάθυμος ἐπ' οὔδεϊ κάππεσ' ὀλισθών	Theoc. εἰδ. κϛ
ζακέσπαλος	Ὡς ἐν γῇ λελίασο ζακέσπαλος Ἰφικλέης.	Ibidem.
ἀκράχολος	Ξηρὸν ὑπαὶ δείης ἀκράχολον Ἰφικλῆα.	Idem εἰδ. λα.
Ἀμφιτρυωνιάδης	Ἀμφιτρυωνιάδαο Θέρων Ἰφικλέος ἔργος.	Nicand. Ter.

Ἴφιτος Iphitus.

μεγάθ. Ναυβ.	Υἱέες Ἰφίτου μεγαθύμου Ναυβολίδαο.	Hom. Bœot.
Εὐρυτίδης	Ἴφιτος Εὐρυτίδης, ἐπιείκελος ἀθανάτοισι.	Idem Od. φ.

ἰχθυβολεύς piscator.

μογερός	Ξέσσειαν μογερῶν υἱέες ἰχθυβόλων.	Epigr. lib. 1.
ἀλίπλοος	Τῷ σφε καὶ ἰχθυβολῆες ἀλίπλοος ὀννάσαιτο.	Callimach.
ὑγρόβιος	Ὑγροβίους δ' ἐρέεινεν ἐθήμονας ἰχθυβολῆας.	Nonnus.
δελαστρεύς	Τοὺς ἁλὸς ἐξρύουσι δελαστρέες ἰχθυβολῆες.	Nicand. Th.

ἰχθύες pisces.

ἱερός	Πέτρῃ ἐπὶ προβλῆτι καθήμενος ἱερὸν ἰχθύν.	Hom. Iliad. π
ὠμησταί	Ἔρχεται ὠμηστῇσιν ἐπ' ἰχθύσι κῆρα φέρουσα.	Idem Iliad. ω.
ἔλλοπες	Ἀργύρεοι δελφῖνες ἐφοίτων ἔλλοπας ἰχθῦς.	Hesiod. Scu.
κυβισταί	Χορὸς ἰχθύων τε κυρτός, Ἐπὶ κυμάτων κυβιστῶν.	Anacr.
ἁπαλός	Ἐν ἅπασιν ἰχθὺς ἁπαλὸς οἷος γέγονέ μοι.	Philemon.
λαμπρός	Ἐν τῇ θαλάττῃ λαμπρὸν ἰχθὺν οὐκ ἐνῆν.	Alex.
σάρκιος	Ἐλπὶς τῶν ὕπνων ζατεῖ τὸν σάρκιον ἰχθύν.	Theoc. εἰδ. κε
εἰνάλιος	Ἰχθύσι δ' εἰναλίοισι νόμος, παύροις μὲν ἄθεσμος. (κων.	Nazianz.
νέποδες	Καὶ νεπόδων ἕλκουσιν ἅπαν γένος ἐξ ἁλὸς ἄρ-	Idem.
ἡδύβορος	Ἀντ' ἄρτοιο φίλοιο καὶ ἰχθύος ἡδυβόροιο.	Idem.
ὀλισθηροί	Ἢ πᾶσιν νεπόδεσσιν ὀλισθηροῖσιν ἀνάσσειν.	Idem.
βύθιοι	Ἄξατε νῦν βυθίων νεπόδων ἑτερόχροον ἄγρην.	Nonnus.
…λλόμενοι	Ἔγκυον ἀλλομένων νεπόδων ἐπιβήτορι παλμῷ	Idem.
…μήκετοι	Καί σφιν ἄναξ παρέθηκε φέρων περιμήκετον ἰχθῦν.	Idem

ἀλιθρέμ

ἀλιθρέμμονες	Ὑγρῷ ἐνὶ σπλάγχνῳ ἀλιθρέμμονος ἰχθύος ἀμάξ.	Cyr. Theod.
ἀφράστοι	-- ὅσσα φῶτες ἐπ' ἰχθύσι μητιάσαντο	Opp. ἁλ. α.
	Ἀφράστοις. (δοις.	
ἄναυδοι	Καὶ σκάρον, ὃς δὴ μοῦνος ἐν ἰχθύσι πᾶσιν ἀναύ-	Eod.
αἰόλοι	Τοίην νηῒ πέδην περιβάλλεται αἰόλος ἰχθύς.	Eod.
ᾠοφόροι	Εἴαρι δὲ πλείστων νεπόδων γένος εἰλείθυιαι	Eod.
	Ὠοφόρων.	
ᾠοτόκοι	Ἰχθύες ᾠοτόκοι, τοὶ μὲν κατὰ χῶρον ἕκαστοι.	Eod.
ὁλοφώϊοι	Ὡς ὅγ' ὑπὲρ κεφαλῆς βροτέης ὁλοφώϊος ἰχθύς.	Id. ἁλ. β.
αἰολόφυλοι	-- μοῦνοι δὲ μετ' ἰχθύσιν αἰολοφύλοις &c.	Eod.
ὑπερφίαλοι	Εσμὸς ὑπερφιάλων νεπόδων θρασύς.	Eod.
πελαγόστροφοι	Γυμνοῖς ἀγκίστροισιν ἑλὼν πελαγόστροφον ἰχθῦν	Id. ἁλ. γ.
βοτανηφάγοι	Σάλπαι τ' ἠδ' ὅσσοι βοτανηφάγοι ἰχθύες ἄλλοι.	Eod.
ἤπιοι	Ὡς ὅγ' ἐπεμβαίνων ἀμελίσσεται ἤπιος ἰχθύς.	Eod.
ἀργεννοί	Μαλθακὸν ἀργεννῶν νεπόδων ἕνα.	Eod.
δαίδαλοι	Ἄσθμος ἀσπαλιεὺς ἐπεδήσατο δαίδαλον ἰχθύν.	Id. κυνηγ. α.
ἀσπαίρων	Ὕψι μάλα θρώσκοντα βυθῶν ὕπερ ἀσπαίροντα.	Eod.
εἰνάλιος ὀρχηστήρ	Εἰνάλιον φορέησι δι' ἠέρος ὀρχηστῆρα.	Eod.
πόντιος	Οὐ βειαρόν τινα θῆρα, καὶ οὐ τινα πόντιον ἰχθύν.	Epigr. lib. 4.
	Nonn. Dionys. ἄφθογγοι, ἀφώνητοι, λιπόγλωσσοι, λιπόφθογγοι, ἀνδροφάγοι, ὑγροπόροι, ναυτίλος.	

ἰχνεύμων ichneumon.

μεγασθενής, αἰό.	Ἰχνεύμον μέγα θαῦμα, μεγασθενές, αἰολόβουλε.	Opp. κυνηγ. γ.
ἀρήϊος	Ἀλλ' οὐκ ἰχνεύμων τότ' ἀρήϊος ἐν ψαμάθοισι.	Eod.

ἴχνος vestigium.

λωβῆεν	Ἴχνια λωβήεντα θοῶν ἀνέφαινον ἱμάντων.	Tryphiod.
ἄψοφον	Μήτε σιωπηλὴν κύθαεν, μήτ' ἄψοφον ἴ-	Callimach.
	χνος.	
ἀλγεινόν	Ὅπερ διανύσας ἴχνεσιν ἀλγεινοῖς ἐγώ.	Lucian.
θερμόν	Σεῦε κύων θερμοῖς ἴχνεσιν ὠκυπόδην.	Epigr. lib. 1.
ἀφαυρόν	Ὄλβος ἀφαυροτάτοισιν ὁμοίϊος ἴχνεσι νηός.	Nazianz.
ἀπλανές	Ἴχνεσιν ἀπλανέεσσιν ἰὼν βασιλήϊον οἶμον.	Idem.
νωθρόν	Εἵλκουσαν μογερῶς ὑγρὸν δέμας ἴχνεσι νωθροῖς.	Idem.

νόσιμον	Νόσιμον ἴχνος ἔκαμψε καταιβάτιν οἶμον ὁδεύων	Nonnus.
ἄβροχον	Ἄβροχον ἴχνος ἔχοντα, βατοῦ ἁλὸς ὀξὺν ὁδίτην.	Idem.
πουλυέλικτον	Ἧχι δὲ πουλυέλικτον ἐμοῦ ποδὸς ἴχνος ἐπείγω.	Idem.
θεόσσυτον	Εἰ μή τις δὲ ἐμοῖο θεόσσυτον ἴχνος ἐπείξῃ.	Idem.
ἀκροσφαλές	Ἤμασιν ἐν πολέεσσιν ἀκροσφαλὲς ἴχνος ἰήλαι.	Nicand. Th.
ἀμώμητον	Καί οἱ ἀμωμήτοισι παρέσσομαι ἴχνεσιν αἰεί.	Apolinar.
ῥινήλατον	Βελθύκερως ἔλαφος ῥινήλατον ἴχνος ἀνεῦρε.	Opp. ἁλ. ϐ.
πολυπλανές	Ἴχνια μαστεύσοντ' ὀλοῶν πολυπλανέα θηρῶν.	Id. κυνηγ. δ.
μεθυσφαλές	Οἰνοβαρὴς, μετὰ δαῖτα μεθυσφαλὲς ἴχνος ἑλίσσει	Epigr. lib. 4.
σοβαρόν	Ὀργιαθεῖσα πατεῖ τοῖς σοβαροῖς ἴχνεσιν.	Epigr. lib. 7.
νεοχάρακτον	Ἴχνη τὰ κείνου νεοχάρακθ' ὅπως ἴδῃς.	Soph. Aiace.
δυστέκμαρτον	Ἴχνος παλαιᾶς δυστέκμαρτον αἰτίας.	Id. Oed. Tyr.
χρυσεοσάνδαλον	Φυγᾷ δὲ ποσὶ τὸ χρυσεοσάνδαλον ἴχνος.	Eurip. Oreſt
	Nonn. Dyonyſ. ἀσκόλον, ἀχάρακτον, ἄβρεκτον, ἄψοφον, μεβητόν, πεδοστειβὲς, φύξιον, βοόστροχον, ἀστήρικτον, εὔπτερον, νοοπλανὲς, φώελον, ὁμόδρομον, εὔϊον, χοροιτύπον, ἀκρόπορον, ὑψίπορον, μετανάστριον.	
	ἰχώρ *ſanies, cruor.*	
φαῦλος	Ἰχῶρι φαύλῳ, καὶ πικρῷ χυμῷ χολῆς.	Lucian.
πικρός	Ἐς γυῖα τὰ λεῖβε πικρῶν ἰχώρων βάθος.	Idem.
αἱματόεις	Αἱματόεντ' ἰχῶρα Προμηθῆος μογεροῖο.	Apoll. lib. 3.
βλαπτήελος	Ἐμβρέφεται βαιὸς μὲν, ἀτὰρ βλαπτήελος ἰχώρ.	Opp. ἁλ. β.
ἀχλυόεις	Ἰχὼρ ἀχλυόεις, ἀνὰ δ' ἔβαπτε πᾶσαν ὀπωπήν.	Id. κυν. δ.
βαρύς	Ἔσβεσε μυκτήρεσσιν ἐνισχόμενος βαρὺς ἰχώρ.	Id. ἁλ. δ.
μέλας	Ἀθρόος ἔνδοθεν ὦκα μέλας καταλείβεται ἰχώρ.	Orph. λίθ.
	Nonn. Dionyſ. φερέκαρπος.	
	Ἰώ *Io.*	
βοῶπις	Οἳ τὴν βοῶπιν ταυροπάρθενον κόρην.	Lycophr.
οἰστροπλήξ	Σῆς οἰστροπλῆγος δῆσος Ἰνάχου κόρης.	Soph. Elect.
βούκερως	Κλύεις φθέγμα τᾶς βούκερω παρθένου;	Æſch. Prom.
οἰστροδίνητος	Πῶς δ' οὐ κλύω τῆς οἰστροδινήτου κόρης, τῆς Ἰναχείης.	Ibid.
δύσπλανος	Φράζε τε δυσπλάνῳ παρθένῳ.	Ibid.

πολύπλαγκτος

πολύπλαγκτος ἀθλία &c.	Καὶ τότε δή τις ἦν ὁ θέλξας πολύπλαγκτον ἀθλίαν οἰστροδόνητον Ἰώ.	Id. Supplic.
κερασφόρος	-- κοινὰ τέκνα παῖς κερασφόρου πέφυκεν Ἰοῦς.	Eurip. Phœ.
	Nonn. Dionys. ταυροφυής, ἄγραυλος, φερέκαρπος, κερασελκής, προτόσπορος.	

Ἰωάννης *Ioannes, Baptista & Euangelista.*

ἐριηχής, πρόδ.	Φωτὸς Ἰωάννην ἐριηχέα πρόδρομον ἄκρου.	Nazianz.
	Ioannes Baptista Nonno dicitur οὐρεσίφοιτος, ἀστὸς ἐρίπνης, κήρυξ βαπτίσματος, θεῖος, λαοσσόος, προκέλευθος, προάγγελος, ἁγνός, πιστός, ἐτυμόθροος κήρυξ, φυγὰς μερόπων, μετανάστης, θεηγόρος, θέσκελος, βαθύδεσμος, προτόθροος, πομπὸς κελεύθου, μάρτυρος ἐμπεδόμυθος.	
ἄγγελος, ὀρέστερος, διήκονος	Cyr. Theod. ἐν τῷ συνόψεων εἰς Ματθαῖον, vocat ἄγγελον, ὀρέστερον, διήκονον λόγου θεοῦ.	
θεοφραδής	Ὣς ἔφατ' οὐδ' ἀπίθησεν Ἰωάννης θεοφραδής.	Castalio.
φωνὴ βοῶντος	Εἰμὶ ἐγὼ φωνὴ δηλοῖσι βροτοῖσι βοῶντος.	Idem.
Ζαχαρίου παῖς	Τέτλα Ἰωάννης ἀγαθὸς παῖς Ζαχαρίαο Βαπτιστής	Idem.
θρασυκάρδιος	Αὐτῇ πείθεσθαι· μάλα γὰρ θρασυκάρδιός ἐστι.	Idem.
κήρυξ μέγας	Πᾶσι δ' Ἰωάννης κήρυξ μέγας οὐρανοφοίτης.	Nazianz.
θεολόγος	Ἔπειτ' Ἀποκάλυψις ἡ Θεολόγου.	Niceph.

ἰωὴ *vox, clamor.*

πολύπλαγκτος	Σκίδναται ἐξ ἀνέμοιο πολυπλάγκτοιο ἰωῆς.	Hom. Iliad. λ
ἐρατή	— ἐρατὴ δὲ διὰ φρένας ἤλυθ' ἰωή.	Idem hym.
αἰπεῖα	Τάρταρον ἠερόεντα, ποδῶν δ' αἰπεῖά τ' ἰωή.	Hesi. Theog.
ἄληκτος	Ἠὲ πολυῤῥοίζων ἀνέμων ἄληκτος ἰωή.	Calab. lib. 1.
ἀλεγεινή	- τῶν δ' ἀλεγεινὴ Ὀρνυμένων ἑκάτερθε πέλει κατὰ πόν-	Idem libr. 8.
γοερή	Ἡ δύ τι μυρομένῳ γοερὴ περιέπλεν ἰωή. (τον ἰωή.	Idem lib. 13.
ζαθέη	Καὶ ζαθέην ἀΐοντες ἀληθέος ἀνδρὸς ἰωήν.	Nonnus.
ἀπειλητήρ	Καὶ οἱ ἀπειλητῆραν ἀνήρυγε λαὸς ἰωήν.	Idem.
μυστιπόλος	Μυστιπόλῳ τὸ πάρ ἴσμεν ἀνευάζοντες ἰωῇ.	Idem.

ἀλεξίμορος	Πάντες ἀλεξιμόροιο ἐμῆς ἀΐοντες ἰωῆς.	Idem.
φερέσβιος	Ανδρείας βασιλῆϊ χέων φερέσβιον ἰωήν.	Idem.
ἀχάλινος	Λαθριδίην, ἀχάλινον ὑποκλέπτοντες ἰωήν.	Idem.
φθονερή	Καί μιν μυστιπόλοι φθονερῇ συφέλιξαν ἰωῇ.	Idem.
φιλήτωρ	Ιησοῦς ἀνέκοψε φιλήτορι Γέτων ἰωῇ.	Idem.
βαρύμηνις	Καὶ Πιλάτος βαρύμηνιν ἀπερροιβδήσεν ἰωήν.	Idem.
ἀείδηλος	Ιησοῦς δ' ἀπάμειπτο χέων ἀείδηλον ἰωήν.	Idem.
ἀμοιβάς	Ιησοῦς δ' ἐρέεινεν ἀμοιβάδι Γέτων ἰωῇ.	Idem.
δύσφημος	-- ὥς κεν ἰωὴ Δύσφημος πλάζοιτο δι' ἠέρος.	Apoll. lib. 1.
	Nonn. Dionyſ. κερδαλέη, ἀγέλαστος, ἀχάλινος.	
	ἰωκή clamor, inſecutio.	
κρυόεσσα	Εν δ' ἔρις, ἐν δ' ἀλκὴ, ἐν δὲ κρυόεσσα ἰωκή.	Hom. Iliad. ε.
	Ιωλκὸς *Iolcus, Theſſaliæ vrbs.*	
εὔκτιμένη	Καί ῥ' οἱ μὲν πλώοντες εὐκτιμένην ἐπ' Ιωλκόν.	Orph. Arg.
Πελασγίς	Γέμπε μιν ἡβήσαντα Πελασγίδος ἔνδον Ιωλκοῦ.	Apoll. lib. 1.
ἱερή	Ο'φρα κακὸν Πελίῃ ἱερὴν ἐς Ιωλκὸν ἵκηται.	Idem lib. 3.
κλειτή	Ες εὐδείελον χθόνα μόλη κλειτᾶς Ιωλκοῦ.	Pind. Pyth.
	Eadem Ιαολκός poetice.	
εὔκτιμένη	-- καὶ Γλαφυρὰς, καὶ εὐκτιμένην Ιαολκόν.	Hom. Il. β.
ἀφνειά	Ι'κετο χὠ ταλαεργὸς ἐς ἀφνειὰν Ιαολκόν.	Theoc. εἰδ. ιϛ.
	Ἴωνες (poet. Ιάονες) *Iones, pop.*	
ἀγαυοί	Τῇ δ' ἔπι ναιετάοισιν ἀγαυῶν παῖδες Ιώνων.	Dionyſ.
ἑλκεχίτωνες	Ε'νθα δὲ Βοιωτοὶ καὶ Ιάονες ἑλκεχίτωνες.	Hom. Il. ν.
χαυνόπρωκτοι	Ο'τι χαυνοπρώκτοις τοὺς Ιάονας λέγει.	Ariſtoph. Acharn.
	ἰωχμός vociferatio, tumultus bellicus.	
θρασύς	Ηλθον ἀν' ἰωχμὸν θρασὺν, ἡνίοχον φορέοντες.	Hom. Il. θ.
ἄασπετος	Ασπέτου ἰωχμοῖο βολάων τε κραπερῶν.	Heſ. Theog.

ὑλόμενος

οὐλόμενος	Ἄλλοι τ' οὐλομένοιο δαήμονες ἰωχμοῖο.	Calab.lib.3.
πολύκλαυτος	Κεῖτο, πολυκλαύτοιο λελασμένος ἰωχμοῖο.	Eod.
κρατερὸς, ὀλοός	Καὶ κρατεροῦ ὀλοοῖο δαήμονας ἰωχμοῖο.	Idem libr.7.
δυσηχής	Ἴσχεσθ' ἰωχμοῖο δυσηχέος.	Idem lib.12.

K.

Καδμεῖοι Cadmei.

κέντορες ἵππων	Οἳ ἐχολωσάμενοι Καδμεῖοι κέντορες ἵππων.	Hom. Il. δ.
φερεσσακέες	Ες Θήβας ἱκέτευσε φερεσσακέας Καδμείοις.	Hesiod.Scu.

Κάδμος Cadmus.

ὑπέρθυμος	Ἁρμονίην θ' ἣν Κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν.	Hesiod. Th.
Σιδόνιος	Σιδονίου Κάδμοιο θεμείλιον Ἁρμονίης τε.	Nicand. Th.
Τύριος	Οὐ Τυρίου Κάδμοιο καταιδόμενος ῥίζα λευκήν	Opp.κυνηγ.δ.
ἀντίθεος	Οὔτε παρ' ἀντιθέῳ Κάδμῳ &c.	Pind.Pyth.
	Nonn. Dyonys. εὐδήμων, πέπων, δολόεις, Ἀγηνορίδης, νόθος αἰπόλος, ἀοιδοπόλος, ἀλεξίκακος, ἱμερόεις, ἀταρβὴς, ὀδοντόφυτος, θεῶν χρησμήτωρ, ἀρχέγονος, θεημάχος, ὠκύμορος, ἀπάθαλος, ἀτερπὴς, παιδοκόμος.	

καθαρμός expiatio, lustratio.

ἁγνοπόλος	Ἁγνοπόλον τε καθαρμὸν, ἐπιχθονίοις μέγ' ὄνειαρ	Orph.Arg.

Κάϊκος Caïcus fl.

ἐϋρρείτης	Πλώξόν τε καὶ Ἕρμον, ἐϋρρείτην τε Κάϊκον.	Hesiod. Th.
δολιχός	Πολλοὶ ὅσοι δολιχοῖο παρὰ προχοῇσι Καΐκου.	Calab.lib.6.

καιρὸς tempus, occasio &c.

πολύτροπος	Ἀμφίθετοι, καιροῖο πολυτρόπου θεράποντες.	Nazianz.

αἱμοπότης	Αἱμοπότης καιρὸς, καὶ δύστηνος βίος ἥξει.	Sibyll.
ζωαρκής	Ψυχῇ νωϊτέρῃ ζωαρκέα καιρὸν ὀπάζοις.	Apolinar.
πανδαμάτωρ	-- σὺ δὲ τίς; Καιρὸς ὁ πανδαμάτωρ.	Epigr. lib. 4.
ὀξυπετής	Ὀξυπετὴς ὁ καιρὸς, καὶ παρὰ πόδας μὲν ἰὼν, ἴσως ἁλίσκεται.	Euagr. β.
	Καῖσαρ Cæsar.	
μονόσκηπτρος	Καίσαρος οὐ φίλος ἐσσὶ μονοσκήπτρου βασιλῆος.	Nonnus.
ποιμὴν κόσμου	Εἰ μὴ Καίσαρα μοῦνον ἀτέρμονα ποιμένα κόσμου	Idem.
κλεινός	Αἰεὶ δ' ἐκμάσσετο τῶν ἀσπάσμασι Καίσαρα κλεινόν.	Epigr. lib. 1.
	κακία, κακότης malitia.	
πικρή	-- εἴτε με πικρῆς Τιννύμενος κακίης &c.	Nazianz.
θυμοβόρος	-- λεύσσων κακίης ὑπὸ θυμοβόροιο Δαπτόμενον.	Idem.
αἰνή	Νῦν δ' αἰνῆς κακίης Χριστὸς ἀπὸ χρὸς ἐρύσσας	Idem.
ζοφερή	Καὶ ζοφερῆς κακίης ἐνθάδε κάρτος ἔχει.	Idem.
ὀλοή	Αἲ αἲ τῆς ἀκράτου σῆς ὀλοῆς κακίης.	Idem.
στυγερή	Καὶ στυγερῆς κακίης, ἥ με ἐπέδησε κάτω.	Idem.
ἀμφίθετος, πολύχωρος, ἄφυκτος	-- ἡ κακίη δὲ Ἀμφίθετος, πολύχωρος, ἀφυκτοτάτη βασίλεια.	Idem.
βαρεῖα	Ζεὺς ἐπιγιγνομένοισιν ἵει κακότητα βαρεῖαν.	Hom. Il. κ.
στονόεσσα	Ἀμφ' ἀγαθοῦ στονόεσσαν ἀμαλδύνει κακότητα.	Calab. lib. 1.
ὀϊζυρή	-- οὐ γάρ τις ὀϊζυρῆς κακότητος Ἄμμορος.	Eod.
ἀργαλέη	Τοὔνεκα ῥηϊδίη μὲν ἐς ἀργαλέην κακότητα.	Idem lib. 12.
ἄναγνος	Πολλῶν γὰρ μερόπων εἶδεν κακότητας ἀνάγνοις.	Sibyll.
δνοφερή	Τῆς δνοφερῆς κακίης ἰὸν ἔχευσας ὅλον.	Nazianz.
λισσήγαμος	Λισσηγάμοιο γυῖαι τηλεμένης κακίης.	Idem.
ἀπηνής	Ῥίψαντες κακότητος ἀπηνέος ἔκγονα τερπνά.	Idem.
ἀναιδής	Οὐ λήξεις κακότητος ἀναιδέος, οὐχ ὑποείξεις.	Idem.
πολυπήμων	Οὐδέ τ' ἀπεχθαίρει κακίης πολυπήμονος ἄλγος.	Apolinar.
εὔπορος	Εὔπορος διαβολῶν παντοίων ἡ κακία.	Euagr. 4.
ἀλεγεινή	Ἀλλά σε μὲν κρείων φαεσίμβροτος ἐξ ἀλεγεινῆς Αἰὲν ἄγοι κακότητος.	Orph. λίθ.
λυγρή, ἀργαλέη	Νῦν γὰρ δὴ λυγρῆς τε καὶ ἀργαλέης κακότητος.	Id. Arg.

κακόν

κακόν malum, vitium.

ἀνήκεστον	Θυμῷ καὶ κραδίῃ καὶ ἀνήκεστον κακόν ἐστι.	Hesiod. Th.
δεινόν	Γέλως ἄκαιρος, ἐν βροτοῖς δεινὸν κακόν.	Menand.
μογόεν	Αὐτῆμαρ μογόεντος ὑπ' ἐκ κακοῦ ἰαίνονται.	Calab.lib.4.
φοβερόν	Δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν.	Theoc. εἰδ.η.
ἄσκοπον	Ἅπαν πέπαρμαι γυῖα ἀσκόπῳ κακῷ.	Lucian.
δακρυόεν	Στέργω δ' εἴ κεν ἔπειτα λίπω κακὰ δακρυόεντα	Nazianz.
θυμοδακές	Χωρὶς θυμοδακῶν δύσθεα φῦλα κακῶν.	Dolsc.
ἀπροτίελπτον	Καὶ κακὸν ἐν λαγόνεσσι φέρων τόσον ἀπροτίελ-	Opp. κυνηγ.δ.
λυσσομανές	Ἐξαπίνης ἐλθοὺς λυσσομανές τι κακόν. (πτον.	Epigr. lib.2.
ὀλοόν	Δύσμορος, αἰάζων ὀλοὸν κακόν.	Epigr. lib. 3.
πικρόν	Πικρὸν Ἀριστομάχῳ γίνεται κακὸν ὅς σε κομίζων	Eod.
ἄμαχον	Ἔπεστ' αἰεὶ βροτῶν ἄμαχον κακόν.	Pind. Pyth.
δύστλητον	Τοσαῦτα μὲν δύστλητα πείσονται κακά.	Lycoph.
βαρύποτμον	Νέα τάδε νεόθεν ἦλθέ μοι βαρύποτμα κακά.	Soph. Oed. Colon.

κάλαμος calamus aromaticus.

Ἐρυθραῖος	Ὕλαι τηλεθόωσιν Ἐρυθραίου καλάμοιο.	Dionys.

κάλαμος arundo.

λιγυρός	Αὐλοί τε λιγυροῖσιν ἀρηρέμενοι καλάμοισι.	Calab.lib.6.
πικρός	Τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἀμὲ τιτρώσκει	Theoc. εἰδ. κα
ἰθύπορος	Ἰθυπόρου καλάμου παρὰ νείατον ἄκρον ἐρείσας.	Nonnus.
κραταίβολος	Ἄλλοι μὲν αὐτὸν καλάμῳ κραταιβόλῳ.	Nazianz.
ἐρημαῖος	Ἡδὺν ἐρημαίοις ὕπνον ἄγω καλάμοις.	Epigr. lib. 1.
εὔτρητος	Νέρθεν εὐτρήτων καλάμων ὑπὸ ῥίζαν ὀδεύει.	Eod.
εὐγλυφής	Ἄκρα τε μεσσοτόμους εὐγλυφέας καλάμοις.	Epigr. lib. 6.
εὐσχιδής	Καὶ λίθος εὐσχιδέων θηγαλέος καλάμων.	Eod.
εὐγραφής	Εὐγραφέων καλάμων ἀκροβαφεῖς ἀκίδας.	Eod.
κηροδέτης	Συρίζων δ' ὁ κηροδέτας κάλαμος οὐρείου Πανός.	Euri. Iph. T.
εὐάρμοστος	Ἐν πολιαῖσι μένει φάμαις εὐαρμόστοις ἐν καλά- μοις.	Id. Elect.

Nonn. Dionys. ταχύγλωσσος, δίσερως, δείλαιος.

	καλιά nidus.	
ἐρημαίη	Ὥς δ' ὅτ' ἐρημαίην περιμύρεται ἀμφὶ καλιήν.	Calab. li. 12.
εὔτυκτος	Ἠέ τιν' ὄρνιν ἀοιδὸν ἀπ' εὐτύκτοιο καλιῆς.	Nazianz.
ὀρφναίη	Ὀρφναίῃ ἐνὶ χαλκὸν ἀπεβεύσατο καλιῇ.	Apoll. lib. 4.
αὐτοκμής	Ἐρχθέντας θήρφον ὑπ' αὐτοκμῆτα καλιήν.	Opp. ἁλ. α.
νεοσσοκόμος	Αἴξας ἔντοθε νεοσσοκόμοιο καλιῆς.	Epigr. lib. 3.
πυκνή	Πυκνὰς καλιάς, Ζῆθον ἐκμιμουμένη.	Lycoph.
	Καλλίμαχος Callimachus.	
συνές. μούσαις	Ὦ μάκαρ ἀμβροσίῃσι συνέστιε φίλτατε μούσαις.	Epigr. lib. 3.
Βαττιάδης σοφ.	Ὦ μέγα Βαττιάδαο σοφοῦ περίπυστον ὄνειαρ.	Eod.
Κυρηναῖος	-- Καλλιμάχου με	Eod.
	Ἴσθι Κυρηναίου παῖδά τε καὶ γενέτην.	
	Καλλιόπη Calliope.	
πινυ. μητιόωσα	Ὣς φάτο Καλλιόπη πινυτὰ φρεσὶ μητιόωσα.	Calab. lib. 3.
πολύμυθος	Καλλιόπη πολύμυθε μελισσοβότου Ἑλικῶνος.	Epigr. lib. 1.
περίφρων	Ἡμετέρη κατέλεξε περίφρων Καλλιόπεια.	Orph. Arg.
κλυτόμοχθος	Καλλιόπα κλυτόμοχθε, τί σοι πλέον ὅττι γεραίρει.	Christod.
	κάλλος pulcritudo.	
ἀμβρόσιον	Κάλλει μέν οἱ πρῶτα πρόσωπά τε καλὰ κάθηρεν Ἀμβροσίῳ.	Hom. Od. σ.
δυστήρητον	Κάλλος δυστήρητον ἔφυ παίδων τοκέεσσι.	Phocyl.
περίπυστον	-- φέρειν περίπυστον ὀπωπῆς Κάλλος.	Coluth.
ἀείζηλον	Κάλλος ἰδὼν ἀείζηλον, ἐπὶ ξίφος αὐχένι κῦρσαι.	Calab. lib. 13
ἐπήρατον	-- ἀθρήσαντες ἀμωμήτοιο γυναικὸς	Idem lib. 14.
	Ἀγλαΐην καὶ κάλλος ἐπήρατον.	
ἡδύ	Καὶ γὰρ ἐμοὶ τὸ πάροιθεν ἐπαύθεεν ἁδύ τι κάλλος.	Theoc. εἰδ. κδ
παιδικόν	Καὶ κάλλος καλόν ἐστι τὸ παιδικόν, ἀλλ' ὀλίγον ζῇ.	Id. εἰδ. κη.
μαρμαῖρον	Κάλλεα μαρμαίροντα φάος περιβιοτὸν ἄφραστον.	Nazianz.
δαιδαλέον	Κάλλεσι δαιδαλέοις ἡ βασίλεια πόλις.	Idem.
σελασφόρον	Σφρηγῖδας ἀθανάτου κάλλεα σελασφόρεα.	Idem.
εἰαρινόν	Κάλλος τ' εἰαρινὸν ὦκα μαραινόμενον.	Idem.
ἀγητόν	Σοὶ δὲ σαοφροσύνη τε μέλοι καὶ κάλλος ἀγητόν.	Idem.

ἀγλαόν	Ἀγλαὰ δ᾽ ἀμφοτέροισι θεὸς μετενείματο κάλλη	Cyr. Theod.
σητόβρωτον	Τὸ σητόβρωτον κάλλος ἅτ᾽ ὄλλυθ᾽ ἅπαν.	Dolsc.
οὐράνιον	Ἵμερῳ ἄμμε φλέγει κάλλεος οὐρανίου.	Musurus.
ἀκήρατον	Παρθενικὴν, ἧς κάλλος ἀκήρατον, ἧς ὅγε κόσμος.	Politian.
πολυανθές	Δοιὰ δ᾽ ἐπ᾽ ὠρύγγων πελέθει πολυανθέα κάλλη.	Opp. κυνηγ. α
περίβλεπτον	Ποῦ τὸ περίβλεπτον κάλλος σέο, Δωρὶ Κορίνθε.	Epigr. lib. 1.
θεσπέσιον	Εἰκόνα θεσπεσίῳ κάλλεϊ λαμπομένην.	Epigr. lib. 4.
ζάθεον	Ἀφρογενοῦς Παφίης ζάθεον περιδέρκεο κάλλος.	Eod.
ἱμερόεν	Κάλλεϊ νικηθεῖσα τεοῦ χροὸς ἱμερόεντι.	Epigr. lib. 7.
ἄκριτον	Κάλλεος ἀκρίτου ζωροπόται θρασέες.	Eod.

Nonn. Dionys. εὐφαές.

κάλπις *urna aquaria.*

Nonn. Dionys. εὔκυκλος, εὔδενδρος.

καλύβη *tugurium.*

πλεκτή	Στρωσάμενοι βρύον αὖον ὑπὸ πλεκταῖς καλύβαισι.	Theoc. εἰδ. κε
θλιβομένη	Θλιβομέναν καλύβαν ζυφερὸν περσέναχε θάλασσα.	Eod.
ἀμύκητος	Οἰκτρὸς ἀμυκήτῳ κάτθανε πὰρ καλύβῃ.	Epigr. lib. 1.
λιτή	Στείχετ᾽, ἐπεὶ λιτὴν οἰκέομεν καλύβην.	Eod.
χοινῖπις	Ἀλλ᾽ ἔθανεν καλύβῃ χοινίπιδι.	Epigr. lib. 3.

κάλυξ *calyx, bacca rosæ, siue folliculus.*

ἰοστέφανος	Πυλὼ ἰοστεφάνων κόσμον ἀγεῖς καλύκων.	Epigr. lib. 4.
ῥοδέη	Ὑγρὸν ἴον, ῥοδέῃ κιρνάμενον κάλυκι.	Eod.
εἰαρινή	Ψαύεις ἐκπρολιποῦσ᾽ εἰαρινὰς κάλυκας.	Epigr. lib. 7.
πορφυρέη	Καὶ στόμα, πορφυρέης τερπνότερον κάλυκος.	Eod.

καλύπτρα *velum, tegumentum capitis muliebre.*

λιπαρή	Τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην.	Hom. Il. χ.
δαιδαλέη	- καλύπτρην δαιδαλέην χείρεσσι κατέσχεθε.	Hesiod. Th.

ὑψίλοφος	Ὡς ὁ μὲν ὑψιλόφοιο φυτῶν ὑπένερθε καλύπτρης.	Coluth.
βαρύδεσμος	Καὶ μελέων βαρύδεσμον ἐγυμνώσαντο καλύπτρην.	Nonnus.
ἀργυφέη	Τῆς δ' ἐκ καλύπτρην Ἀργυφέην καὶ πέπλον.	Apoll.lib.4.
	Nonn. Dionyſ. δενδρήεσσα, εὔοδμος, πολυγλώχιν, γονόεσσα, ποικιλόνωτος, ἀπόρητος, πυκινόθριξ, πολυστάφυλος, ἀμπελόεσσα, δινωτὴ, ἐπίκυρκος, εὔβοτρυς, ταυρείη, τρηχαλέη.	
	Καλυψὼ Calypſo.	
πότνια, δῖα	Νύμφη πότνι' ἔρυκε Καλυψὼ, δῖα θεάων.	Hom. Od. α.
ἐϋπλόκαμος	Νύμφῃ ἐϋπλοκάμῳ εἰπεῖν νημερτέα βουλήν.	Odyſs. ε.
δολόεσσα	Ἔνθα μὲν Ἄτλαντος θυγάτηρ, δολόεσσα Καλυψώ.	Odyſs. η.
δεινὴ θεός	Ναίει ἐϋπλόκαμος δεινὴ θεός.	Eod.
ἠΰκομος	Ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο.	Odyſs. θ.
ἱμερόεσσα	Κελσίη τ' Ἀσίη τε καὶ ἱμερόεσσα Καλυψώ.	Heſiod. Th.
	Κάλχας Calchas.	
Θεστορίδης	Κάλχας Θεστορίδης οἰωνοπόλων ὄχ' ἄριστος.	Hom. Il. α.
ἐϋφρονέων	Ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν.	Eod.
θεοπρόπος	Οὐδ' ὅγε Κάλχας ἐστὶ θεοπρόπος οἰωνιστής.	Id. Iliad. ν.
περίφρων	Μίμνεν ὁμῶς Κάλχαντι περίφρονι.	Calab. li. 14.
εὔσκοπος	Θεστορίδης δ' ἄρα μάντις εὔσκοπος ἵστατο Κάλχας.	Chriſtod.
Θεστόρειος μάντ.	Τοῦ Θεστορείου μάντεως καθ' ἡμέραν.	Soph. Aiace.
	κάλωες *rudentes, funes nautici.*	
εὔστρεπτοι	Δουρατέεσσι φάλαγξι, καὶ εὐστρέπτοισι κάλωσι.	Orph. Arg.
λεπτοί	Ἀπροφάτως δ' ἀπὸ γῆς λεπτοὶ λύοντο κάλωες.	Iiſdem.
πολύστρεπτοι	Ὣς καὶ δ' ἄρ' ἀρτήσαντο πολυστρέπτοισι κάλωσι.	Iiſdem.
	κάματος *labor, defatigatio.*	
πολυάϊξ	Ἀλλά σευ ἢ κάματος πολυάϊξ γυῖα δέδυκεν.	Hom. Il. ε.
αἰνός	Νύκτα φυλασσέμεναι καμάτῳ ἀδδηκότες αἰνῷ.	Idem Il. κ.

ἀργαλέος	Τῶν ῥ' ἅμα τ' ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο.	Iliad. ν.
δυσπονής	Δυσπονέος καμάτοιο φίλα βλέφαρ' ἀμφικα-(λύψας.	Odyss. ε.
θυμοφθόρος	Ὄφρα μοι ἐκ κάματον θυμοφθόρον εἵλετο γυίων	Odyss. κ.
θυμαλγής	Οἵ δή μοι καμάτῳ θυμαλγέϊ γούνατ' ἔλυσαν.	Odyss. υ.
στονόεις	Ἐλπόμενοι στονόεντος ἀναπνεύσειν καμάτοιο.	Calab. lib. 7.
ἄαπτος	-- κάματος δ' ὑπεδάμνατο λαοὺς Ἄαπτος ἀμφοτέρωθε.	Eod.
δυσαλγής	-- οὐ γὰρ ἔτ' αὐτοῖς Μνῆστις ἔην καμάτοιο δυσαλγέος.	Idem lib. 14.
ὑδροφόρος	Αἰὲν ἐπαντλοῦσας ὑδροφόρῳ καμάτῳ.	ἄδηλον.
στυγερός	Ἐθρέφθην πολλοῖς καὶ στυγεροῖς καμάτοις.	Nazianz.
ποντοπόρος	Χείματος ἱσταμένοιο μεταπνεῦσαι καμάτοιο Ποντοπόρου.	Opp. ἁλ. ε.
δυσίμερος	-- κάματον δὲ δυσίμερον ὦρσε φαανθείς.	Apoll. lib. 3.
μογερός	Οὐδέ νύ πω μογεροῖο πεπείρηται καμάτοιο.	Id. lib. 4.
ὀλοός	Ναυτίλος ὀλοοῖσιν ὑποβρύξ καμάτοισι.	Nican. Alex.
κυδάλιμος	Σῶμα καλὸν πέσας κυδαλίμοις καμάτοις.	Epigr. lib. 3.
πολυπλανής	Ἄμπαυσον καμάτου γυῖα πολυπλανέος.	Epigr. lib. 4.
εὔαγρος	Ηέρος, εὔαγρον τοῖσδε δίδου κάματον.	Epigr. lib. 6.
δυσπενθής	Αἴε λειβόμενον δυσπενθεῖ σῷ καμάτῳ.	Pind. Pyth.
εὐκάματος	Πόνον ἡδὺν, κάματόν τ' εὐκάματον.	Euri. Bacch.
ἄμετρος	-- καίπερ ἄμετρος Ἔσκε τυπογραφικῆς εὐκάματος κάματος.	ἄδηλον.

Nonn. Dion. δρακοντοφόνος, πυελπνείων.

κάμηλος camelus.

κυρτή	Κυρτὴ θεὸν κάμηλος ἐζήτει κέρα.	Gabrias.
ὑψίλοφος	-- ὑψιλόφων τε τείχεσ' ἔθημα καμήλων.	Nazianz.

Nonn. Dionys. τανυκνήμις

καναχή, *strepitus, clamor.*

Nonn. Dionys. ἰσόμετρος, ὁμόδουπος.

κανών canon, regula.

ἀστρόθετος	Βουληθέντα μαθεῖν ἀστροθέτοις κανόνας.	Epigr. lib. 2.

φύλαξ γραφίδ.	Καὶ κανόνα γραφίδων ἰθυτάτων φύλακα.	Epigr. lib. 6.
γραμμ. ταμίας	Καὶ κανόνα γραμμῆς ἰθυπόρου ταμίην.	Eod.
ἰθυτενής	Ὀρθὰ παραξύων ἰθυτενῆ κανόνα.	Eod.
ἡγεμών	Ἡγεμόνα γραμμῆς ἀπλανέος κανόνα.	Eod.
κυβερνητήρ	Καὶ κανόνα τροχαλοῖο κυβερνητῆρα μολίβδου.	Eod.
	Καπανεὺς Capaneus.	
χαλκοτευχής	Καὶ γαμέτα, χαλκοτευχοῦς τε Καπανέως.	Eurip. Supp.
	καπνός fumus.	
αἴθοψ	Ἐλθεῖν ἠδὲ πυθέσθαι, ἐπεὶ ἴδον αἴθοπα καπνόν.	Hom. Od. κ.
ἐελδινής	Καπνὸν ἐρευγομένη ἐελδινέα φοιτάδι ῥιπῇ.	Tryphiod.
αἱματόεις	Καπνὸς δ᾽ αἱματόεις ἀνεκήκιε.	Calab. lib. 12
ἀδευκής	Βωμοὶ κνισήεντες ἀδευκέα καπνὸν ἔχοισι.	Dionys.
ἄπμος	-- τὰ δ᾽ ἐνθάδε καπνὸς ἄπμος Ἢ κόνις &c.	Nazianz.
πουλύχοος	-- πουλύχοος γὰρ ἐπ᾽ ὄμμασιν ἐνθάδε καπνός.	Idem.
γνοφόεις, μέγας	Τίς ποτ᾽ ἄρ᾽ ὁ γνοφόεις καπνὸς μέγας ἐκ νεφελάων.	Cyr. Theod.
ἄοπλος	Ὡς εἰς ἠέρ᾽ ἰὼν καπνὸς τάχ᾽ ἀπόλλυτ᾽ ἄοπλος.	Dolsc.
κνισήεις	Καπνῷ κνισήεντι περίπλεον, ἔξοχα δ᾽ ἄλλων.	Apoll. lib. 1.
εὐώδης	Εἰροπόκοις κρίοις τε, μύρου τ᾽ εὐώδεα καπνόν.	Apolinar.
σκοτοειδής	Θῖγ᾽ ὀρέων, καὶ καπνὸν ἄδην σκοτοειδέα τεύξεις.	Idem.
αἰθαλόεις	Καπνῷ αἰθαλόεντι κατιλύων Ἡφαίστοιο.	Opp. ἁλ. β.
λάβρος	Πτολιπόρθοις ἐν μάχαις, λάβρον ἀμπνεῦσαι καπνόν.	Pind. Olym.
λευκανθέας	Λευκανθέαν σώμασ᾽ ἐπιάναι καπνόν.	Id. Nem.
πολυφάρμακος	Θηλυτέρη δ᾽ εἴ κεν πολυφάρμακον ἀμφιβεβῶσα	Orph. λιθ. περὶ γαγάτου.
	Καπνὸν ὑπὸ σπλάγχνοισιν ἀΐσσοντα δέχηται.	
	Nonn. Dionysiac. δόλιος, πνιγόεις, τεχνήμων, ἀελλήεις, σκιόεις, ἠερόφοιτος, λιγνυόεις, θανατηφόρος, βητάρμων, ὑψίπορος, εὔοδμος, λιγύς, αἰθαλόεις.	

κάπρος

κάπρος aper.

ἀγρότερος	Σεύῃ ἐπ' ἀγροτέρῳ συῒ κάπρῳ, ἠὲ λέοντι.	Hom. Il. λ.
ὀλοόφρων	Οὔτε συὸς κάπρου ὀλοόφρονος.	Idem Il. ρ.
χαυλιόδων	Κάπρος χαυλιόδων φρονέει θυμῷ μαχέσασθαι.	Hesiod. Scu.
ἀργιόδων	Κάπριος ἀργιόδων ὀλοὸν τέρας.	Apoll. lib. 2.
ἐνυάλιος	Κάπρος ἐνυάλιος δὲ μέγ' ἔξοχος ἐν θήρεσσι.	Opp. κυνηγ. γ.
Ἡράκλειος	Κάπρος δ' Ἡράκλειος ἀπορρήξας ἀπὸ δεσμῶν.	Epigr. lib. 1.
θωΰκτηρ	Κάπρον θωΰκτηρα, χάους κῶα, θῆρα νεμείης	Epigr. lib. 4.
Ερυμάνθιος	Τὸ τρίτον αὖτ' ἐπὶ τοῖς, Ερυμάνθιον ἔκτανε κάπρον.	Eod.
	Nonn. Dionyſ. βητάρμον, Αρκὰς, ὀρείδρομος.	

Καππαδόκαι Cappadoces.

φαῦλοι	Καππαδόκαι φαῦλοι μὲν ἀεὶ, ζώνης δὲ τυχόντες.	Epigr. lib. 2.
φαυλεπιφαυλ.	Δὴ τότε γίγνονται φαυλεπιφαυλότατοι. (μονὴ).	Eod.
κλυτοί	Καππαδόκαι τε κλυτοὶ Ταύρου προπάροιθε νέ-	Opp. κυνηγ. α.
ὠκύποδες	Θαῦμα δὲ Καππαδόκεσσι μέγ' ἔδρακον ὠκυπόδεσσι.	Eod.

καρδία infra κραδία.

Κᾶρες Cares.

βαρβαρόφωνοι	Νάστης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων.	Hom. Bœo.
μενεπτόλεμοι	Λίνδου ἐϋρρείταο, μενεπτολέμων ὅθι Καρῶν.	Calab. lib. 8.
φιλοπτόλεμοι	Σημαίνει Λυκίοις τε, φιλοπτολέμοις τε Κάρεσσι.	Theoc. εἰδ. ιζ.

κάρη, κάρηαρ, κάρηνον, caput.

λευκόν	Οἵ τ' ἔχον Ἀστέριον, Τιτάνοιό τε λευκὰ κάρηνα.	Hom. Bœot.
αἰπεινόν	Μαιάνδρου τε ῥοὰς, Μυκάλης τ' αἰπεινὰ κάρηνα	Ibid.
ξανθόν	Κτητοὶ δὲ τρίποδές τε καὶ ἵππων ξανθὰ κάρηνα.	Id. Iliad. ι.
πολιόν	Ἀλλ' ὅτε δὴ πολιόν τε κάρη, πολιόν τε γένειον.	Iliad. χ.
χαρίεν	-- κάρη δ' ἅπαν ἐν κονίῃσι Κεῖτο πάρος χαρίεν.	Eod.
ἀμενηνόν	Πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα.	Idem Od. κ.

ἴφθιμον	Τόσσον φὰς, σεύεσκε βοῶν ἴφθιμα κάρηνα.	Idem hym.
πετρῆεν	Καὶ κορυφὰς ὀρέων, καὶ πετρήεντα κάρηνα.	Ibidem.
δεινὸν, Γοργ.	-- ἐπὶ δεινοῖσι δὲ καρήνοις Γοργείοις ἐδονεῖτο μέγας φόβος.	Hesiod. Scu.
ὑπέροπλον	Ἀλλὰ καὶ ὡς ὑπέροπλα καρήατα πυργώσαντες	Tryphiod.
ἀλγινόεν	Αἰνὸν λιχμώωντα καρήατα ἀλγινόεντα.	Calab. lib. 1.
λάσιον	Δὴ γάρ οἱ λασίοιο καρήατος ἄλλυδις ἄλλη.	Idem lib. 11.
βλοσυρὸν, σμερδαλέον	Ἐν γάρ οἱ πεποίητο κάρη βλοσυροῖο Μεδούσης Σμερδαλέον.	Idem lib. 14.
εὐπλόκαμον	Εὐπλόκαμον τὸ κάρηνον, ἔχει δ' ἴταμον τὸ πρόσωπον.	Theoc. εἰδ. κα
πολύκλαυστον	Ὧ δὲ πολυκλαύστοιο κόμας λακίσασα καρήνου.	Epigr. lib. 1.
ἀμβρόσιον	Ἀμβροσίῳ δ' ἐφύπερθε καρήατι βάλλε καλύπτρην.	Apoll. lib. 3.
ἁλίβρεκτον	Καὶ τὰ μὲν ῥαθάμιγγας ἁλιβρέκτοιο καρήνου.	Politian.
ἰοφόρον	Ἀσπὶς δ' ἰοφόρον πελάσαντ' ἤειρε κάρηνον.	Opp. κυνηγ. γ.
λαχνῆεν	Ὑψοῦ δὲ λαχνῆέν τε κάρη καὶ στήθε' ἀείρας.	Apoll. lib. 1.
λευκανθές	Μέγας, χνοάζων ἄρτι λευκανθὲς κάρα.	Soph. Oe. T.
λαιμότμητον	Οὐ γὰρ τὸ λαιμότμητον εἰσορᾷς κάρα Γοργόνος.	Eur. Phoen.
	Nonn. Dionys. ὁμόκραιρον, πλαδαρόν, ἐχιδνῆεν, γηγενές, τανύρρινον, σιδηροφόρον, αὐθόκομον, τελεσσίγαμον, ἀκερσίκομον, ἀκήδεστον, ἐρωτοτόκον, ὠκύμορον, φιλοζέφυρον, εὔκραιρον, ὑψίλοφον, εὐανθὲς, εὐφαὲς, πολιοῦχον, μελανόχροον, ἀρσίλοφον, ἀδούπητον, βοόκραιρον, ὀφρυόεν, διόβλητον.	
	καρκίνος cancer.	
ἀλήτης	Ἐν κείνῃ γενεῇ καὶ καρκίνοι εἰσὶν ἀλῆται.	Opp. ἁλ. α.
λέχριος	Καρκίνος αὖ ψηφῖδα παρὰ ῥηγμῖνος ἀείρας Λέχριος.	Idem ἁλ. β.
σισυρνοδύτης	Σισυρνοδῦται καρκίνοι πεπλωκότες.	Lycoph.
νωτάκμων, ἀγκυλοχήλης &c.	Ἦλθον δ' ἐξαίφνης νωτάκμονες ἀγκυλοχῆλαι, Λοξοβάται, στρεβλοί, ψαλιδόστομοι, ὀστρακόδερμοι,	Hom. Batrachomy.

Ὀσφυεῖς

	Ὀσφυεῖς, πλατυώτοι, ἀποστίλβοντες ἐν ὤμοις,	
	Βλαισοί, χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες,	
	Ὀκτάποδες, δικάρηνοι, ἀχειρέες· οἱ δὲ καλεῦνται	
	Καρκίνοι.	
	Nonnus Dionyſ. ἀντικέλευθος, ὀκτα-πόδης.	

Κάρπαθος Carpathus.

ἠνεμόεσσα.	Καὶ Κνίδος αἰπεινή, καὶ Κάρπαθος ἠνεμόεσσα	Hom. h. Ap.
παιπαλόεσσα	-- ὑπέδεκτο δ' ἀπόπροθι παιπαλόεσσα Κάρπαθος.	Apoll. lib.4.

καρπός fructus.

μελιηδής	Πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.	Hom. Iliad. σ.
μῆλοψ	Αἱ μὲν ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν.	Idem Od. η.
χαρίεις.	Ἄνθεσι τηλεθάων, χαρίεις δ' ἐπὶ καρπὸς ὀρώρει.	Idem hym.
ἄφθονος	-- Καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα Αὐτομάτη πολλόν τε καὶ ἄφθονον.	Heſiod. lib. 1
θάλλων	Τρὶς τοῦ ἔτους θάλλοντα φέρει ζείδωρος ἄρουρα.	Eod.
εὔφρων	Ἢ μὲν ὄϊς πείκειν, ἢ δ' εὔφρονα καρπὸν ἀμᾶσθαι.	Idem lib. 2.
αὐξόμενος	Μηδένα αὐξόμενον καρπὸν λωβήσῃ ἀρούρης.	Phocyl.
πολυγηθής	Καὶ πόνος ἐκ καμάτου πολυγηθέα καρπὸν ἀμῶνται.	Calab. li. 14.
πίων	Ἀμφιπεριστείνονται, ἴδωσι δὲ πίονα καρπόν.	Callimach.
κροκόεις	Καρπῷ ἕλιξ εἰλεῖται ἀγαλλομένα κροκόεντι.	Theoc. εἰδ. α.
ἐριθηλής	Χεισὲ ἄναξ, ὦ δῖνος ἐμῆς ἐριθηλέα καρπόν.	Nazianz.
πολυανθής	Αὐτὰρ ἐλασύβῃ πολυανθέα καρπὸν ἔδωκεν.	Apolinar.
βοτρυώδης	Ἐρνοκόμων παλάμῃσι βρύειν βοτρυώδεα καρπόν.	Nazianz.
ζείδωρος, ἀφειδ.	Ἣν δὲ θάνῃ, ζείδωρον ἀφειδέα καρπὸν ἀέξει.	Nonnus.
οἴνοψ	Τοῦτο διατμήσῃ, τὸ δὲ ποικίλον οἴνοπι καρπῷ.	Idem.
θεουδής	Ἡμέας οὐ σθένος ἐστὶ θεουδέα καρπὸν ἀέξειν.	Idem.
ζωοφόρος	Τοῖς μυστικοῖς καρποῖς τε τοῖς ζωοφόροις.	Rhetor.
γλυκύς	Καρπὸν γλυκὺν τρυγῶσα τὴν σωτηρίαν.	Callicles.
μελίφρων	Ἄμμι μελίφρον' ἔθεν καρπὸν ἄρουρα φέρῃ.	Dolſc.

ἐγκύμων	Ἠὲ καὶ ἀγριάδος μαλάχης ἐγκύμονα καρπόν.	Nicand. Th.
νεοθηλής	Ἐν δὲ χεροπληθῆ καρπὸν νεοθηλέα δαύκου.	Ibidem.
πολυειδής	Σπέρματα καὶ τρεμίθοιο νέον πολυειδέα καρπόν.	Ibidem.
αὐθήμων &c.	Πρωτόγονον κυτίνοιο πόροις αὐθήμονα καρπόν.	Idem Alex.
πορφυρόεις	Καρπὸν πορφυρόεντα σιδηδέα χλιμεείησι.	Ibidem.
εὐανθής	Φαρέα τ' ἀσκῆσαι μήλων εὐανθέϊ καρπῷ.	Opp. κυ. β.
φερέζωος	Γαῖα φερεζώων Πληθήσεται ἐκ σέο καρπῶν.	Apolinar.
θέρειος	Ἐλθὲ μάκαιρ' ἁγνὴ, καρποῖς βρίθουσα θερείοις.	Orph. hym.
εὐίερος &c.	Εὐιέροις καρποῖσι τελεσσιγόνοισι βρυάζων.	Ibidem.
εὐώδης	Ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα.	Æſch. Perſ.
	-- γῆς	
πολυγηθής	Ἀλλὰ μάκαιρα θεὰ καρποὺς αὔξοις πολυγηθεῖς	Orph. hym.
	Nonn. Dionyſ. ὄμφαξ, ὀπωροβόλος, νωμήτωρ, κομήτωρ, δροσόεις, παλιναυξὴς, μελιηδὴς, φρενοθελγὴς, ἑτερόχροος, φιλάκρητος, πλεκτὸς, βοτρυόεις, ληθικηδὴς, ληΐστωρ, χύδρωψ, βιοτήσιος, ὀπωρόβολος.	
	Ariſt. Pæane in Hermiā Atarnēſem.	
	Τοῖον ἐπὶ φρένα βάλλεις καρπόν τ' ἀθάνατον, χρυσοῦ τε κρέσσω, καὶ γονέων, μαλακαυγητοῖό θ' ὕπνου.	
	κάρτος, infra κράτος.	
	κασίγνητος *frater.*	
ὁμογάστριος	Ἠὲ κασίγνητον ὁμογάστριον, ἠὲ καὶ υἱόν.	Hom. Ilia. ω.
	Κασσάνδρη *Caſsandra.*	
εἶδος ἀρίστη &c.	--Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην Κασσάνδρην ἀνάεδνον.	Hom. Iliad. ν.
ἰκέλη Ἀφροδίτῃ	Ἀλλ' ἄρα Κασσάνδρη, ἰκέλη χρυσῇ Ἀφροδίτῃ.	Idem Iliad. ω
θήλατος	Κούρη δ' ἐκ θαλάμοιο θεήλατος, οὐκέτι μίμνειν.	Tryphiod.
μάντις ἄπιστος	Ἀμφότερον, μάντιν ἀγαθὴν καὶ ἄπιστον ἔθηκεν.	Idem.
κακόμαντις	Τίς σε πάλιν κακόμαντι διςώνυμος ἤγαγε δαίμων.	Idem.

θαρσαλέη, κυν.	Idem mox seq. versu, θαρσαλέη, κυνόμυια.	
δῖα	Κασσάνδρην δ' ἄγε δῖαν ἐϋμμελίης Ἀγαμέμνων.	Calab. li. 14.
περικυδής	Ἀμφὶ δὲ Κασσάνδρην περικυδέα παπταίνουσαι.	Eod.
ἑτερόφρων	Ὣς εἰπὼν, ἐκέλευσεν ἄγειν ἑτερόφρονα κούρην.	Tryphiod.
Πελαμίς	Τοίοις γὰρ Πελαμὶς Κασσάνδρη φοιβάσε μύθοις	Epigr. lib. 1.
λοξότροχις	Ἄγγελος οὐ βασιλεῖ ἔφρασε λοξότροχις.	Eod.
θεοπρόπος	Κασσάνδρην δ' ἐνόησε θεοπρόπον.	Christod.
μαντίπολος	Τῆς μαντιπόλου βάκχης ἀνέχων λέκτρ' Ἀγαμέμνων.	Eurip. Heca.
βάκχη		
θεσπιῳδός	-- τὸ βακχεῖον κάρα	Ibidem.
	Τῆς θεσπιῳδοῦ δεῦρο Κασσάνδρας φέρεις.	
φοιβάς	Πρὸς σῆσι πλευραῖς παῖς ἐμὴ κομίζεται	Ibid.
	Ἡ φοιβὰς, ἣν καλοῦσι Κασσάνδραν Φρύγες.	
βακχεύουσα	-- μὴ νῦν μοι τὰν βακχεύουσαν Κασσάνδραν	Id. Troad.
μαινάς	πέμψαθ' ἔξω, αἰχμάλωτον Ἀργείοισι μαινάδ'.	

κασσίτερος stannum, seu plumbum album.

ἑανός	Τεῦξε δέ οἱ κνημῖδας ἑανοῦ κασσιτέροιο.	Hom. Il. σ.
νεότευκτος	Ἀμφὶ δέ μιν κνημὶς νεοτεύκτου κασσιτέροιο.	Id. Iliad. φ.
φαεινός	- ᾧ περὶ χεῦμα φαεινοῦ κασσιτέροιο Ἀμφιδεδίνηται	Iliad. ψ.
πανέφθος	Κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο.	Hesiod. Scu.

Κάσιος Casius mons.

βαθύκρημνος	Οὔρεος ἀγχιδίοιο βαθυκρήμνου Κασίοιο.	Dionys.
ἑσπέριος	Ἑσπερίου Κασίοιο, καὶ ἠῴου Λιβάνοιο.	Idem.

Κάστωρ Castor.

ἱππόδαμος	Κάστορά θ' ἱππόδαμον, καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα.	Hom. Il. γ.
Λακεδαιμόνιος	Κούρης Θεστιάδος, Λακεδαιμονίους δύ' ἀδελφοὺς, Ἀνθρώπων σωτῆρας &c.	Theoc. εἰδ. κβ.
βοηθόος	Ὦ ἄμφω θνητοῖσι βοηθόοι, ὦ φίλοι ἄμφω	Eod.
ἱππεύς, κιθαρ.	Ἱππῆες, κιθαρισταὶ, ἀεθλητῆρες, ἀοιδοί.	
αἰολόπωλος	Κάστωρ δ' αἰολόπωλος, ὅ τ' οἰνωπὸς Πολυδεύκης.	Eod.

Τυνδαρείδης	-- σὲ δὲ Κάστορ ἀείσω	Eod.
ταχύπωλος	Τυνδαρίδα, ταχύπωλε, δορυσσόε, χαλκεοθώραξ	
ὑπείροχος	Μαγνήσσης ἀπὸ ναὸς ὑπείροχος ἐν δαὶ Κάστωρ.	Eod.
καρτερός	Ὡς δ' αὔτως Κάστωρ ἐπινάξατο δούρατος ἀκμὰς Καρτερός.	Eod.
ἱππαλίδας	Κάστωρ ἱππαλίδας ἔδαεν φυγὰς Ἄργεος ἐλθών.	Id. εἰδ. λα.
δεδαημ. ἵππων	Κάστορά τ' ὠκυπόδων ὦρσεν δεδαημένον ἵππων	Apoll. lib. 1.
φαεσφόρος	Ἱππαλέην δ' ἄγρην ὁ φαεσφόρος εὕρατο Κάστωρ.	Opp. κυνηγ. β.
φιλόξενος	Τυνδαρίδαις τε φιλοξένοις ἁδεῖν.	Pind. Olym.
χρυσάρματος	Σὺν εὐδοξίᾳ μετανίσσεαι, ἕκατι χρυσαρμάτου Κάστορος.	Id. Pyth.
χαλκεομίτρης	Ἔπεστα δὲ φωναὶ χαλκεομίτρα Κάστορος.	Id. Nem.
	καταιγὶς, καταῖξ procella, vis ventorum.	
θοή	Γαῦρος ἑοῖο θοῇσι καταιγίσι· καί μιν Ἄδρηστος.	Calab. lib. 4.
στυγερή	Σμερδαλέῃ, στυγερῇσι καταιγίσι βεβριθυῖῃ.	Idem lib. 5.
ὑδατόεσσα	Μή κέ ποθ' ὑδατόεσσα καταβράξειε καταῖξ.	Apolinar.
τρηχεῖα, αἰπήεσσα	Εὖρε με τρηχεῖα καὶ αἰπήεσσα καταιγίς.	Epigr. lib. 3.
χειμέρια (σα	Εὖρε χειμέριαί σε καταιγίδες ἐξεκύλισαν.	Eod.
	κάτοπτρον speculum.	
	Nonnus Dionyſ. σκιόεν, μιμηλὴ εἰκών, αὐτοχάρακτον ἄγαλμα προσώπου, ἀντίτυπον, δόλιον.	
	Καύκασος Caucaſus m.	
ἠλίβατος	Καυκάσου ἠλιβάτοιο παρηώρητο κολώνη.	Calab. lib. 10
ἐσχατόεις	Ἢ Ἄθω, ἢ Ῥοδόπαν, ἢ Καύκασον ἐσχατόεντα.	Theocr. εἰδ. ζ.
ἠνεμόεις	Ἀρξάμενος τὸ πρῶτ' ἀπὸ Καυκάσου ἠνεμόεντος	Dionyſ.
αἰπήεις	-- ἔχον δ' ἐπ' ἀριστερὰ χειρῶν Καύκασον αἰπήεντα.	Apoll. lib. 2.
νιφόεις	-- ἤδη δὲ φόως νιφόεντος ὕπερθεν Καυκάσου ἠελιγενὴς ἠὼς βάλεν.	Idem lib. 3.
ὕψιστος	Πρὶν δ' ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς ὀρῶν Ὕψιστον.	Æſch. Prom.

καῦμα

καῦμα calor, æstus.

ἰδάλιμον	Καύματος ἰδαλίμου μετοπωρινὸν ὀμβρήσαντος.	Hesiod.lib.2
θεσπέσιον	Καῦμα δὲ θεσπέσιον κάτεχεν χάος.	Id. Theog.
διψαές	Καύματος ἐσσυμένοιο διψαέος ἤματι μέσσῳ.	Calab.li. 13.
λάβρον	-- θέρεος δέ τε καύματι λάβρῳ.	Cyr. Theod.
ἀζαλέον	Καύματος ἀζαλέοιο δαπτομένης πτερύγεσσι.	Opp. κυνηγ. β.
ἄκριτον	Ανδράσιν ἄκριτον καῦμα φυλασσομένοις.	Epigr. lib. 1.
θερμόν	Ἄμπαυμ' ἐν θερμῷ καύματι τοῦτο φίλον.	Epigr. lib. 4.
ζαθερές	Αείδειν, ζαθερεῖ καύματι θαλπόμενος.	Epigr. lib. 6.
	Nonu. Dionys. διψαλέον, αἰθαλόεν.	

κέαρ cor, animus: infra κῆρ.

φιλόχριστον	Ἀλλ' εἰ μὴ φιλόχριστον ἔχεις κέαρ &c.	Nazianz.
μεγάθυμον	Καὶ μεγάθυμον ἔχων ἐν πραπίδεσσι κέαρ.	Dolsc.
ἀνδρόβουλον	Γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ.	Æsch. Agam

κέδρος cedrus.

εὐκέατος	- τηλόσε δ' ὀδμὴ Κέδρου εὐκεάτοιο.	Hom. Od. ε.
ἀδεῖα	Κέδρον ἐς ἀδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι.	Theoc. εἰδ. ζ.
εὐώδης	Καὶ ποτ' ἀπ' εὐώδους γλύψατ' ἄγαλμα κέδρου.	Id. Epigr.
εὔπρεμνος	Γέζαν ἐς ἀντιπέραιαν, εὐπρέμνων ὅθι κέδρων.	Nonnus.
περιμήκης	Φωνὴ θεσπεσίη περιμήκεας ἔθλασε κέδρους.	Apolinar.
βελαρή	Ἀθάνατος κέδροις βελαραῖς Λιβάνοιο κεάσσοι.	Idem.
χλοερή, Λιβανῖτις	Ἶσά γε βελτόμενος χλοερῇ Λιβανίτιδι κέδρῳ.	Idem.
ἀζαλέη	Φιτρούς τ' ἀρκεύθοιο, καὶ ἀζαλέης ἀπὸ κέδρου.	Orph. Arg.

κέλαδος, κελάδημα sonus, strepitus.

ἄσβεστος	Ἀσβέστου κελάδοιο, καὶ αἰνῆς δηϊοτῆτος.	Hesiod. Th.
πολύθροος	Τεχνᾶται κρύβδην τὸν πολύθροον κέλαδον.	Politian.
μούσειος	Σῶζε μουσείῳ φθεγγόμενος κελάδῳ.	Epigr. lib. 1.
λιγύς	Μέλπε λιγὺν προχέων ἐκ στόματος κέλαδον.	Eod.

εὔφθογγος	Θείῃ κελάδοις εὐφθογγοτέροις.	Æsch. χοηφόρ.
	κέλευθος via.	
ὑγρή	Οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα	Hom. Il. α.
λαιψηρή	Οσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα.	Iliad. ξ.
μακρή, εὐρεῖα	-- γεφύρωσεν δὲ κέλευθον Μακρὴν, εὐρεῖαν.	Iliad. ο.
ἰχθυόεντα	Ιχθυόεντα κέλευθα διέδραμον.	Odyss. γ.
ἠερόεντα	Οἴχοιτο προφέρουσα κατ' ἠερόεντα κέλευθα.	Odyss. υ.
ἀλήμων	Καὶ δρόμον ἐννεάκυκλον ἀλήμονος εἶδε κελεύθου	Coluth.
ἰθεῖα	Ἤλυθεν, ἰθείης δὲ παραπλάζουσα κελεύθου.	Idem.
λυγρή	Ασπίδα θείς, καθύπερθεν ἀνήιε λυγρὰ κέλευθα.	Calab. lib. 11.
αἰνή	Ψυχῆς εἰσι τάχιστα καὶ αἵματος αἰνὰ κέλευθα.	Idem lib. 13.
ἁλμυρή	-- ἐφ' ἁλμυρὰ βαῖνε κέλευθα Νηχομένῃ ἰκέλη.	Theoc. εἰδ. κ.
ἁλίη	Κῦμα καταιθύσσων, ἁλίης ἡγεῖτο κελεύθου.	Eod.
λαοφόρος	Λαοφόρου δ' ἐπέβησαν ὅθι προφόρπιστα κελεύθου.	Id. εἰδ. λβ.
σκολιά	Ὑμεῖς δ', ὦ μοῦσαι, σκολιὰς ἐνέποιτε κελεύθους.	Dionys.
λοξή	Τοῦ δ' ἤτοι λοξαὶ μὲν ἐπιτροχάουσι κέλευθοι.	Idem.
ὀλοή, στεινή	-- ὀλοὴ ναύτῃσι κέλευθος Στεινή τε, σκολιή τε, καὶ ἄγχετος.	Idem.
ἀστερόεσσα	Μάντιες ἀστερόεσσαν ὅσοι ζητεῖτε κέλευθον.	Epigr. lib. 1.
πυρόεσσα	-- οὐδὲ κέλευθον Ἥλιος πυρόεσσαν ἐπέσσυτο.	Nazianz.
παλίνοστος	Δὴ τότε μιν προφανέντα παλινόστοισι κελεύθοις.	Nonnus.
τηλέπορος	Καί οἱ τηλεπόροιο κατασείχουσι κελεύθου.	Idem.
κορυμβοφόρος	Καὶ πολλὴν ἔνθα καὶ ἔνθα κορυμβοφόροιο κελεύθου	Idem.
ἰθύπορος	Απλανέες δ' ἐνὶ φωτὶ δι' ἰθυπόροιο κελεύθου.	Idem.
λεωφόρος	Εἰνάδι λεωφόροισιν ἐνιχρίμπτουσα κελεύθοις.	Nicād. Alex.
διερή	Ἴχνεσι τεγγόμενος, διερῇ πεφόρητο κελεύθῳ.	Apoll. lib. 1.
κατόψιος	-- πᾶσαι δὲ κατόψιοί εἰσι κέλευθοι.	Id. lib. 2.
ὑγρή, τραφερή	-- ἀμυδίς τε κέλευθος Ὑγρή τε τραφερή τ' ἰνδάλλεται.	Eod.
ὑδρηλή	Ἔσσεται οἷά περ ἔρνος ἐφ' ὑδρηλοῖσι κελεύθοις.	Apolinar.
ποντόπορος	Ὁππόσα ποντοπόροις παρεπιστείβουσι κελεύθοις.	Idem.
φερέζωος	Σεῖο μάκαρ ζήσαιμι φερεζώοισι κελεύθοις.	Idem.
εὐρύχορος	Ἴχνιά μευ στήριξας ἐπ' εὐρυχόροιο κελεύθου.	Idem.
ἀκήρατος	Αθανάτου βασιλῆος ἀκήρατοί εἰσι κέλευθοι.	Idem.

δύσφεραστος

διέφεατος	-- μάλα γὰρ διέφεατα κέλευθα Εἰλεῖται.	Opp.κυν.β.
βαρύγγος	Νόσφι κυνῶν, βαρύγγα δ' ἐστὶν οὐκ εὐπρηκτα κέλευθα.	Id.ἁλ.ε.
παλιμπλαγκτος	Ἢ σφέας ἁρπάζουσα παλιμπλάγκτοιο κελεύθου.	M. Musur.
κρυόεσσα	- συγέων μετ' ἁλὸς κρυόεντα κέλευθα Νηὶ διαπλώειν.	Apoll. lib. 2.
διέξοδος	Ὁ μὲν γὰρ ἀμφὶ χύτλα ταῖς διεξόδοις Ζητῶν κελεύθοις.	Lycoph.
βαθεῖα	Ἀλὸς βαθεῖαν κέλευθον ἀνοίγων.	Pind. Pyth.
ἑκατόμπεδος	Τέτμηνθ' ἑκατόμπεδοι ἐν Σχερῷ κέλευθοι.	Id. Isthm.
	Nonnus Dionys. ὑψίπορος, ζωδιακή, βαθύκρημνος, ἀθήητος, στεινωπή, ἀπλανής, ἄβατος.	

Κελτοί Celtæ.

θαρσαλέοι	Θαρσαλέοι Κελτοὶ ποταμῷ ζηλήμονι Ῥήνῳ.	Epigr. lib. 1.
ὀρσοβάται	Κελτὸς ὀρσοβάτης σπεύδων ἐπὶ δῆιν ἐώαν.	Sibyll.
χαλκεοθώρηκες	Χαλκεοθωρήκων Κελτάων φθόρον ἐνυώ.	Musurus.

κεμάς cerua, hinnulus.

ὠκύπους	Τεύχων ὠκυπόδεσσι πόδας κεμάδεσσιν ὁμοίους	Apolinar.
	Nonn. Dionys. ὀρεσίφοιτος, ἀπειρόμοθος.	

κενεών cauerna, terræ venter.

πεδοσκαφής	Ῥήξας ὑγρὰ θέμεθλα πεδοσκαφέων κενεώνων.	Nonnus.
λιθογλυφής	Βραδὺς ἔνδον ἵκανε λιθογλυφέος κενεῶνος.	Idem.
μεσορραγής	Ἀνδράσιν, ὅς τε πρῶτα μεσορραγέας κενεῶνας.	Opp.κυν.β.
	Nonn. Dionys. εὔυδρος, αὐτόροφος, λοφόεις, ἀφρητόκος, βαθύκολπος, ὑψινεφής, χαραδρήεσσα.	

Κένταυροι Centauri.

ὠμοφάγοι	Ἢ παρ Κενταύρους ὠμοφάγους ὀλέσῃ.	Theogn.
πολυσθενεῖς	Κενταύρων δ' ἐτέτυκτο πολυσθενέων μέγα κάρτος.	Calab. lib. 6.

ὀβριμόθυμοι	Ὅς δ' ἄρ' ἄεθλε μάχην Κενταύρων ὀβριμοθύμων	Orph. Arg.
οἰνοβαρεῖς	Κενταύροις νήφων οἰνοβαρεῖς ὄλεσεν.	Epigr. lib. 4.
ὀρεονόμοι, ἄγριοι	Ταί τ' ὀρεονόμων ἀγρίων ποτὲ γένναν ἔτρωσε τόξοις φονίοις.	Eur. Herc. F.

κέντρον *stimulus, calcar.*

κρύφιον	Οὐκ ἐθέλεις κρυφίοισι καταβρύχειν φρένα κέντροις;	Musæus.
γλυκύπικρον	Ἤδη γὰρ γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων.	Idem.
ὀξύ	Λείανδρος δὲ πόθου βεβολημένος ὀξέϊ κέντρῳ.	Idem.
βοοσσόον	Αἴζηοι μετὰ τοῖσι βοοσσόα κέντρα φέροντες.	Calab. lib. 5.
φοίνιον	Αὐτὴ δέ οἱ θοίνης ἐσεμάξατε φοίνια κέντρα.	Epigr. lib. 1.
πικρόν	Βομβεῦσιν, κέντροις δὲ πικροῖς βάλλουσιν ὁδίτην.	Nazianz.
φιλοκτέανον	Δαίμονος ἀντιπάλοιο φιλοκτεάνῳ τινὶ κέντρῳ.	Nonnus.
φρικτόν	Φρικτὰ πεπαινομένης ἀπεσείσατο κέντρα μερίμνης.	Idem.
μισάνθρωπον	Ὡς ἂν τὰ μισάνθρωπα κέντρα τοῦ φθόνου.	Cyr. Theod.
ἀλγινόεν	Εἰ δ' ἄγε γὰρ κέντρῳ κεκορυθμένον ἀλγινόεντι.	Nicand. Th.
λευγαλέον	Ἔφθιτο λευγαλέοιο τυπεὶς ἁλίου ὑπὸ κέντρου.	Ibid.
ἰοειδές	Θηρὸς ἰσαζομένην πλήξεις ἰοειδέϊ κέντρῳ.	Ibid.
σκολιόν	Ἄκρον ὕδωρ, αἵ τε σκολιοῖς ἐπινεόθι κέντροις.	Apoll. lib. 4.
κελαινόν	Πηλοῖς ἐν βαθέεσσι, τὸ μὲν κέντροισι κελαινοῖς.	Opp. ἁλ. α.
σκληρόν	Σκληρὸν μὲν μάλα κέντρον ἐν ἄρσεσιν εἰς ἀφροδίτην.	Ibidem.
ἀργαλέον	Καὶ κύνες οἱ κέντροισιν ἐπώνυμοι ἀργαλέοισι.	Id. ἁλ. β.
πευκεδανόν	Κέντρου πευκεδανοῖο θολὸν ἐνερείδεται ἀλκήν.	Eod.
μηροτυπές	Μηροτυπεῖ κέντρῳ πειθομένη δάμαλις.	Epigr. lib. 1.
διωξικέλευθον	Κέντρα διωξικέλευθα, φιλορρώθωνά τε κημόν.	Epigr. lib. 6.
ὀπισθονυγές	Κέντρα τ' ὀπισθονυγῆ, καὶ βύστροφα δεσμὰ τενόντων.	Eod.
φοίνιον, δολόμ.	Φοίνια δολόμυθα κέντρ' ἐπιζέσαντα.	Soph. Trach.
σκορπήϊον	Ἴσθι δ' ἀμαλδύνειν σκορπήϊα κέντρα δυνάσθαι.	Orph. λιθ.

Nonn. Dionys. ἡδύ, φρενοθελγές, λυσσῶδες, ἄφρον, θερμόν, παιδογόνον, ἀκαμπές, ταμεσίχροον, βαρυώδυνον, πανθελγὲς ἐρώτων, πόθων ἀναγώγιον: item ὅλου κόσμοιο μεσόμφαλον ἄστρον ὀλύμπου.

κεραίη,

κεραίη, ἡ κέρας, cornu.

ἑκκαιδεκάδωρ.	Τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα πεφύκει.	Hom. Il. δ.
ξεστόν	Οἱ δ' ἐκ ξεστῶν κεράων ἔλθωσι θύραζε.	Id. Odyss. τ.
αὐτόχυτον	Ταύροις δ' αὐτοχύτοις κεράεσσιν, κέντρα μελίσσαις.	Phocyl.
κρατερόν	Γνάμπτε βίῃ κρατεροῖο κεράατος· οἱ δέ οἱ ἄμφω.	Calab. lib. 1.
γναμπτόν	Κεῖτο πέλας γναμπτοῖσιν ἐρηρεισμένον κεράεσσι.	Idem lib. 9.
δολιχόν	Τῇ μὲν ἔχεν ταύρου δολιχὸν κέρας.	Theoc. εἰδ. κ.
ὑγρόν	Αὐτὰρ ἐγὼ κέρας ὑγρὸν ἑλὼν, κοίλην τε φαρέτρην.	Id. εἰδ...
πολυγλώχιν	Καπνείων ἐλάφοιο πολυγλώχινα κεραίην.	Nicand. Th.
ἀσκελές	Ζορκὸς ἐνὶ πλάστιγγι νέον κέρας ἀσκελὲς ἱστάς.	Ibid.
ἑλικόμορφον	Αρμενίοις δίδυμον μὲν, ἀτὰρ κέρας εἰλικόμορφον	Opp. κυνηγ. β
εὐαλδές	Ἡ γὰρ εὐαλδέων κεράων ὥρῃσι πεσόντων.	Eod.
αἰνόν, ἀκαχμ.	Αντέλλει κέρας αἰνὸν ἀκαχμένον, ἄγριον ἄορ.	Eod.
ὑψικάρηνον	Πῆξεν ἐλευθερίης ἡμῖν κέρας ὑψικάρηνον.	Castalio.
λοξόν	Αὐλῶν, ἐς μόσχου λοξὸν ἔκαμψε κέρας.	Epigr. lib. 6.
ὀργυιαῖον	Δέρμα τε ὀργυιαῖα κέρα βοὸς ἐκ βασιλῆος.	Eod.
ἀτρεκές	Οὐδέ κεν ἂν γνοίης κέρας ἀτρεκὲς &c.	Orph. λιθ.
	Nonn. Dionys. εὐποίητον, πανύψορθον, ὀξυπενές, ἀρσίλοφον, πανυγλώχιν, ταυροφυές.	

κεραυνός fulmen.

ἀργής	Βροντήσας δ' ἄρα δεινὸν, ἀφῆκ' ἀργῆτα κεραυνόν.	Hom. Il. θ.
χαλεπός	Εγγὺς ἐὼν, χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός.	Id. Iliad. ξ.
ψολόεις	Ἠδ' ὡς νῆα θοὴν ἔβαλε ψολόεντι κεραυνῷ.	Id. Odyss. ψ.
αἰθαλόεις	Αὐτὸς ἔχων βροντήν, ἠδ' αἰθαλόεντα κεραυνόν.	Hesiod. Th.
φλεγέθων	Πρηστήρων ἀνέμων τε, κεραυνοῦ τε φλεγέθοντος.	Ibid.
σμερδαλ. ἀϊκτ.	Σμερδαλέῳ ἀτάλαντος ἀϊκτυπέοντι κεραυνῷ.	Calab. lib. 1.
ἀργαλέος	Σμερδαλέῃς στεροπῇσι, καὶ ἀργαλέοισι κεραυνοῖς.	Eod.
στονόεις	Κεῖται ὁμῶς κτήνεσσι δαμεὶς στονόεντι κεραυνῷ.	Eod.
ὀλοός	Ὣς εἰπὼν, στεροπήν τε θοήν, ὀλοόν τε κεραυνόν.	Id. lib. 14.

φλόγεος	Αὐτὸν δὲ φλογέῳ συνέφλεξε κεραυνῷ.	Theoc. εἰδ. κζ
κραιπνός	Ὄρσετ' ἐελπνεύσοις ἀνέμοις, κραιπνοῖς τε κεραυνοῖς.	Dolsc.
μαλερός	Ἀλλ' ὁπόταν ἐπὶ γῆς σεισμοὶ, μαλεροί τε κεραυνοί.	Sibyll.
αἰχμητής	Καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις.	Pind. Pyth.
πυρφόρος	Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν.	Id. Nem.
κρατερός	Λαίλαπας, ὄμβρους, πρηστῆρας, κρατεροὺς τε κεραυνούς.	Orph. hym.
παμφλ. φεικ.	Παμφλέκτοις, κρατεροὺς, φρικώδεας, ὀβριμοθύμοις.	Ibid.
ὅπλον ἢ βέλος πτηνὸν, χρυσοκάρδιον, ὀρθοέθειρον &c.	Πτηνὸν ὅπλον δεινὸν, χρυσοκάρδιον, ὀρθοέθειρον, Αἰφνίδιον, βρονταῖον, ἀνίκητον βέλος ἁγνόν· Ῥοίζου ἀπειρεσίου δινεύμασι παμφάγον, ὁρμῇ. Ἄρρηκτον, βαρύθυμον, ἀμαιμάκετον.	Idem περὶ κεραυνοῦ.
πυρωπόν	Κεἰ μὴ θέλῃ πυρωπὸν ἐκ Διὸς μολεῖν Κεραυνόν	Æsch. Prom.
πυρπόλος	Ὃν Ζεὺς κεραυνῷ πυρπόλῳ καταιθαλοῖ.	Eurip. Supp.
πτεροφόρος	Πάλλων κεραυνὸν, πτεροφόρον Διὸς βέλος.	Aristophan. Auib.
	Nonnus Dionys. ὑπωρόφιος, πυριγλώχιν, πυρσοφόρος, ἄκιδνος, ἀκάματος, ἄψαυστος, πυραυγὴς, αἰθέρος ὀρχηστὴρ, διϊπετὴς, ἰσότυπος στεροπῇσι, ἀμερσίγαμος, ἱμερόεις, ἀφειδὴς, πυριθαλπὴς, ὑψίγονος, φλογερὸς, διόβλητος, ἀπειλητὴρ, εὐφαής.	

Κέρβερος Cerberus.

ἀμήχανος, ὠμηστὴς, κυὼν αἴδου χαλκέοφωνος &c.	Δεύτερον αὖτις ἔτικτεν ἀμήχανον, οὔ τι φατειόν. Κέρβερον ὠμηστὴν, Ἀΐδεω κύνα χαλκεόφωνον, Πεντηκοντακέφαλον, ἀναιδέα τε κρατερόν τε.	Hesiod. Th.
δεινὸς, νηλεής	-- δεινὸς δὲ κύων προπάροιθε φυλάσσει Νηλεής.	Ibid.
πυλωρός	-- Σὺ δὲ δεινὲ πυλωρὲ	Epigr. lib. 3.
Πλούτωνος	Πλούτωνος τάρβει Κέρβερε.	
ἀδάμαστος φύλαξ	Κνυζεῖσθαί τ' ἐξ ἄντρων ἀδάμαστον φύλακα &c.	Soph. Oed. Colon.

ἄϋπνος	Σέ τοι κικλήσκω τὸν αἰὲν ἄϋπνον.	Ibid.
τείκρανος	-- τὸν δ' ὑπὸ χθονὸς	Id. Trach.
ἀπρόσμαχος	Ἅιδου τείκρανον σκύλακ' ἀπρόσμαχον τέρας.	

κέρδος *lucrum, astus.*

ἁρπαλέον	Κερδέων θ' ἁρπαλέων, οὐδ' ἀθλητῆρι ἔοικας.	Hom. Od. θ.
αἰσχρὸν	Τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.	Menand.
οὐχ ὅσιον	Κέρδεσιν οὐχ ὁσίοισι πεφυμένος ἔνδοθεν ἦτορ.	Nazianz.
κλοπαῖον	-- οὔτε κλοπαῖον Κέρδος ἄπηρον ἑλόντες.	Sibyll.
αἰολόβουλον	Κέρδεά τ' αἰολόβουλα πολυφράστοις τε δόλοισι.	Opp. κυνηγ. δ.
ἀελλομάχον	Ἄλλοισιν μελέτω κέρδος ἀελλομάχον.	Epigr. lib. 3.
εὐτράπελον	Μὴ δολωθῇς φίλε κέρδεσιν εὐτραπέλοις.	Pind. Pyth.
δόλιον	Κέρδος αἰνῆσαι παρὰ δίκας δόλιον.	Ibid.

κερδώ, supra ἀλώπηξ.

κερκὶς *radius.*

φιλαοιδὸς	Κερκίδα τὴν φιλαοιδὸν Ἀθηναίῃ θέτο Βιττώ.	Epigr. lib. 6.
φιλεργὸς	Κερκίδα τὴν φιλεργὸν Ἀθηναίῃ θέτο Βιττώ.	Eod.
μελεδήμων π.	Ἀ' δὲ πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων.	Eod.
εὐποίητος ἀηδ.	Κερκίδα δ' εὐποίητον ἀηδόνα, τὰν ἐν ἐρίθοις.	Eod.
εἰκελόφωνος χελιδόσι	Κερκίδας ὀρθρολάλοισι χελιδόσιν εἰκελοφώνοις.	Eod.

Nonn. Dionys. ἰσόπονος.

Κέρκυρα *Corcyra.*

ζαθέη	Κέρκυραν ζαθέην ἐξίκετο &c.	Orph. Arg.

κεστὸς *cestus Veneris.*

ἱμερόεις	Αὐτή σοι Κυθέρεια τὸν ἱμερόεντ' ἀπὸ μαστῶν Ἰυγα λυσαμένη κεστὸν ἔδωκεν ἔχειν.	Epigr. lib. 6.

Nonnus Dionys. φρενοθελγὴς, ἱμὰς βοηθόος, πανθελγὴς, θελκτὴρ, ἰθυντωρ, κέντωρ, ἡδύς, ἀοσσητὴρ λοχείης, οἰστρήεις, σημάντωρ Κυπριγενείης, γαμοστόλος.

κεῦθος, κεῦθμα, κευθμὼν, *latibulum, penetrale, cauerna.*

πυκινός	—ὥστε σύες πυκινοὺς κευθμῶνας ἔχοντες.	Hom. Od. κ.
βαθύσκιος	Πέτρης εἰς κευθμῶνα βαθύσκιον.	Idem hym.
δνοφερόν	Ἄισου καὶ ὅταν δνοφεροῖς ὑπὸ κεύθμεσι γαίης.	Theogn.
ἀτρύγετος	Ἡ δ' ἐν ἁλὸς κευθμῶσι μεθημένη ἀτρυγέτοισι.	Calab. lib. 2.
κενεός	Ἐν κενεῷ κευθμῶνι, περίαχε δ' αἰὲν ἰωή.	Id. lib. 14.
σκότιος	Μέχρι τινὸς σκοτίοισιν ἐνὶ κευθμῶσι δέδεσθε.	Nazianz.
χθόνιος	Νόστιμος ἐκ νεκύων χθονίους κευθμῶνας ἐάσας.	Nonnus.
στυγερός	Ἠὲ παρὰ Σκύλλης στυγερὸν κευθμῶνα νέεσθαι.	Apoll. lib. 4.
ὑποβρύχιος	Ἐν δ' ἄρα οἱ κευθμῶνες ὑποβρύχιοι πεφύασι,	Opp. ἁλ. δ.
	Κοῖλοι, πηλώεντες, ἀθέσφατοι.	
ὑγρόπορον	Ὑγροπόροις γαίης ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι.	Orph. hym.
νερτέρεος	Νερτέρεον κευθμῶνα, καὶ ἄλγεα πικρὰ θανόντων.	Epigr. lib. 1.
μελαμβαφής	Ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαφὴς	Æsch. Prom.
	Κευθμών.	

κεφαλή *caput.*

Γοργείη, δεινή,	Ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου,	Hom. Il. ε.
σμερδνή	Δεινή τε, σμερδνή τε.	
ἴφθιμος	Πολλὰς ἰφθίμους κεφαλὰς ἄϊδι προΐαψεν.	Idem Il. λ.
λιπαροπλόκαμ.	Αὐτίκα δ' εἷλεν Ἄτην κεφαλῆς λιπαροπλοκά-	Iliad. τ.
	μοιο.	
σμερδαλέη	—ἐν δὲ ἑκάστῃ Σμερδαλέη κεφαλή.	Odyss. μ.
πολιή	Χεύατο κὰκ κεφαλῆς πολιῆς ἀδινὸν στεναχίζων.	Odyss. ω.
σεμνή	Σεμνῆς ἐκ κεφαλῆς πολεμήϊα τεύχε' ἔχουσαν.	Id. hym.
θεσπεσίη	Θεσπεσίης κεφαλῆσιν ὑπ' ὀφρύσι πῦρ ἀμά-	Hesiod. Th.
	ρυσσε.	
δουλείη	Οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν.	Theognis.
ἀκερσεκόμη		Nazianz.
φοβερή	Ζῶά τε καὶ φοβεραὶ κεφαλαὶ ποίων τε δρακόντων.	Camerar.
ἱερή	Κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς.	Theoc. Epi.

Nonn. Dionys. ἐχιδνόκομος, οἰνοβαρής, πολυσκύλαξ, ἄκουρος.

κῆδος

κῆδος *cura, labor, molestia.*

πολύστονον	Ὅς νῶϊ Ἀργείοισι πολύστονα κήδε' ἐφῆκεν.	Hom. Il. α.
λυγρόν	Ἀμφοτέροιν, πατέρι δὲ γόον καὶ κήδεα λυγρά.	Id. Iliad. ε.
λευγαλέον	Κήδεσιν ἀλλήλων τερπώμεθα λευγαλέοισι.	Odyss. ο.
ἀργαλέον	-- δόλῳ καὶ κήδεσιν ἀργαλέοισι.	Calab. lib. 12
ἄλαστον	Κήδε' ἄλαστα λέγουσα· τὰ δ' οὐ νῶϊ προσῶπα κέκλαυται.	Theoc. εἰδ. κϛ
δυσδηθές	Οὔ μ' ἄλοχος κομέουσα δυσδηθέα κήδεα λύσει.	Nazianz.
ὑποκράδιον	Κῆδος ὑποκράδιον τις πανάποτμος ἔχων.	Dolsc.
γυιοκόρον	Κἀμὸν γυιοκόροις κήδεσι θυμὸν ἔδων.	Idem.
τηκεδανόν	Ὅστις τηκεδανοῖς σμύχεις σὸν κήδεσι θυμόν.	Idem.
ἄτλητον	Ἄτλητον δ' ὀλοῷ ἐπὶ πήματι κῆδος ἕλοντο.	Apoll. lib. 2.
ἀλεγεινόν	-- μηδ' ἀλεγεινὸν ἐφ' υἱέσι κῆδος ἕλοιο.	Id. lib. 3.
γοερόν	Ἤλυθεν, ἢ γοεροῦ κήδεος ἔσχε λύσιν.	Epigr. lib. 1.
δνοφερόν	Κᾶδος ὡσεί τε φθιμένου δνοφερὸν ἐν δώμασι θηκάμενοι.	Pind. Pyth.

κῆλον *telum, sagitta.*

	Κέντρῳ ἐλαυνόμενος φρικώδεα κῆλ' ἐπίφασκον.	Orph. Arg.

κημός *camus, lupatum.*

φιλοῤῥώθων	Κέντρα διωξικέλευθα, φιλοῤῥώθωνά τε κημόν.	Epigr. lib. 6.

κῆπος *hortus.*

πολυδένδρεος	Καί μοι κῆπον ἔχει πολυδένδρεον.	Hom. Od. δ.
ἑρσήεις, εὐθαλ.	Ὡς δ' ὁπόθ' ἑρσήεντα καὶ εὐθαλόεντ' ἀνὰ κῆπον.	Calab. lib. 4.
ἁπαλός	Πὰρ δ' ἁπαλοὶ κᾶποι πεφυλαγμένοι ἐν ταλαρίσκοις.	Theoc. εἰδ. ιε.
εὔδενδρος	Ἤλυθον ἀντιόωντες· ἀπ' εὐδένδροιο δὲ κήπου.	Nonnus.
εὔχλοος	Ἀγχιφανὴς ὅθι κῆπος εὔχλοος, ὃν παραμείβων.	Idem.
Ἐρυθραῖος	Σμύρναν ἄγρον θυόεσσαν, Ἐρυθραίοιο δὲ κήπου.	Idem.

ἡδυμεθής	Ἡδυμεθὴς Χαρίτων κῆπος ἐϋπλοκάμων.	Cyr. Theod.
φιλύδρηλος	Σκαπτῆραν κήποιο φιλυδρήλοιο δίκελλαν.	Epigr. lib. 6.
γλυκύς	Γλυκὺν ἀμφὶ κᾶπον Ἀφροδίτας ἀεξόμενον.	Pind. Pyth.
εὐώδης	Κτείνω δ' οἳ κήποις εὐώδεις φθείρουσι λύμαις ἐχθίσταις.	Aristophan. Auib.
	Nonn. Dionys. ἀεξίφυτος, αἰθόκομος, εὐώδης.	

κήρ *parca, fatum, mors, pestis &c.*

μέλαινα	Ἀλλ' ἐκ οἰωνοῖσιν ἐρύσσατο κῆρα μέλαιναν.	Hom. Bœot.
κακή	Νήπιος, οὐδ' ἄρ' ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξαι.	Id. Iliad. μ.
ὀλοή	Ὅς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοὴν, ἐπὶ νηὸς ἔβαινε.	Id. Iliad. ν.
στυγερή	-- ἀλλ' ἐμὲ μὲν κὴρ Ἀμφέχανε στυγερή.	Iliad. ψ.
βίαιος	Δυσμενέων προφυγόντα μόθον, κῆράς τε βιαίους.	Id. hymn.
κυανέη	Κῆρες κυάνεαι λευκοὺς ἀραβεῦσαι ὀδόντας.	Hesiod. Scu.
δεινωπός &c.	Δεινωποὶ, βλοσυροί τε, δαφοινοί τ', ἄπλητοί τε.	
νηλεόποινος	Καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους.	Id. Theog.
ἀμείλιχος	Ἄλλῃ ὅπῃ μιν κῆρες ἀμείλιχοι ἰθύεσκον.	Calab. lib. 1.
ἀργαλέη	Ἄλλοι δ' ἀμφ' ἄλλοισι φόνον καὶ κῆρ' ἐπίθεντο Ἀργαλέην.	Eod.
ἐρεμνή	-- θοῶς ἑκάτερθε παρέσταν Κῆρες ἐρεμναί.	Idem lib. 2.
οὐλομένη	Ζώειν, ἀλλά σοι ἄγχι παρίσταται οὐλομένη κήρ.	Idem lib. 6.
κελαινή	Ἀλλ' ὅτε δὴ μάλα πολλοὶ ἀνεπλήσαντο κελαινὰς Κῆρας.	Eod.
ἀΐδηλος	Τεύξωμεν Δαναοῖσι φόνον καὶ κῆρ' ἀΐδηλον.	Eod.
σμερδαλέη	-- οὕνεκα κῆρες Σμερδαλέαι πολέεσσί μ' ἐνεκλήσαντο κακοῖσι.	Id. lib. 14.
ἀνηλής	Μίμνον ἀλευόμενοι θάνατον καὶ ἀνηλέα κῆρα.	Id. lib. 12.
πολυπήμων	Κῆρας ἀπωσάμενος πολυπήμονας, αἵ τε βεβήλων.	Linus.
ἐπιλωβής	Θύμβρῃ δ' ἐξελάσεις ὀφέων ἐπιλωβέα κῆρα.	Nicand. Th.
θελκτός	Ἔνθ' ἐπεὶ ἔκφυγε κῆρα θείλατον.	Apoll. lib. 2.
θυμοβόρος	-μέλπε δὲ κῆρας Θυμοβόρους, Ἀΐδαο θοὰς κύνας	Id. lib. 4.

πικρή

πικρή	Πορθουμένοισι κῆρας ἀρκέσαι πικράς.	Lycoph.
κυνωπόμορφος	Καὶ κῆρα κυνωπόμορφον· οἱ δὲ δύσμοροι.	Idem.

κῆρ cor: supra κέαρ.

φίλον	Οὔτε ποτ' ἐς πόλεμον γ', ἀλλὰ φθινύθεσκε φίλον κῆρ.	Hom. Il. α.
λάσιον	Παφλαγόνων δ' ἡγεῖτο Πυλαιμένεος λάσιον κῆρ.	Id. Bœot.
κυδάλιμον	Ὕψόθ' ἐόντι Διΐ, μέγα δ' ἔστενε κυδάλιμον κῆρ.	Iliad. κ.
ὀλοόν	Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ.	Iliad ξ.
ἀτέραμνον	Κῆρ ἀτέραμνον ἔθηκαν ὀλύμπια δώματ' ἔχοντες.	Id. Odyss. ψ.
παλαιόν	Ὅς καί που προπάροιθεν Ὀδυσσῆος παλαιὸν κῆρ.	Calab. lib. 1.
αἰθόμενον	-- ἐπεί ῥά οἱ αἰθόμενον κῆρ Μᾶλλον ἐφώρμαινε θανέειν.	Idem lib. 2.
θαλερόν	Ἶνας ἐγκεφάλοιο, κέασσε δέ οἱ θαλερὸν κῆρ.	Id. lib. 3.
κερδαλέον	Ὣς φάτο. τὸν δ' Ὀδυσῆος ἀμείβετο κερδαλέον κῆρ.	Idem lib. 5.
ἀργαλέον	Ὣς ὄφελον πέσσεσθαι Ὀδυσσέος ἀργαλέον κῆρ.	Eod.
κρατερόν	Τεῦξεν. ὁ δ' ἐκ δόρποιο κορεσσάμενος κρατερὸν κῆρ.	Id. lib. 8.
πολυκηδές, θολ.	Καὶ πολυκηδὲς ἐμοὶ κῆρ θολερόν τε ποιεῖ.	Dolsc.
χαμερπές	Οὔτ' ἀπὸ τερπνὸν ἄνευ κῆρ τε χαμερπὲς ἔοι.	Idem.
ἄκακον, ἄχραντον &c.	Κῆρ ἄκακον, κῆρ ἄχραντον, κῆρ καλὸν ἠδ' ἐσθλόν.	Idem.
ἄοκνον	Ἦτορ ἑτοῖμον ἐμοί, κῆρ μοι θεὸς ἐστὶν ἄοκνον.	Idem.

κηρίον fauus, apum sedes.

λευκόν	Ἠμάτιαι σπεύδουσι, τιθεῖσί τε κηρία λευκά.	Hesiod. Th.
γλυκύ	Αἰγὸς Ἀμαλθείης, ἐπὶ δὲ γλυκὺ κηρίον ἔβρως.	Callimach.
ἄγριον	Ἀκρὶς Ἰωάννου δὲ τροφὴ καὶ ἄγριον ἦεν Κηρίον.	Nazianz.
λείριον	Σίμβλα μελισσάων ὅτε λείρια κηρία θλίβει.	Opp. κυνηγ. α.
μελισταγές	Κηρίον ὠδίνουσα μελισταγές.	Christod.

κηρός cera.

μελιηδής	Κηρὸν δ' ἐψήσας μελιηδέα, μή τις ἀκούσῃ.	Hom. Od. μ.

μελίχρως	Κηροὺς ἐκ ταμνῆσι μελίχροας· αἱ δ' ἀκάχονται.	Calab. lib. 3.
ἡδύς	Καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέϊ καρῷ.	Theoc. εἰδ. α.
εὔπηκτος	— φέρ' εὐπάκτοιο μελίπνουν	Eod.
	Ἐκ κηρῶ σύριγγα.	
λευκός	Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἴσον ἄνωθεν.	Idem εἰδ. η.
μαλακός	Ὡς πυρὶ ἀκαμάτῳ μαλακὸς κατατήκεθ' ὁ κη-	Dolsc.
πολύτρητος	Λευκὰ πολυτρήτοιο ἐρρύτα κάλλεα κηρῶ. (ρός	Epigr. lib. 1.
	Nonn. Dionys. μιμηλὸς, τροχοειδής.	

κήρυξ præco.

λιγύφθογγος	Αὐτὰρ ὁ κηρύκεσσι λιγυφθόγγοισι κέλευε.	Hom. Iliad β
ἀγαυός	Ἂν δ' Ὀδυσεὺς πολύμητις. ἀτὰρ κήρυκες ἀγαυοί	Idem Iliad. γ.
ἠπύτης	Στὰς ἐν μέσσοισι μετεφώνεεν ἠπύτα κῆρυξ.	Iliad. η.
ἠερόφωνος	Σκῆπτρα δὲ κηρύκων ἐν χερσ' ἔχον ἠεροφώνων.	Iliad. σ.
πανύφθογγος	Ἡ δὲ πανυφθόγγοιο δέμας κήρυκος ἐλοῦσα.	Tryphiod.
ἠχέτης	Οὗτος καὶ τελάδος νόους ἔπλετο ἠχέτα κῆρυξ.	Nazianz.
ἀγλαόφωνος	Κῆρυξ ἀγλαόφωνος ἐν αὐδῆσι ῥήμασι τέχνης.	Idem.
πεισήνωρ	Κῆρυξ πεισήνωρ, πεπνυμένα μήδεα εἰδώς.	Falc. Proba.
ὑψιβόης	Ὑψιβόαν μετανοίας κήρυκα καὶ Ἰωάννην.	Cyr. Theod.
	Nonn. Dionys. φερέσπονδος, ποδηνέμος, ταχύδρομος, ἑτερύθροος, κραιπνός.	

κῆτος balena.

εἰνάλιον	Τίς γάρ κ' εἰναλίῳ παρὰ κήτεϊ κοιμηθείη;	Hom. Od. δ.
ἀλεγεινόν	Ἰχθύες ὡς ἀνὰ πόντον ὑπερχομένου ἀλεγεινοῦ	Calab. lib. 3.
	Κήτεος.	
ἀργαλέον	Ἀργαλέον μέγα κῆτος ἀμειλίκτοισιν ὀϊστοῖς.	Idem lib. 6.
κυάνεον	-- ὁ δὲ κυανέου ὑπὸ κήτεος οὐρῇ.	Aratus.
ὀβριμόγυιον	Κήτεα δ' ὀβριμόγυια, πελώρια θαύματα πόντου	Opp. ἁλ. α.
λευγαλέον	Κήτεσι λευγαλέοις ἐναρίθμιον.	Eod.
ἀμείλικτον	Ἔστι δ' ἀμειλίκτοις ἐνὶ κήτεσιν, ὅσσα τ' ἀλήμης.	Eod.
ὠμηστήρ	Θάμβει παπταίνοντες ἐρείπιον ὠμηστῆρος.	Idem ἁλ. ε.
πολυδήλητον	Ἄλλοι δ' ὠτειλὰς πολυδηλήτοιο πελώρου.	Eod.
ἐχθοδοπόν	Ἔξοχα δ' ἐχθοδοποῖς ἐνὶ κήτεσι μαργαίνουσι.	Eod.
	Nonn. Dionys. ἁλιτρόφον.	

κηφὴν *fucus, vespa.*

κόθουρος	Ζώη, κηφήνεσσι κοθούροις εἴκελος ὀργήν.	Hesiod.lib.1
ὀλοός	Ὡς ὀλοοὶ κηφῆνες ἐδηλήσαντο μελίσσας.	Epigr. lib. 1.

Nonn. Dionys. Αἰθιοπῆες.

Κηφισσὸς *Cephisus fl.*

καλλιρέεθρος	Κηφισσὸν δ' ἄρ' ἔπειτα κιχήσαο καλλιρέεθρον.	Hom. hym.
καλλίναος	Καλλινάου τ' ἐπὶ Κηφισοῦ ῥοαῖς.	Eurip.Med.

Κιθαιρὼν *Cithæron, mons Bœotiæ.*

Apollo apud Herodot. in Polym.

ζάθεος	Ἐντὸς ἔχει κευθμῶν τε Κιθαιρῶνος ζαθέοιο.	
Ἀρτέμ. ὄμμα	-- Ἀρτέμιδος χιονοτρόφον ὄμμα Κιθαιρών	Eur. Phœn.

Nonnus Dionys. ὑψικάρηνος, βαρύδουπος.

κιθάρα *cithara.*

περικαλλής	Κῆρυξ δ' ἐν χερσὶ κίθαριν περικαλλέα θῆκε.	Hom.Od. α.
λιγυηχής	Αὐτίκα μιν κιθάρῃ λιγυηχέϊ δέξατο δελφίν.	Epigr. lib. 1.
καλλίχορος	Κλειὼ καλλιχόρου κιθάρης μελιηδέα μολπήν.	Eod.
πολυδαίδαλος	Καί μ' ἔκιχε κίθαριν πολυδαίδαλον ἐντύνοντα.	Orph. Arg.
εὔκρεκτος	Ἤ πως εὐκρέκτῳ κιθάρῃ ἐπὶ δάκτυλα βάλλω.	Nazianz.
Ὀρφείη	Ὀρφείη κιθάρη, μῦθος πέλεν, ὥσπερ ἐΐσκω.	Idem.
χρυσόδετος	Χρυσόδετον κίθαριν ὡς ἔχεν, ἔκρεξε κάλλιστον.	Idem.
ὑμνοπόλος	Λύσαο ἀλλά μ' ἔχεις ὑμνοπόλον κίθαριν.	Idem.
εὐμελής	Δόγματος εὐαγόρου κίθαριν εὐμελέα.	Cyr.Theod.
εὔφθογγος	Αἰνεῖτ' εὐφθόγγοις κιθάρας μὲν χερσὶν ἔχοντες.	Dolsc.
λιγυρή	Δαβίδος λιγυρῇ μνησάμενος κιθάρῃ.	Apolinar.
εὐκέλαδος	Οὔνομα δ' εὐκελάδῳ κιθάρῃ φορμίζετε θεῖον.	Idem.
πολύκρεκτος	Παντοθαλής· σὺ δὲ πάντα πόλον κιθάρῃ πολυκρέκτῳ.	Orph. hym.
ἑπτάμιτος	Πάτρην ἑπταμίτῳ τείχισας ἐν κιθάρῃ.	Epigr. lib. 1.

τειχομελής	Ἀλλ' Ἀθάμας τλήμων, τειχομελὴς κιθάρη.	Eod.
γλυκερή, νυκτιλ.	Εὕδει δ' ἡ γλυκερὴ νυκτιλάλος κιθάρη.	Epigr. lib. 3.
Λυκωρείη	Λᾶα, Λυκωρείην ἀνθέμενος κιθάρην.	Epigr. lib. 4.
Δηλιάς	Ἤθελον, ἢ κιθάρης κρούματα Δηλιάδος.	Epigr. lib. 7.
φιλόχορος	Μετά τε φιλοχόρου κιθάρας συρίγγων θ'.	Eur. Iph. Au.
	Nonnus Dionis. ἑπτάτονος, πυργοδόμος, αἰολόφωνος, Ἀονίη.	

Κίκονες Cicones.

πολύρρηνοι	Βιστονίη Κικόνεσσι πολυρρήνοισιν ἀνάσσων.	Orph. Arg.
αἰχμηταί	Εὔφημος δ' ἀρχὸς Κικόνων ἦν αἰχμητάων.	Hom. Bœot.

Κίλικες Cilices.

Πάμφυλοι	Παμφύλων Κιλίκων ποτὶ πτολίεθρα νέεσθαι.	Calab. li. 14.
αἰχμηταί	Παμφύλοισί τε πᾶσι, καὶ αἰχμηταῖς Κιλίκεσσι.	Theoc. εἰδ. ιζ.

Κιμμέριοι Cimmerii.

ζοφώδεις	Ὡς οἱ ζοφώδεις Κιμμέριοι τοῦ λόγου.	Galeomy.
ἱππημολγοί	-- ἐπὶ δὲ στρατὸν ἱππημολγῶν Ἤγαγε Κιμμερίων.	Callimach.

Κίρκη Circe.

πότνια	Ποικίλον, ὅν ποτέ μιν δέδαε φρεσὶ πότνια Κίρκη.	Hom. Od. θ.
Αἰαίη	Αἰαίη δολόεσσα, λιλαιομένη πόσιν εἶναι.	Id. Odyss. ι.
εὐπλόκ. δεινή	Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα.	Odyss. κ.
πολυφάρμακος	Κίρκης ἵξεσθαι πολυφαρμάκου ἐς μέγα δῶμα.	Eod.
ἀθάνατος	Ἐσθίετε βρώμην, τὴν ἀθανάτη πόρε Κίρκη.	Odyss. μ.
θηρόπλαστος	Ποίαν γὰρ θηρόπλαστον οὐκ ἐπόψεται	Lycoph.
δράκαιναν	Δράκαιναν ἐγκυκῶσαν ἀλφίτῳ θρόνα.	
συῶν μορφωτ.	Κύκλωψ, Λιγυστίς θ' ἡ συῶν μορφώτρια Κίρκη	Eur. Troad.
ἠλίου θυγάτηρ	Κούρη ὁμογνήτη μεγαλόφρονος Αἰήταο, Ἠελίου θυγάτηρ, Κίρκην δέ ἑ κικλήσκουσι.	Orph. Arg.
	Nonnus Dionys. πολύθρονος, ὀρεστιάς, φιλοσκόπελος.	

κίρκος circus accipiter.

ἐλαφρός	Κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν.	Hom. Od. ν.
Ἀπόλλωνος ἄγγελος	-- ἐπέπτατο δεξιὸς ὄρνις Κίρκος Ἀπόλλωνος ταχὺς ἄγγελος.	Idem Od. ο.
ὠκυπέτης	Οἱ δ' ἄλλοι εἵξαντες ὑπετρέεσαν, ἠΰτε κίρκοις Ὠκυπέτας.	Apoll. lib. 1.
αἴθων, θρασύς	Οὐ δή ποτ' αἴθων πρῶτα καμμύσει δόρυ Κίρκος θρασύς &c.	Lycoph.

Nonn. Dionys. ἀελλήεις.

κισσός hedera.

μέγας, τηλεθάων	-- ἀμφ' ἱστὸν δὲ μέγας ἐλίσσετο κισσὸς Ἄνθεσι τηλεθάων.	Hom. hym.
κυανάμπυξ	Γυμνὸν ἐπισείουσα κάρη κυανάμπυκι κισσῷ.	Tryphiod.
ζώων	Κισσόν τε ζώοντα, καὶ ἀσφόδελον τὸν ὑπὸ γᾶς.	Theoc. εἰδ. λβ
κροκόεις	-- καὶ ὁ τὸν κροκόεντα Γελιπος Κισσὸν ἐφ' ἱμερτῷ.	Id. Epigr.
μεγάμφυλλος	Στεψάμεναι κισσοῖο μεγαμφύλλοιο κορύμβοις.	Dionys.
ἱμερόεις	Κισσῷ δ' ἱμερόεντι καλὰς ἔστεψεν ἐθείρας.	Idem.
σκιώτης	Σκιώτης μαλακοὺς κισσὸς ἕλοιτο πόδας.	Epigr. lib. 3.
τετρακόρυμβος	Θάλλοι τετρακόρυμβος, Ἀνάκρεον, ἀμφί σε κισσὸς	Eod.
εὐχαίτης	Ἔκχυτον εὐχαίτης κισσὸς ἔπλεξε κόμην.	Epigr. lib. 4.
πολυπλανής	Κισσοῦ δὲ Βρομίῳ κλῶνα πολυπλανέος.	Epigr. lib. 6.
βοτρυόεις	Ἄνθει βοτρυόεντος ἐρεψάμενοι τεῖχα κισσοῦ.	Epigr. lib. 1.
οἴνωψ	Χλωραῖς ὑπὸ βάσσαις τὸν οἰνωπ' ἀνέχουσα κισσόν	Soph. O.C.

Nonnus Dionys. αἴθωψ, ἑλικώδης, αὐτοέλικτος, τανύπλεκτος, ἀερσιπόδης, παλινδίνητος, ἀερσιπότης, εὐώδης, πλεκτὸς, ἐπιβήτωρ ὀπώρης, ταμεσίχρως, πηγήων, ἀρραγὴς, ἀερσιπότητος, δαφοινήεις, ἀλήτης, τανύφυλλος, ἀκοντιστὴρ, γιγάντων.

κισσύβιον vas pastorale.

βαθύ	Καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέϊ καρῷ.	Theoc. εἰδ. α.
ἀμφῶες, νεοτ.	Ἀμφῶες, νεοτευχές, ἔτι γλυφάνοιο ποτόσδον.	Eod.

κίχλα turdus, sturnus.

τανυσίπτερος	Ὡς δ' ὅτ' ἂν ἢ κίχλαι τανυσίπτεροι, ἠὲ πέλειαι.	Hom. Od. χ.
πίων	Δισσαῖ ἐκ βροχίδων, ἃ μὲν μία πίονα κίχλαν.	Epigr. lib. 1.

κίων columna.

μακρός	Μέσσῳ δαιτυμόνων πρὸς κίονα μακρὸν ἐρείσας	Hom. Od. θ.
χάλκεος, ἠλίβατος	Ἠχί τε καὶ χάλκειος ἐς οὐρανὸν ἔδραμε κίων Ἠλίβατος.	Dionys.
ἀκάματος	Κίονας ἀκαμάτοις σφετέραις ἐγὼ ἐστήριξα.	Apolinar.
ὄρθιος, ὑψικόλ.	Κίονα δειμάσθην μέγαν ὄρθιον ὑψικόλωνον.	Opp. κυνηγ. δ.
στιβαρός	Χεῖρας ὑπὸ στιβαρῷ κίονι δησάμενος.	Epigr. lib. 4.
τετράπλευρος	Κίονα τετράπλευρον, ἀεὶ χθονὶ κείμενον ἄχθος.	Eod.
ἀστραβής	Ὃς Ἕκτορ' ἔσφαλε Τροίας ἄμαχον ἀστραβῆ κίονα.	Pind. Olym.

κλαγγή clangor.

δεινή	Δεινὴ δὲ κλαγγὴ γένετ' ἀργυρέοιο βιοῖο.	Hom. Il. α.
ἄσπετος	Κλαγγὴ δ' ἄσπετος ὦρτο συῶν αὐλιζομενάων.	Id. Odyss. ξ.
στονόεσσα	Κλαγγὴν γὰρ στονόεσσαν ὑπέκλυεν οὔασιν οἷσιν.	Calab. lib. 1.

κλάδος ramus: κλαδίσκος ramulus.

μαλακός	Ἁπαλὰς σείει δὲ χαίτας Μαλακωτάτῳ κλαδίσκῳ.	Anacr.
ἁπαλός	Οἴνης τοὺς ἁπαλοὺς πάντας ἔδαψε κλάδους.	Epigr. lib. 1.
πολύσχιστος	Ἐκ γάρ τοι ῥίζης τε πολύσχιστοι κλαδεῶνες.	Nazianz.
τέρην	Ἀμφί τ' ἀεὶ τέρενας τηλεθόωσι κλάδοις.	Dolsc.
δενδρώδης	Ὠδῖνας ἐξέλυσε δενδρώδης κλάδος.	Lycophr.
ὑψιγέννητος	Ἔχων τ' ἐλαίας ὑψιγέννητον κλάδον.	Æsch. Eum.
ἱερόστεπτος	Σὺν τοῖς δ' ἱκετῶν ἐγχειριδίοις ἱεροστέπτοισι κλάδοισι.	Id. Supplic.
λευκοστεφής, ν.	Λευκοστεφεῖς ἔχουσα νεοδρέπτοις κλάδοις.	Ibid.

Κλάρος Claros, Ioniæ ciuitas.

αἰγλήεσσα	Καὶ Κλάρος αἰγλήεσσα, καὶ Αἰσαγένης ὄρος αἰπύ.	Hom. hym.
ἀμπελόεσσα	Ἐς Κλάρον ἀμπελόεσσαν, ὅθ' ἀργυρότοξος Ἀπόλλων.	Ibidem.

κλαυθμός *fletus.*

στυγερός	Κλαυθμοῦ τε στυγεροῖο γόοιό τε δακρυόεντος.	Hom. Od. ρ.
μεγάστονος	Τίς ποθ' ὁ κλαυθμὸς ὄρωρε μεγάστονος;	Cyr. Theod.

κλεὶς (poet. κληΐς) *clauis.*

βαθυκαμπής	Χύτρον τοι, ταύτην τε κρεαγρίδα, καὶ βαθυκαμπῆ Κλεῖδα συῶν.	Epigr. lib. 6.
εὐκαμπής	Εἵλετο δὲ κληῖδ' εὐκαμπέα χειρὶ παχείῃ.	Hom. Od. φ.
φαεινή	Τρεῖς ἀδύτοις ἀνέῳγε, λαβὼν κληῖδα φαεινήν.	Idem hym.

Κλείω *Clio.*

εὔθρονος	Τίν γε μὲν εὐθρόνου Κλεοῦς ἐθελοίσας &c.	Pind. Nem.

Κλεοπάτρη *Cleopatra.*

Nonn. Dionys. φιλοστέφανος, ὑγρόμοθος.

κλέος *decus, gloria, nominis claritas.*

ἄφθιτον	Ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται.	Hom. Il. ι.
ἐπουράνιον	-- μέγα κέν οἱ ἐπουράνιον κλέος εἴη.	Id. Iliad. κ.
εὐρύ	Ἀνδρὸς, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα, καὶ μέσον Ἄργος.	Odyss. α.
ἄσβεστον	Χεῦ' Ἀγαμέμνονι τύμβον, ἵν' ἄσβεστον κλέος εἴη	Odyss. δ.
ἀπλήρωτον	Θανόντας ἀπλήρωτον ἕλκοντας κλέος.	Galeomy.
δηναιόν	Δηναιὸν κλέος ἔσχεν, ἐσιγάθη δ' ἀνυφορβός.	Theoc. εἰδ. 15.
ἀγαθόν	Ἐκ Μουσᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι.	Eod.
ὑψηλόν	Ὑψηλὸν δ' Ἱέρωνι κλέος φορέοιεν ἀοιδοί.	Eod.
βαθύ	Ἤ ποτε Μαιονίδαο βαθὺ κλέος, οὔνομ' Ὁμήρου.	Epigr. lib. 1.
ἀμφήριστον	Στήσομεν ἐνθάδε μῦθον, ἔχεις κλέος ἀμφήριστον	Nazianz.
δυσκλεές	Καὶ κακίην τέρπειν, δυσκλεές ἐστι κλέος.	Idem.
εὐσεβές	Πλεῖστον ἐν ἀνθρώποις καὐσεβὲς εὗρε κλέος.	Scipio Cart.
αἰπύ	Σοὶ μουσῶν ἡμέας χρὴ κλέος αἰπὺ φέρειν.	Dolsc.
ἀείμνηστον	Δὸς ἀμφὶ κάρα τεὸν κλέος ἀείμνηστον ἀμφιθεῖναι.	Eurip. Iphig. Aul.
οὐρανόμηκες	Ταῦτά σοι ἐκτελέσαντι κλέος, πάτερ, οὐρανόμηκες.	Musurus.
ἀμφιβόητον	Καὶ κλέος ἀμφιβόητον ἐμὸν κονίησι μιῆναι.	Apolinar.

σθεναρόν	Σῶν γὰρ ὑποδρομέω σθεναρὸν κλέος εὐνομιάων.	Idem.
ἀθάνατον	Θάνατον ἀθάνατον ἄγοντα κλέος.	Nazianz.
πελώριον	Ποτὶ πελώριον ὅρμασε κλέος ἀνήρ.	Pind. Olym.
ἐπήρατον	Ἀπὸ Σπάρτας ἐπήρατον κλέος &c.	Id. Pyth.
ποθεινόν	Ἔν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν κλέος ἔπραξεν	Id. Isthm.
	κλέτας rupes.	
ἱερόν	Εἶξον ἐμοὶ δάφνης ἱερὸν κλέτας.	Epigr. lib. 4.
	Nonn. Dionys. εὔβοτον, πανύφυλλον.	
	κληΐς: supra κλείς.	
	κλῆμα pampinus, palmes.	
βάκχιον	Κλῆμα τὸ βάκχιον ἰδεῖν, Χ' ὑπὸ τὰ πέταλα δῦναι.	Anacr.
ὠμοτόκον	Κλήματος ὠμοτόκου βλαστὸν ὅλον θερίσης.	Epigr. lib. 1.
καρποφόρον	Γναμπτοῖς ἡμέτερον κλῆμα τὸ καρποφόρον.	Eod.
καλλιπέτηλον	Κλῆμα γὰρ καλλιπέτηλον, ὃ μὴ μάθε βότρυν ἀέξειν	Nonnus.
ἑλίβοτρυ	Νῶε πρὸ κλῆμ' ἐφύτευσεν ἑλίβοτρυ, θλίψε δὲ καρπόν.	Cyr. Theod.
ἀμπέλινον	Ἀνὴρ, ἀμπελίνου κλήματος ἐξέταμεν.	Epigr. lib. 1.
φερεστάφυλον	Κλήμασιν αὐτίκα σεῖο φερεσταφύλοισιν ἀγυιὰς Ἀμφιέσας.	Orph. λίθ.
	Nonnus Dionys. β θυόεν.	
	κλῆρος sors.	
	Proclus Lyc. hym. εἰς τὰς μούσας: Κάππεσον, ὑλοβαφεῖσι περὶ κλήροισι μανεῖσαι.	
	κλισία tentorium, tabernaculum.	
εὔπηκτος	Αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου.	Hom. Il. ι.
εὔτυκτος	Οἱ δ' ὅτε Τυδεΐδεω κλισίην εὔτυκτον ἵκοντο.	Iliad. κ.
ὑψηλή	Ἀλλ' ὅτε δὴ κλισίην Πηληϊάδεω Ἀχιλῆος Ὑψηλὴν.	Iliad. ω.
εὐποίητος	Αὐτὴ δ' ἐς κλισίας εὐποιήτους ἀφίκανε.	Id. hymn.

εὐσταθής	Ἕρκεά τε πρήσαντες ἐϋσταθέων κλισιάων.	Tryphiod.
νεοπηγής	Οὔπω ἐγὼ κλισίας νεοπηγέας ἄρτι γεραίρων.	Nonnus.
κακοεργός	Καί με περίστιξε κλισίη κακοεργὸς ἀλιτρῶν.	Apolinar.
πολυηχής	Εὐδικίην κλισίῃ πολυηχέϊ πέφραδον ἄνδρες.	Idem.
θεοτερπής	Καί σε μέσον κλισίης θεοτερπέος ὑμνοπολεύσω.	Idem.
	κλισμός sedes, sella, torus.	
χρύσεος	Αὐταὶ δὲ χρυσέοισιν ἐπὶ κλισμοῖσι κάθιζον.	Hom. Iliad. θ.
πολυδαίδαλος	Ἕζετο δ᾽ ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη	Id. Iliad. ω.
ποικίλος	Πὰρ δ᾽ αὐτὸν κλισμὸν θέτο ποικίλον.	Odyss. α.
εὐλάϊγξ	Πολλάκι δ᾽ εὐλάϊγγος ἀπὸ κλισμοῖο θοροῦσα.	Coluth.
	κλόνος motus, conflictatio, pugna, &c.	
αἰνός	Τίπτε κλόνον Αἰνὸν ἐελδόμεναι πονέεσθαι.	Calab. lib. 1.
ἄσχετος	Ἥ μιν ἐποτρύνουσα ποτὶ κλόνον ἄσχετον ἄνδρας.	Id. lib. 5.
αἱματόεις	Εἰ μὴ οἱ Τρώων τις ἀνὰ κλόνον αἱματόεντα.	Idem lib. 6.
ἀτάσθαλος	Οὐ παθέων κλόνος αἰνὸς ἀτάσθαλος.	Nazianz.
ἄπαυστος	Τοὔνεκα καὶ πολέμοιο φέρω κλόνον αἰὲν ἄπαυστον.	Idem.
ἀμφήελσος	Καὶ πολὺς ἀμφήελσος ἔην κλόνος.	Nonnus.
στονόεις	Πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαῒ φωτῶν.	Epigr. lib. 6.
ἱπποχάρμης	Ἱπποχάρμας τε κλόνους, πολεῶν τ᾽ ἀναστάσεις.	Æsch. Pers.
	Nonnus Dionys. ἑτερότροπος.	
	Κλυμένη *Clymene.*	
βοῶπις	Αἴθρη Πιτθῆος θυγάτηρ, Κλυμένη τε βοῶπις.	Hom. Il. γ.
καλλίσφυρος,	Κούρην δ᾽ Ἰαπετὸς καλλίσφυρον, Ὠκεανίνην	Hes. Theog.
Ὠκεανίνη	Ἠγάγετο Κλυμένην.	
	Κλυταιμνήστρη *Clytæmnestra.*	
δῖα	Δῖα Κλυταιμνήστρη. φρεσὶ γὰρ κέχρητ᾽ ἀγαθῇσι	Hom. Od. γ.
δράκαινα δ.	Δράκαινα διψάς, κἀπιβᾶσ᾽ ἐπ᾽ αὐχένος.	Lycoph.
κελαινόφρων	-- ἀλλά νιν κελαινόφρων ἐμὴ	Æsch. Eum.
	Μήτηρ κατέκτα ποικίλοις ἀγρεύμασι.	

παιδοφόνος	Μέλεον ἀπόφονον αἷμα δοὺς παιδοφόνου μητέρος.	Eurip. Orest
πανώλης Τυνδαρίς	Ἡ γὰρ πανώλης Τυνδαρὶς μήτηρ ἐμή. Sequitur mox, πανώλεθρος, κακόφρων.	Id. Electra.

Κλωθώ Clotho.

ὑψίθρονος	Ἐγὼ δ' ὑψίθρονον Κλωθὼ κασιγνήτας τε προσεννέπω.	Pind. Isthm.

κλών rami apex.

μεγαμπέταλος	Καίσαρος ἐκ βωμοῦ κλῶνα μεγαμπέταλον.	Epigr. lib. 1.

κνέφας crepusculum.

ἱερόν	Δύντ' ἠέλιος, καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ.	Hom. Il. α.
νυκτερινόν	Τὸν νυκτερινὸν συνάγειν οἶμαι κνέφας.	Nazianz.
δνοφερόν	Ἄμμι διαστράψοι δνοφερὸν κνέφας ἐκ σέθεν αἴγλη.	Apolinar.
δυσήλιον	Τάξιν ἔχουσα καὶ δυσήλιον κνέφας.	Æsch. Eum.

Κνωσσός Gnossus, vrbs Cretæ.

εὐρεῖα	Τῷ ἴκελον, οἷόν ποτ' ἐνὶ Κνωσσῷ εὐρείῃ.	Hom. Il. σ.
Μινώϊος	Κρῆτες ἀπὸ Κνωσσοῦ Μινωΐου.	Id. hym.
πολυδένδρεος	Ξεῖνοι τοὶ Κνωσσὸν πολυδένδρεον ἀμφινέμεσθε	Ibid.

κόθορνος cothurnus.

Nonn. Dionys. ἀδούπητος, γυναίκειος, ἀρραγής.

κοίτη cubile, concubitus.

ἁπαλή	Ἐν δ' ἁπαλαῖσι κοίταις τελεῖν τὰν ἀφροδίταν.	Anacr.
ἀγραυλής	Καὶ τὸν εἰκαίῃ παράθου, καὶ ἀγραυλεῖ κοίτῃ.	Nicand. Th.
εὔσκιαστος	Κοίταν δ' ἔχει νέρθεν εὔσκιαστον ἀεί.	Soph. O.C.

κοῖτος cubatio, quies.

ἡδύς	Καὶ γὰρ δὴ κοίτοιο τάχ' ἡδέος ἔσσεται ὥρη.	Hom. Od. τ.
στυγερός	Αὖλιν ἐσιέμεναι, στυγερὸς δ' ὑπεδέξατο κοῖτος.	Id. Odyss. χ
λαθικηδής	Παυσάμενοι λαθικηδέα ὕπνον ἕλοντο.	Calab. lib. 14

κόκκος *coccus.*

δριμύς	Εν δέ σφιν ἐ δριμὺν ἐπήλυδα κόκκον ἄνωγα Μῖξαι χρυσοχίτωνα, μελαγχροίην, ἐείπμον.	Orph. λίθ.

κόλαξ *assentator, adulator.*

τραπεζόκορος	Μηδὲ τραπεζοκόροις κόλακας ποιεῖσθαι ἑταίρους.	Phocyl.
κολακευόμενος	Ὡς κόλακας μισεῖν τοὺς κολακευομένους.	Epigr. lib. 1.
βωμολόχος	Οὔκουν ταὐτὸ κόραξ βωμολόχος τε κόλαξ.	Eod.
γαστρόδουλος	Ξὺν θ' ἅμα χλευασταῖς, κολάκεσσί τε γαστροδούλοις.	Dolsc.

κολοιός *graculus.*

ἠχήεις	-- ἅτ' ἠχήεντες ἰδόντες Αἰετὸν αἰγλήεντα περικράζουσι κολοιοί.	Tryphiod.
ὑπωρόφιος	Καὶ νῆσσαι οἰκουροί, ὑπωρόφιοί τε κολοιοί.	Aratus.
εὔπτερος	-- εἴ γε κολοιὸν Εὔπτερον ἀλλοτρίοις ἄνθεσι, μῦθος ἔχων.	Nazianz.
κραγέτης	Κραγέται δὲ κολοιοὶ, ταπεινὰ νέμονται.	Pind. Nem.

κολοσυρτός *tumultus, turba vaga.*

ἀργαλέος	Πιμπλῆσαι κονιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.	Hesiod. Th.
ἀνδροφόνος	Πιπτόντων νεκύων. τοὶ δ' ἀνδροφόνῳ κολοσυρτῷ.	Tryphiod.

κόλπος *sinus.*

βαθύς	Ἑρμιόνην, Ἀσίνην τε, βαθὺν κατὰ κόλπον ἐχούσας.	Hom. Bœot.
εὐρύς	Ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον.	Id. Iliad. σ.
κεχηνώς	Γαῖα περιπλύξασα κεχηνότι δέξατο κόλπῳ.	Tryphiod.
εὐώδης	Κόλπου ἐς εὐώδη ῥαδινὰς ἐπεμάξατο χεῖρας.	Theoc. εἰδ. ιζ.
ἱμερόεις	Κόλπον ἐς ἱμερόεντα κατὰ βλεφάρων ἐχέοντο.	Id. εἰδ. κϛ.
ὑδροδόκος	Χεύματι φοινίσσοντι, ἐ ὑδροδόκου διὰ κόλπου.	Nonnus.
θεοδέγμων	Ὅς δὲ δι' αἰθέρος θεοδέγμονος ἵκετο κόλπου.	Idem.
πολυχανδής	Μαστεύων ἑλικηδὸν, ἕως πολυχανδέϊ κόλπῳ.	Idem.

ἀρτιτόκος	Ἀνέει τις πόρε φέγγος, ὃν ἀρτιτόκου διὰ κόλπου.	Idem.
κηώδης	—ἡ δ' ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ.	Falc. Proba.
νήχυτος	Δέξαι ἀχράντοισι θεὸν σοῖς παρθένε κόλποις.	Sibyll.
βαθυδίνης	Περσικὸν, Ὑρκανίον τε, καὶ Ἀρράβιον βαθυδίνην.	Dionys.
κυμαίνων	Κόλποις κυμαίνοντας ἐρεύγεται ἔνδοθι βαλιῶν.	Idem.
εἰνάλιος	Κόλποις εἰναλίοις ἐστεμμένη ἔνθα καὶ ἔνθα.	Idem.
νήχυτος	—ἑλίσσεται εἰν ἁλὶ κόλπος Νήχυτος.	Idem.
ἀγχίαλος	Κόλποις ἀγχιάλοις γῆ Περίανδρον ἔχει.	Diog.L.li.1.
ἀνεμοσφάραγος	Ἀνεμοσφαράγων ἐκ Πηλίου κόλπων.	Pind.Pyth.
νεφοειδής	Ὄρθριος εὐπλέκτοιο λίνου νεφοειδέϊ κόλπῳ.	Epigr.lib.1.
φερέκαρπος	Μεσὸν ἴοι φερέκαρπον ἐς αὔλακα κολπὸν ἔχουσα.	Orph.λίθ.

Nonn. Dionys. ἀχθοφόρος, ἀκηράσιος, ἐρίφλοισβος, ζωαρκὴς, ἐρισταφυλος, βρυόεις, εὐρύπορος, οἰκτίρμων, φιλόξεινος, πεδοσκαφὴς, παμμήτωρ, πολυψάμαθος, ἀνύμφευτος, ἀμαίευτος, ὀρεσσίχυτος, εὐθαλής.

Κόλχοι Colchi.

ἀρηΐφατοι	Εἰ μὲν δὴ Κόλχοισιν ἀρηϊφάτοισιν ἐσαῦτα.	Orph. Arg.
δορυσσόοι, ἀτηρ.	Κόλχων, οἵ κεν ἀρηϊ δορυσσόοι εἰσὶν ἀτηρεῖς.	Ibid.
ἀρήϊοι	—ὧν ὕπερ ἤδη Αὐτοὶ Κόλχοι ἔχονται ἀρήϊοι.	Apoll. lib. 2.
κελαινῶπες	Ἔνθα κελαινώπεσσι Κόλχοισι βίαν μίξαν Αἰήτᾳ παρ' αὐτῷ.	Pind.Pyth.

Nonn. Dion. ξεινοφόνοι, ἀμαιμάκετοι.

κολώνη seu κολωνὸς, *moles, tumulus.*

αἰπεῖα	Ἔστι δέ τις προπάροιθε πόληος αἰπεῖα κολώνη.	Hom. Bœo.
βαθυσκόπελος	Θῆρές τ' οἰωνοί τε, βαθυσκόπελοί τε κολῶναι.	Calab.lib.3.
δολιχή	Ἐξανέμων, δολιχαὶ δὲ περιβρομέουσι κολῶναι.	Idem lib.13.
ὀρεονόμος	Ἄστυ λιπὼν ἀφνειὸν, ὀρεονόμους τε κολώνας.	Orph.Arg.
ὑλήεις	Ἡνίκα δένδρε' ἔθελγον ἐν ὑλήεντι κολώνῃ.	Ibid.

ἠνεμόεσσα	Καί ποτε δὴ σκοπιαί τε καὶ ἠνεμόεσσα κολώνη.	Ibid.
περιβλής	Ἀγκαῖος δ' ἴθυνεν ἐπὶ περιβλῆτα κολωνόν.	Ibidem.
ὀκρυόεις	Εὐκόσμως, ὃ δή μιν ἐπ' ὀκρυόεντι κολωνῷ.	Apoll. lib. 1.
δροσερή	Ἦμος δ' ἠέλιος δροσερὰς ἐπέλαμψε κολώνας.	Id. lib. 2.
λασίη	Δρυμὸν ἀναρρήξας λασίης καθύπερθε κολώνης.	Id. lib. 3.
εὔδμητος	Ναίεις Ἀκράγαντος εὔδματον κολώναν.	Pind. Pyth.
παιπαλόεσσα	Ὡς δ' ὅτε παιπαλόεσσαν ἀνασείχωσι κολώνην.	Opp. ἁλ. δ.
	Nonn. Dionys. βαθύκρημνος, εὔυδρος, τρίλοφος, ἀερσίλοφος, ἀμόχετος, ὑψιτενής, θαλασσοτόκος, βαθυσπήλυγξ, ἁλιπλανής, κραναή, τηλεβόλος, ἀγχινεφής.	

κόμη coma.

ξανθή	Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα.	Hom. Il. α.
οὔλη	Οὔλας ἧκε κόμας ὑακινθίνῳ ἄνθει ὁμοίας.	Id. Odyss. ζ.
λιπαρή	Λιπαρὰς κόμας ποίησον.	Anacr.
	Τὰ μὲν ἔνδοθεν μελαίνας.	
	Τὰ δ' ἐς ἄκρον ἡλιώσας.	
εὐθαλής	Δεύετο δ' ἀγλαὸν εἶδος ἅμ' εὐθαλέεσσι κόμῃσι.	Calab. lib. 6.
αὐγήεν	Αὐγήεαι δέ οἱ ἀμφὶ κόμαι περὶ κρατὶ κέχυντο.	Id. lib. 9.
χλιδῶσα	Οὐκ ἔθος μαλακόν, οὐδὲ χλιδῶσα κόμη.	Nazianz.
ἁβρή	Πολλάκι δ' ἁβρὴν σεῖο κόμην δέσποινά τε κείρει.	Sibyll.
ἰοειδής	Τῷ δὲ κόμαι ἰοειδέες ἐκ κρανίοιο τέταντο.	Politian.
ἱμερτή	Ἅλικες, ἱμερτὰν κρατὸς ἔθευτο κόμαν.	Epigr. lib. 1.
πολιή	Κεινόμενοι, πολιῆς οὐ χατέοισι κόμης.	Christod.
εὐστροφάλιγξ	Ἦκεν, ἐδίνησεν δ' εὐστροφάλιγγα κόμαν.	Epigr. lib. 6.
φαιδίμη	Φαιδίμαν γαίαν πεφύρσεσθαι κόμαν.	Pind. Nem.
εὐπλόκαμος	Τίς ἄρα μ' εὐπλοκάμοις κόμας ἔρυμα δακρυόεντ' ἀκούσας.	Eurip. Iphig. Aulid.
	Nonn. Dionys. ἀλίβρεκτος, ὀπισθοπόρος, δρακοντόκομος, νεότμητος, ἀσκεπής, ἀμέτρητος.	

	κομήτης cometa.	
ἀκτιόεις	Πολλὰ μετ' ἐξῆς ἄστρα, καὶ ἀκτιόεντα κομήτην.	Sibyll.
	Nonn. Dionys. ἀστράπτων.	
	κομιδή vectura, commeatus.	
εὔφρουρος	Ὥς σοί γ' ἐνδυκέως κομιδὴν εὔφρουρον ἔχοισι.	Opp. ἁλ. ε.
	κόμπος strepitus, fastus.	
βαρύδουπος	Καὶ σακέων βαρύδουπον ἐμήσατο κόμπον ἀράσσειν.	Coluth.
βαρύμηνις	Πάντες ἐμοὶ βαρύμηνιν ἐγείρετε κόμπον ἀπειλῆς.	Nonnus.
ὑψαύχην	Καὶ σὺ περὶ προχέων ὑψαύχενα κόμπον ἀπειλῆς.	Idem.
ἀγάνωρ	Χρὴ νιν εὐρόντεσσιν ἀγάνορα κόμπον μὴ φθονεραῖσι φέρειν γνώμαις.	Pind. Isthm.
	Nonn. Dionys. ὑπερήνωρ.	
	κονία pulvis, lixivium.	
κυκησίτεφρος	Κρατοῦσι κυκησιτέφρου ψευδονίτρου τε κονίας.	Aristophan. Ranis.
	Nonn. Dionys. θυελλήεσσα, ἑλίκλαυστος, ἀτύμβευτος, πολυψάμαθος.	
	κόνις, κονίσαλος pulvis.	
αἱματόεσσα	Βεβρυχὼς κόνιος δεδραγμένος αἱματοέσσης.	Hom. Il. ν.
αἰθαλόεσσα	Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν.	Iliad. σ.
λεπτή	Ἐν λεπτῇ κονίῃ τὼ δὲ σπεύδοντε πετέσθην.	Iliad. ψ.
μέλαινα	Ἀνθρακίην δ' ἐμάρανε, κόνιν δ' ἀμάθυνε μέλαιναν.	Id. hym.
χθαμαλή	Ἤ ἕρπες ἐξ ὀρέων χθαμαλῆς ἐπὶ νῶτα κονίης.	Coluth.
ἀλεγεινή	Ὥς τῶν ἀμφὶ πόδεσσι κόνις πεπότητ' ἀλεγεινή.	Calab. lib. 2.
ἀζαλέη	Ὑψόθεν, ἀζαλέη δὲ κόνις συνεμίσγετο καπνῷ.	Idem lib. 13.
ξανθή	-- ἐκὰς δ' ἐρυθραίνεται ὕδωρ Ξανθῆς ἐκ κονίης.	Opp. ἁλ. ε.
κούφη	Εἴη σοὶ κατὰ γῆς κούφη κόνις οἰκτρὲ Νέαρχε.	Epigr. lib. 2.
δνοφερά	Ῥυόμενοι, δνοφερὰν ἀμφεβάλοντο κόνιν.	Epigr. lib. 3.
ἀφαυρή	Μνῆσαι παμβασιλεῦ, ὅτι τοι κόνις εἰμὲν ἀφαυρή	Apolinar.

αὐαλέη	Ὡς κόνιν αὐαλέην ἔμπαλι τοῖσδε βρέχεις.	Dolsc.
ἀρτίσκαπτος	Ἁ κόνις ἀρτίσκαπτος, ἐπὶ στάλας δὲ μετώπῳ.	Epigr. lib. 3.
ἁλιρρόθια	-- ἁλιρρόθια, ξεῖνε, κέκευθε κόνις.	Eod.
Λίβυσσα	Καὶ τὴν Λίβυσσαν ἐξαριθμήσεις κόνιν.	Epigr. lib. 4.
ὀθνεία	Ξένην ἐποικήσαντας ὀθνείαν κόνιν.	Lycoph.
ἀελλής	Ὡς ἄρα τῶν ὑπὸ ποσσὶ κονίσαλος ὤρνυτ' ἀελλής	Hom. Il. γ.
ἄμοτος	-- ἄμοτος δὲ κονίσαλος ὦρτο ποδοῖιν.	Calab. lib. 9.
βαθυσκαφής	Ἀλλ' ἢ πνοαῖσιν ἢ βαθυσκαφεῖ κόνει.	Soph. Elect.

κοράλιον: infra κουράλιον.

κόραξ *coruus.*

ἀμετρόβιος	Πολλάκι δεῖπνον ἔθηκαν ἀμετροβίοις κοράκεσσι.	Nazianz.
ὄρνις φάγος	Ὀρνίθεσσι φάγοισι κοράκεσι, θαῦμα ἰδέσθαι.	Cyr. Theod.
κρώζων ὀμβρ.	Αἰγυπιοί γῦπές τε, κόραξ τ' ὀμβρήρεα κρώζων.	Nicand. Th.

κόρη, κούρη, *puella, virgo.*

ἑλικῶπις	Πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι ἑλικώπιδα κούρην.	Hom. Il. α.
νηπίη	Τίπτε δεδάκρυσαι Πατρόκλεες, ἠΰτε κούρη Νηπίη	Id. Iliad. π.
περικαλλής	-- ἀτὰρ οἱ περικαλλέα κούρην Ἄψ ἀπονάσσωσι.	Eod.
εὐῶπις	Ὡς Ὀδυσσεὺς ἔγροιτο ἴδοι τ' εὐώπιδα κούρην.	Id. Odyss. ζ.
εὐπλόκαμος	Ὡς Ὀδυσσεὺς κούρῃσιν ἐϋπλοκάμοισιν ἔμελλε Μίξεσθαι.	Eod.
ἀμύμων	Ἥρως μή μοι τοὔνεκ' ἀμύμονα νείκεε κούρην.	Odyss. η.
αἰδοίη	Οὐδέ μιν αἰδοίη κούρη ᾔδεν ἔργ' Ἀφροδίτης.	Id. hymn.
λευκοχίτων	Καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης.	Musæus.
εὐκλεής	Αἰνοπαθὲς Λείανδρε· σὺ δ' ὡς ἴδες εὐκλέα κούρην.	Idem.
ἐρατή	Ὡς δ' ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης.	Idem.
βαθύκολπος	Μετὰ κόρης βαθυκόλπου Ῥοδίνοισι στεφανίσκοις.	Anacr.
χλιδανόσφυρος	Ὑπὸ βαρβίτῳ δὲ κούρα Χλιδανόσφυρος χορεύει.	Idem.

νεοθηλή	Νεοθηλαῖς ἅμα κούραις Ὑπὸ βαρβίτῳ χορεύων.	Idem.
εὐειδής	Εὐειδὴς ῥαδιναῖς χερσὶ Λάκαινα κόρη.	Theogn.
ἑελκυδής	Μίκωνος κούρην ἑελκυδέα, τήν ποτε Θησεύς.	Calab. lib. 4.
σαώφρις	Κἀμ' ἐκ τῶ ἄντρω σαώφρις κόρα ἐχθὲς ἰδοῖσα.	Theoc. εἰδ. η
χαρίεσσα	Γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα φεύγεις.	Id. εἰδ. ια.
ἄζυξ	Καλόν σοι δαμάλας φιλέειν, τὰν ἄζυγα κώραν.	Id. εἰδ. λς.
εὐκτέανος	Εὐκτέανος κούρη θυμὸν ἔκαμνε πόθῳ.	Epigr. lib. 1.
μιαρή	Ὦ κοῦφος αὐαξ, μιαρᾶς δοῦλος κόρης.	Cyr. Theod.
ἀδμής, πανάπ.	Στείχουσ' ἀδμῆτες πανάπαλαί τε κόραι.	Dolsc.
αἰγλόπεπλος	Εἶτα δ' ἀποτμηθεῖσα κόρη ταῖς χεῖρας ἀμόρταις Αἰγλόπεπλος.	Idem.
τέρην	Τοῖς μίγδην τέρενες κόπτουσαι τύμπανα κοῦραι.	Idem.
ἀγλαόμορφος	Εἴησαν κοῦραι περὶ ἡμέτερ' ἀγλαόμορφοι.	Idem.
ἀγλαοφαρής	Ὀλλυμένων, ἄλοχοι δὲ σὺν ἀγλαοφαρέσι κούραις	Sibyll.
ἱμερόεσσα	Τοίη ἄρ' ἱμερόεσσα δόμων ἐξέσσυτο κούρη.	Apoll. lib. 4.
κυανῶπις	Οὕνεκά οἱ κούρην κυανώπιδα Νηρηΐνην.	Opp. ἁλ. α.
πρωτοτόκος	Ὡς δ' ὅτε τις κούρη δέκατον περὶ μῆνα σελήνης πρωτοτόκος.	Id. κυνηγ. α.
ἀχίτων, δειλή	Ἡ δ' ἀχίτων, δειλή τε, καὶ ἀκρήδεμνος ἐοῦσα.	Eod.
πολύζηλος	Δῶρα πολυζήλοιο γάμου μνηστῆρα κούρης.	Christod.
δύσερως	Ὦ μοῖρα τὴν δυσέρωτα κόρην, τρισὶν ὤμοσα πέτραις.	Epigr. lib. 7.
ἐρατόχροος εἰαρόμασθος	Αὕτη πρόσθεν ἔην ἐρατόχροος, εἰαρόμασθος. Εὔσφυρος, εὐμήκης, εὔοφρις, εὐπλόκαμος.	Eod.
πελαργοχρώς	Πελαργοχρῶτες αἱ φαλακραῖαι κόραι.	Lycoph.
καλλίκ. ἀγακλ.	Μετὰ καλλίκομον μναστῆρες ἀγακλέα κούραν.	Pind. Pyth.
βαθύζωνος	Τὸ βαθύζωνοι κόραι χρυσοπέπλου Μναμοσύνας ἀνέτειλαν.	Id. Isth.
ἀγλαόθωκος	Ἀγλαοθώκου τε πεντήκοντα κορᾶν χάριτες.	Id. Nem.
χρυσαλάκατος	Χρυσαλακάτου τ' ἀκτᾶν κόρας. (μον.	Soph. Trach
καλλίπεπλος	Ὦ καλλίπεπλοι Φρυγῶν κόραι, μάτερ τ' ἐμὸν γά-	Euri. Troad.
πρωτόγαμος	Πρωτόγαμον δ' αἰζηὸς ἄγων ἐπὶ δέμνια κούρην.	Orph. λιθ.

πολυμήχανος

πολυμήχανος	Κύδηνεν κούρη πολυμήχανος.	Id. λίθων.
μαλακή	Καὶ μαλακὴ χρύσεον ἐπὶ λέχος αἰὲν ἐρύσσει	Idem.
	Α'λληκτον κούρη.	
ἀμφήελιστος	Κούρην ἀμφήελιστον ἄγειν ἀπὸ νηὸς ἐρυμνῆς.	Id. Argon.

Nonn. Dionys. σταχυώδης, ἀρπλόχυτος, φιλομήτωρ, ῥοδόπηχυς, ἰσόπονος, φιλάμπελος, γυμνόχρως, εὔγαμος, οἰστρομανής, γαλακτοφόρος, ἀσύλητος, ἄζυγος, ἁβρόκομος, ῥοδοειδής, ἀκήλητος, ἀμιξοχίτων, δυσπενθής, πολύμνηστος. χοροίτυπος, λιπέθειρα, φιλοπάρθενος, ποθόβλητος, χοροπλεκής, ῥιγεδανή, τολμήεσσα, δρυοσσόος, ἁβρόκομος, ἀνάεδνος, τελεσσίγαμος.

κόρη *pupilla in oculo.*

πυκνόφθαλμος	Λάθοι δ' ἂν Α'ργου τὰς πυκνοφθάλμους.	Menand.
φωσφόρος	Πυρὶ γὰρ τάχα φωσφόρους ὀλεῖ κόρας.	Eurip. Cycl.

καρτερός	-- πέτρης ὅγ' ἔχων νόον ἠὲ σιδήρου Καρτερόν.	Idem εἰδ. κς.
ἐλαφρός	Κλεπτομένου περὶ ὄλεθρον ἐλαφροτέροιο νόοιο.	Nazianz.
αἰπύς	Καί με φέρων νόος αἰπύς, ἀπόπροθι σαρκὸς ἔθηκεν.	Idem.

εὐδιόων

εὐδιόων, ἀτ.	Ζώειν εὐδιόωντά τ' ἔχειν νόον, ἠδ' ἀπινάκτων.	Idem.
ἴδρις, οὐρανοφ.	Μοῦνον ἔχειν, θεότητος ἴδριν νόον, οὐρανοφοίτην.	Idem.
γαληνιόων	Οἵ κε γαληνιόωντι νόῳ ψυχαῖς τε τελείαις.	Idem.
βίου φάος	Σοί τε νόον πτερόεντα, βίου φάος, αἰὲν ἀείρων.	Idem.
ἀλήτης	Ἀπλανέες δέξαντο, τὸ οὐ νόον εἶχον ἀλήτην.	Nonnus.
φιλοκτέανος	Μηδὲ φιλοκτεάνοιο νόου βεβαρηότες οἴστρῳ,	Idem.
δημοπερέσαλλος	Εἰ δέ τις δημοπερέσδημον ἔχει νόον &c.	Idem.
ἀσύλητος	Καὶ μὴ ἀσυλήτοιο νόου σφρηγῖδα φυλάξῃ.	Idem.
ἀσίγητος	Χερσὸς ἀσιγήτοιο νόου κυμαίνετο πυρσῷ.	Idem.
διχόμηνις	Ἰησοῦ Διδύμοιο νόον διχόμηνιν ἐλέγχων.	Idem.
ὀξύπορος	Νηὶ ὑπ' εὐσκαρθμῷ ὀξυπόροιο νόου.	Cyr. Theod.
φλογόεις, βαρύθ.	Εὖ τε θεῷ φλογόεντα νόον, βαρύθυμον ἐγείρῃ.	Apolinar.
συγόδεμνος	Κεδνὸν μὲν, συγόδεμνον ἔχειν νόον.	Epigr. lib. 1.
σοφός	Εἶχε γὰρ υἷα μάλιστα σοφὸν νόον, ἄλλοθεν ἄλλα.	Epigr. lib. 4.
ἄγναμπτος	Τλήμονες, οἷσιν ἄγναμπτον ἔχει νόον.	Eod.
νηλής	Τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον.	Pind. Pyth.
εὐδιώατος	Καὶ νοῦ εὐδιώατοιο καθηγήτειραι ἁπάσης.	Orph. hym.

Nonn. Dionyſ. τελχὶν, ἱπποµανής.

νόσος (Ionice νοῦσος) morbus.

ἀργαλέη	Νούσῳ ὑπ' ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισι.	Hom. Il. ν.
συγερή	Νοῦσόν τε συγερὴν, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ.	Eod.
βαρεῖα	Οὐδ' ἂν ἄποινα διδοὺς, θάνατον φύγοι, οὐδὲ βαρείας Νούσους.	Theogn.
λυσσώδης	Οὔπω σοι κέκμηκε νόος λυσσώδεϊ νούσῳ.	Tryphiod.
πολυκηδής	Σείριος, ὅς τε βροτοῖσι φέροι πολυκηδέα νοῦσον.	Calab. lib. 8.
ὀλοή	Ἔκ τ' ὀλοῆς νούσοιο πέλει σθένος, ἔκ τε μόθοιο·	Idem libr. 9.
ζηλήμων	Ἀνέρος ἠδὲ γυναικὸς, ὅτε ζηλήμονι νούσῳ.	Eod.
χαλεπή	Ἤ οἱ ἀπόσσαιτο χαλεπὰν νόσον.	Callimach.
καπυρά	Ἔγνων, ἀλλά με τις καπυρὰ νόσος ἐξαλάπαξε.	Theoc. εἰδ. β.
λυγρή	Ἀνθρώποισι νόσοις φάρμακα λυγρὰ ἀπαλαλκέμεν.	Id. εἰδ. λδ.
μογερή	Πολλοῖς μὲν μογερῶν ἄκος εὕρεο σώμασι νούσων.	Nazianz.
πικρή	Τίς λεπροὺς ἐκάθηρε, πικρὰς δ' ἀπόεργαθε νούσους	Idem.

ἀνιγρή	-- ἀλλά μ' ἔλυσε χρόνος καὶ νοῦσος ἀνιγρή.	Idem.
σαρκοφάγος	Οἷς νόσος ἠίστωσε φαγοῦσ' ἀπὸ σάρκα παλαιάν.	Idem.
δάπτειρα	Ἄλλους δ' αὖ μελέων κατεδάσσατο δάπτειρα νοῦσος	Idem.
δολοπλόκος	Ἤλυθες αὖθις ἔμοιγε δολοπλόκε.	Id. εἰς τὴν νόσον.
ἀνδροφόνος	Παρστήσω Χριστῷ τὸν λάχον ἀνδροφόνε.	Idem.
γυιοβόρος	Οὕτω γυιοβόρων τελέων ἀλκτήρια νούσων.	Nonnus.
δασπλής	Τρεῖς δεκάδας δασπλῆτι παριππεύσας ἐνὶ νούσῳ	Idem.
δυσαλθήτος	Εἶχε δυσαλθήτῳ πεπεδημένα γούνατα νούσῳ.	Idem.
ἀργυρέη	Ἀργυρέης νούσοιο νόον δεδονημένος οἴστρῳ.	Idem.
αἴθοψ	Λάζαρος, ὃν φιλέεις, ἐλελίζεται αἴθοπι νούσῳ.	Idem.
ἐρωτική	Νοσεῖς γὰρ ὄντως τὴν ἐρωτικὴν νόσον.	Cyr. Theod.
λυσιμελής	Νοῦσε μέγ' ἀργαλέη, λυσιμελὲς, ἐκπερσιμολεύοις.	Idem.
ἡμικρανίη	Ἀντίοχος δέ ποτ' ἀνὴρ ἡμικρανίην ἔχε νοῦσον.	Idem.
ἀτειρής	Χρυσολόγος φύξιν γὰρ ἀτειρέϊ πόρσυνε νούσῳ.	Idem.
μισάγαθος	Ὡς λοιδορεῖ τὴν μισάγαθον νόσον.	Idem.
ἀγχίθυρος	Τρυχόμενοι κηρῶν ἀγχιθύροισι νόσοις.	Dolsc.
κρυερή, μαλερή	Ἔσονται νόσφιν νούσων κρυερῶν μαλεράων.	Sibyll.
ἄκικυς	Οὐδέ ἑ νοῦσος ἄκικυς ἐνὶ μεγάροισι δαμάσσει.	Orph.
ἐπαχθής	Καί κεν ἐπικρατέουσ' ἐπαχθέα νοῦσον ἀλάλκοις.	Nicād. Alex.
ὀλέθριος	-- τοῖς δ' εὖτ' ἂν ὀλέθριος ἐγγὺς ἵκηται	Opp. ἁλ. β.
	Νοῦσος ἀπαρτηρή.	
τηξιμελής	Τηξιμελεῖ νούσῳ κεκολυμένος, ἔδραμε θυμῷ.	Epigr. lib. 3.
ἀλγινόεσσα	Οὐδέ μιν ἀλγινόεσσα νόσος δόμον ἤγαγε νυκτός.	Eod.
ἀμαυρή	Πρηΰτερον γῆρας σε, καὶ οὐ κατὰ νοῦσος ἀμαυρή.	Eod.
βαρύγυιος	Εἰ δ' ὡς μὲν βαρύγυιον ἀπώσατο νοῦσον &c.	Epigr. lib. 6.
πολυπήμων	Διδάξαι πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.	Pind. Pyth.
θερμή	Παρασχεῖν ἀνδράσι θερμᾶν νόσων.	Ibidem.
μανιάς	Ἐγὼ δὲ φοιτῶντ' ἄνδρα μανιάσιν νόσοις.	Soph. Aiace.
ἀπαρτηρή	Νοῦσον ὑπεκφεύξασθαι ἀπαρτηρὴν ποθέων περ.	Orph. λιθ.

νόστος reditus.

ἀπήμων	Ἀλλ' ὅτε δὴ καὶ κεῖθεν ἐφαίνετο νόστος ἀπήμων.	Hom. Il. δ.
πολυκηδής	Εἰ δ' ἄγε τοι καὶ νόσον ἐμὸν πολυκηδέ' ἐνίσπω.	Id. Odyss. ι.
μελιηδής	Νόσον δίζηαι μελιηδέα φαίδιμ' Ὀδυσσεῦ.	Odyss. λ.

γλυκερός	Τηλοῦ ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι.	Odyss. χ.
ψευδώνυμος	Γλῶτε πανσυδίῃ ψευδώνυμον οἴκαδε νόστον.	Tryphiod.
θυμηδής	Ἤδη γὰρ νόστοιο πέλει θυμηδέος ὥρη.	Calab. lib. 14
ἀκηδής	Εὐχόμενοι μακάρεσσιν ἀκηδέα νόστον ὀπάσσαι.	Eod.
ὑπότροπος	Αἴκε θεοὶ δώωσιν ὑπότροπον οἴκαδε νόστον.	Apoll. lib. 1.
μελίφρων	Πλαζόμενον, γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου Ἤμβροτες.	Epigr. lib. 3.
πολύπλαγκτος	Ὑμνεῖ δ' ἡ μὲν, νόστον Ὀδυσσῆος πολυπλάγκτου.	Epigr. lib. 4.
εὐκλεής	Κωμάξατε Τιμοδήμῳ σὺν εὐκλεϊ νόστῳ.	Pind. Nem.
	νοτὶς humiditas, humor.	
καλλιπόταμος	Καλλιπόταμος ὕδατος ἵνα τε νοτὶς ἐπέρχεται γαίας Δίρκας χλοηφόρους.	Eurip. Phœn.
	νότος notus ventus.	
ἀργέστης	Ἀργέσταο νότοιο βαθείῃ λαίλαπι τύπτων.	Hom. Il. λ.
κραιπνός	Ὣς ἔπλεον, κραιπνὸς δὲ νότος κατόπισθεν ἔγειρε.	Idem hymn.
κελάδων	Ἢ νότου κελάδοντος, ὅτ' εὐρέα πόντον ὄρινεν.	Calab. lib. 4.
ὑγρὸν ἀείς	-- νότοιο κατανταίου ὑγρὸν ἀέντος.	Id. lib. 6.
ἠερόεις	Ἐς νότον ἠερόεντα τετραμμένον &c.	Id. lib. 13.
ἀλεγεινός	-- οἱ δ' ἀλεγεινοὶ Τῆμος ἐπιῤῥήσσουσι νότοι.	Aratus.
λαιψηρός	Ἔνθά σφιν λαιψηρὸς ἄη νότος.	Apoll. lib. 1.
μελανόπτερος	Νῦν γε νότος πλύνει μελανόπτερος ἄσπετον ὄμβρον.	A. Politian.
δροσερός	Ἐς δὲ βορῆν σταλαγμῶντος ἐπὶ δροσεροῖο νότοιο.	Opp. κυνηγ. γ.
χειμέριος	Ἤλασε χειμερίων ἄγριον οἶδμα νότων.	Epigr. lib. 1.
δεινός	Ἐκ δεινοῦ ῥηχεῖα νότου κατέδυσε θάλαττα.	Epigr. lib. 3.
ὄμβρου γενάρχης	Ἔλθοις σὺν νεφέλαις νοτίαις ὄμβροιο γενάρχα.	Orph. hymn
ὀξύς	Λαμπρᾶς γὰρ ἄτερ στεροπᾶς ἀΐξας ὀξὺς νότος ὡς	Soph. Aiace.
	Λαιψηρὸν πήδημα δι' ἠέρος ὑγροπόρευτον, ὠκείαις πτερύγεσσι δονούμενον ἔνθα καὶ ἔνθα. τοῦτο γὰρ ἐκ Διός ἐστι σέθεν γέρας ἠεροφοίτου, ὀμβροτόκους νεφέλας ἐξ ἠέρος εἰς χθόνα πέμπειν, πέμπειν καρποτρόφους ὄμβρους ἐπὶ μητέρα γαῖαν	Orph. θυμία-να εἰς νότον.
	Nonn. Dionys. φλογερός: & Καὶ νότον Αἰθιοπῆα παρασπιστῆρα Λυαίου.	

νοῦς: supra νόος.

νοῦσος: supra νόσος.

Νύμφαι *Nymphæ.*

ὀρεστιάδες, κ. Δ.	Νύμφαι ὀρεστιάδες, κοῦραι Διὸς αἰγιόχοιο.	Hom. Il. ζ.
κρηναῖαι	Νύμφαι κρηναῖαι, κοῦραι Διός, εἴ ποτ' Ὀδυσσεύς.	Id. Odyss. ρ.
ὀρεσκῷοι	Νύμφαι μὲν θρέψουσιν ὀρεσκῷοι βαθύκολποι.	Id. hymn.
χοροήθεις	Δενδρήεντ' ἄμυδις φοιτᾷ χοροήθεσι Νύμφαις	Ibidem.
λιγύμολποι	Σὺν δέ σφιν τότε Νύμφαι ὀρεστιάδες λιγύμολποι	Ibidem.
ἠΰκομοι	Ὃν τρέφον ἠΰκομοι Νύμφαι παρὰ πατρὸς ἄνακτος.	Ibidem.
ῥοδοπήχεες	Ῥοδοδάκτυλος μὲν Ἠώς, Ῥοδοπήχεες δὲ Νύμφαι	Anacr.
ἐρατειναί	Ἀμφ' αὐτοῖσι δὲ πάντες ὁμῶς, Νύμφαι τ' ἐρατειναί.	Calab. lib. 6.
καλλιπλόκαμοι	Ἄντρον ὑπὸ ζάθεον καλλιπλοκάμων Νυμφάων.	Id. lib. 10.
μέλιαι	Νύμφας θ' ἃς μελίας καλέουσι &c. (τεί.	Hes. Theog.
Θεσσαλίδες, π.	Νύμφαι Θεσσαλίδες, ποταμοῦ γένος, εἴπατε πα-	Callimach.
Δηλιάδες	Νύμφαι Δηλιάδες, ποταμοῦ γένος ἀρχαίοιο.	Idem.
λιμνάδες	Οὐ μὰν οὔτ' αὐτὰς τὰς λιμνάδας, ὦγαθέ, Νύμφας.	Theoc. εἰδ. ε.
Κασταλίδες	Νύμφαι Κασταλίδες, Παρνάσιον αἶπος ἔχοισαι.	Id. εἰδ. ζ.
ἀκοίμητοι, δ. θ.	Νύμφαι ἀκοίμητοι, δειναὶ θεαὶ ἀγροιώταις.	Id. εἰδ. ιγ.
ὀρεάδες	Καὶ νύμφαι κλαίοισιν ὀρειάδες.	Theoc. εἰδ. κς
ποταμηΐδες	Τῷ δὲ σὺ πολλάκι μὲν Γληχὼ ποταμηΐσι Νύμφαις	Nicand. Alex.
ἁμαδρυάδ. ἁβ.	Χῶρον ἁμαδρυάδων ἔνδιον ἁβροκόμων.	Epigr. lib. 4.
Κωρύκιαι	Πολλὰ δὲ Κωρύκιαι Νύμφαι, Πλείστοιο θύγατρες.	Apoll. lib. 2.
ἑλεονόμοι	-- οὕ ῥα καὶ αὐταὶ Νύμφαι ἑλεονόμοι ὑπεδείδισαν	Eod.
Ὠκεανοῦ γένος	-- Νύμφαι ἱερὸν γένος Ὠκεανοῖο.	Id. lib. 4.
ἰοφόροι	Νύμφας τ' ἰοφόροις θέλγων πολυδενδρέῳ ὕλῃ.	A. Politian.
δρυάδες	Ἠδὲ φιλορνίθων δρυάδων χορὸν ἱλήκοιτε. (φαις.	Opp. κυνηγ. α.
μηλοσσοκόμοι	Σὺν δρυάσιν δ' ἀπίτηλε, μηλοσσοκόμοισί τε Νύμ-	Id. κυνηγ. δ.
ἐφυδριάδες	Νύμφαι ἐφυδριάδες, τῷ Ἑρμοκρέων τάδε δῶρα	Epigr. lib. 1.
οὐρεσιφοίτιδες	Πανὶ φιλοσπήλυγγι, καὶ οὐρεσιφοιτάσι Νύμφαις,	Epigr. lib. 2.

Καὶ Σα-

	Καὶ Σατύροις, ἱεραῖς τ' ἔνδον Ἀμαδρυάσι.	
δενδρώδεις	Ἀλλὰ φίλος φθέγξει τι νέον δενδρώδεσι Νύμφαις	Epigr. lib. 3.
ποταμοῦ κόραι	Νύμφαι ἁμαδρυάδες, ποταμοῦ κόραι, αἳ τάδε	Epigr. lib. 6.
ἀμβρόσιαι	βένθη Ἀμβρόσιαι ῥοδέοις στείβετε ποσσὶν ἀεί.	
ὑδριάδες	Ὑδριάδες Νύμφαι ὅσαι ὑλονόμοισι χορείην.	Eod.
αὐλιάδες	Φριξοκόμα τάδε Πανί, καὶ αὐλιάσιν θέτο Νύμφαις.	Eod.
ὠκυθόαι	-- ἵν' ὠκυθόαι Νύμφαι ἱππεύουσι δι' ὀρφναίας.	Eurip. Suppl
ὀρεσσίγονοι	Νύμφαι ὀρεσσίγονοι, ὦ Μανία ξύλλαβε.	Aristophan. Ranis.

Hymnus Νυμφῶν ex Orpheo.

Νύμφαι, θυγατέρες μεγαλήτορος Ὠκεανοῖο,
ὑγροπόροις γαίης ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι,
κρυψίδρομοι, Βάκχοιο τροφοί, χθόνιαι, πολυγηθεῖς,
καρποτρόφοι, λειμωνιάδες, σκολιόδρομοι, ἁγναί,
ἀντροχαρεῖς, σπήλυγξι κεχαρμέναι, ἠερόφοιτοι·
πηγαῖαι, δρομάδες, δροσοείμονες, ἴχνεσι κοῦφαι·
φαινόμεναι, ἀφανεῖς, αὐλωνιάδες, πολυανθοί
σὺν Πανὶ σκιρτῶσαι ἀν' οὔρεα, εὐάστειραι·
πετρόρυτοι, λιγυραί, κορωνήπιδες, ὑλονόμοι τε·
παρθένοι εὐώδεις, λευχείμονες, εὔπνοοι αὔραις·
αἰπολικαί, νόμιαι, θηρσὶν φίλαι, ἀγλαόκαρποι·
κρυμοχαρεῖς, ἁπαλαί, πολυθρέμμονες, αὐξιτροφοί τε. (λευθοι.
κοῦραι Ἀμαδρυάδες, φιλοπαίγμονες, ὑγροκέ-
νύσιαι, μανικαί, παιωνίδες, ἠαροτερπεῖς·
σὺν Βάκχῳ Δηοῖ τε χάριν θνητοῖσι φέρουσαι·
ἢ Νύμφαις τέρπῃ κυανώπισιν ἐν χθονὶ δῖα.

Nonn. Dionyſ. ἑλκεχίτωνες, καλλιπέτηλοι, παιδοκόμοι, κισσοφόροι, ἁλίκλυστοι.

Νύμφη *Nympha, ſponſa.*

καλλίσφυρος	Φοίβου Ἀπόλλωνος, καλλισφύρου εἵνεκα Νύμφης.	Hom. Il. ι.
ἐϋπλόκαμος	Νύμφη ἐϋπλοκάμῳ εἴπῃ νημερτέα βουλήν.	Id. Odyſ. α.
οὐρείη, περικαλ.	Νύμφην τ' οὐρείην περικαλλέα, καὶ φίλον υἱόν.	Idem hymn.
καλυκῶπις	Φασί τοι νύμφης καλυκώπιδος ἔγγονον εἶναι.	Ibid.

ἑλικῶπις, καλλ.	Ἤμισυ μὲν νύμφην ἑλικώπιδα καλλιπάρηον.	Hes. Theog.
ἀθάνατος, ἀγήρ.	Ἀθάνατος Νύμφη τε ἀγήραος ἤματα πάντα.	Ibidem.
ἱμερόεσσα	Νύμφην ἱμερόεσσαν ἐμοὶ κατένευσεν ὀπάσσαι.	Coluth.
ἠΰκομος	Κλυτὸν, ὃν ἠΰκομος Νύμφη τέκεν ἀμφὶ ῥεέθροις.	Calab. lib. 6.
κυανόφρυς	- ὦ κυανόφρυ Νύμφα προσέπλυξαί με τὸ αἰπόλ.	Theoc. εἰδ. γ.
ἁρπάγιμος	Ἐκ πάσου Νύμφης ἁρπαγίμοιο μολεῖ.	Dolsc.
μαργαρίεσσα,	-- ἰδὼν περικαλλέα νύμφην,	Nazianz.
εὔθρονος, ὑψικ.	Ἐσθλὴν, μαργαρίεσσαν, εὔθρονον, ὑψικάρηνον.	
εὐκλεής	Δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις πρόφρων.	Pind. Pyth.
κυανῶπις	Δαιόμενος νύμφης κυανώπιδος Ὠκεανίνης.	Opp. κυνηγ. β.
εὐλεκτρος	Ἵμερος εὐλέκτρου νύμφας τῶν μεγάλων πάρεδρος ἐπ' ἀρχαῖς θεσμῶν.	Soph. Antig
	Nonn. Dionys. ἀσπίδαλος, νεόζευκτος, ὠκύμορος, νεόπλαστος, διςίμερος, περψιχόρη, ῥοδόεσσα, φιλόστοργος, πενθήμων, φυγόδεμνος, βαρύζηλος, θαλαμηπόλος, βαρυδάκρυος, μελανόχροος, πηγαίη, βαθύκολπος, ἀχίτων, διψάς, ἀσάμβαλος, εὐθάλαμος, παιδοτόκος, βαρύϋπνος, ὑδατόεσσα.	

νυμφίος sponsus.

ἱμερόεις	Νυμφίον ἱμερόεντα, τεῆς ζηλήμονα μορφῆς.	Nazianz.
ἀρπιχόρευτος	Νυμφίον ἀρπιχόρευτον ἑῷ προσεπλύξατο μύθῳ.	Nonnus.
εὐπρεπής	Τὸ φῶς πάρεστιν εὐπρεπὴς ὁ νυμφίος.	Cyr. Theod.
ἐπήρατος	Παρθενικῆς μέγα χαῖρ' ἐπήρατε νυμφίε νύμφης.	Idem.
φρενώλης	Γαραίοια δὲ σιωνῆγε νυμφίοις φρενώλεσι.	Æsch. ἑπτ. ἐ. Θ
	Nonnus Dionys. φιλοπάρθενος.	

νὺξ nox.

ἀμβροσίη	Ἀμβροσίην διὰ νύκτα, μάλιστα δὲ Νέστορι δίῳ.	Hom. Iliad. β
κελαινή	-- ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψε.	Id. Iliad. ε.
ἐρεβεννή	Τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε.	Eod.
ἀμφιλύκη	Ἦμος δ' οὔτ' ἄρ πω ἠώς, ἔτι δ' ἀμφιλύκη νύξ.	Iliad. η.
μέλαινα	Ἕλκων νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.	Iliad θ.
ἀσπασίη	Ἀσπασίη τρίλλιστος ἐπήλυθε νὺξ ἐρεβεννή.	Eod.

ἄϋπνος

ἄϋπνος	Ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον.	Iliad. ι.
ὀρφναίη	Νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι.	Iliad. κ.
θοή	Ἠνώγει δέ μ' ἰόντα θοὴν διὰ νύκτα μέλαιναν.	Eod.
ἀβρότη	Νὺξ ἀβρότη, ἢν καὶ τῇ ἀπόσχωνται πολέμοιο.	Iliad. ξ.
δμήτειρα θεῶν	Εἰ μὴ νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν.	Eod.
ὀλοή	Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ.	Iliad. π.
δυσκηδής	Εἰ μέν κ' ἐν ποταμῷ δυσκηδέα νύκτα φυλάξω.	Hom. Od. ε
δνοφερή	Νὺξ δὲ μάλα δνοφερὴ κάτεχ' οὐρανόν.	Odyss. ν.
κακή, σκοτομήνιος	Νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ σκοτομήνιος, ὗε δ' ἄρα Ζεύς.	Odyss. ξ.
πηγυλίς	— νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ βορέαο πεσόντος Πηγυλίς.	Eod.
δαιμονίη	Ὀρφναίη δ' ἐπίκουρος ἐπαύετο δαιμονίη νύξ.	Id. hymn.
γαμοστόλος	Νὺξ μὲν ἔην κείνοισι γαμοστόλος. (μαι.	Musæus.
ἀσέληνος	Βρέχομαι δὲ, κἀσέληνον Κατὰ νύκτα πεπλάνη-	Anacr.
ἐρεμνή	Τοῦτο πέρας καὶ Νυκτὸς ἐρεμνῆς οἰκία δεινά.	Hesiod. Th.
πόνων ἄμπαυ.	Νὺξ δὲ πόνων ἄμπαυμα μετ' ἠελίοιο κελεύθοις.	Coluth.
δολίη	Καὶ δολίην κατὰ νύκτα κακῷ πεπεδημένον ὕπνῳ.	Tryphiod.
παλίσκιος	Ἠέλιος δ' ὅτε νύκτα παλίσκιον ἀνδράσιν ἕλκων.	Idem.
ἀμαυρά	Τεύχεσιν ἀστράπτουσιν ἀμαυροτάτην διὰ νύκτα.	Idem.
ὀλεσίπτολις	Ἴλιον αἰπεινὴν ὀλεσίπτολις ἀμφεβέβηκε νύξ.	Idem.
μιαιφόνος	Νύκτα διαρρήξασα μιαιφόνον ἱππότις ἠώς.	Idem.
κυανέη	Καί σφιν ὀδυρομένοισι τάχ' ἤλυθε κυανέη νύξ.	Calab. lib. 3.
δῖα	Νὺξ δ' ἀνεχάσσατο δῖα, φάος δ' ἐρύθηνε πολῶνας.	Id. lib. 9.
ἑσπερίη	Ἠελίῳ δύνοντι συνέρχεται ἑσπερίη νύξ. (ρηος.	Idem lib. 10.
λευγαλέη	Νύχθ' ὑπὸ λευγαλέην, μέγα δ' ἰσχανόωντες Ἀ-	Idem lib. 13.
εὔκηλος	Ἀστέρες εὐκήλοιο κατ' ἄντυγα νυκτὸς ὀπαδοί.	Theoc. εἰδ. β.
πότνια	Πότνια νὺξ ἅτε λευκὸν ἔαρ χειμῶνος ἀμεύντος.	Id. εἰδ. ιη.
ἐρημαίη	Οὔ ποτ' ἐπὶ προχοῇσιν ἐρημαίην ἀνὰ νύκτα.	Dionys.
παμμηνις	Νυκτὶ φαινομένῃ παμμηνίδι Κασσιέπεια.	Arat.
καθαρή	— μὴ κεῖνον ὅτε καθαρῇ ἐπὶ νυκτί.	Idem.
ἀρχαίη	Ἀλλ' ἄρα καὶ περὶ κεῖνο θυτήριον ἀρχαίη νύξ.	Idem.
οὐρανίη	Ἀστέρας ἀνθρώποις ἐπιδείκνυται οὐρανίη νύξ.	Idem.
ἀστερίη	Ἐξ οὐρῆς Κένταυρον ἐφέλκεται ἀστερίη νύξ.	Idem.

γαληναίη	Πολλάκι γὰρ καὶ ὕς τε γαληναίῃ ὑπὸ νυκτί.	Idem.
λιπόσκιος	Ἠῶος μετὰ νύκτα λιπόσκιον ἤθελε βαίνειν.	Nonnus.
λυγαίη	-- μετ' ἠϊόνας βάλε νήσου Νύχθ' ὑπὸ λυγαίην.	Apoll. lib. 2.
	Apollo Dephic. apud Herod. Cleio:	
σεληναίη	Θῶσοι δ' οἰμήσουσι σεληναίην διὰ νύκτα.	
ὑπνοδότειρα	Πότνια νύξ, ὑπνοδότειρα τῶν πολυπόνων βροτῶν.	Eurip. Oreſt.
πρέσβιστη	Νύκτα τε πρεσβίστην καλέω, καὶ φωσφόρον ἡμέραν.	Orph. hym.
πανσέληνος	Καὶ τὴν δ' ἄνευθε πανσέληνος νὺξ τρέχει.	Nazianz.
θηροκόμος	Νὺξ δ' ἄρα θηροκόμος, φιλέουσι γὰρ θήρια νύκτα.	Apolinar.
συνέεστα	Αἰεὶ γὰρ συνέεσταν ἐπ' ἤματι νύκτα φυλάσσω.	Apoll. lib. 2.
ἀμείδητος, ἀγ.	Ὧι ἐν ἀμειδήτοις ἁγίας εὐνάζετο νύκτας.	Eod.
εὐνήτειρα	-- ἐπήλυθεν εὐνήτειρα Νὺξ ἔργων ἄνδρεσσι.	Id. lib. 4.
ζοφέη	Ἤ ὅθ' ὑπὸ ζοφέης νυκτὸς κεκαλυμμένος αὐγάς.	Nicád. Alex.
σκοτίη, δυσπ.	Νὺξ γὰρ ἔην σκοτίη δυσπέμφελος &c.	Nonnus.
ἀφεγγής	Ῥεμβόμενοι σκοτίῃ καὶ ἀφεγγέϊ νυκτὶ μελαίνῃ.	Sibyll.
τρισέληνος	Οἷον καὶ Κρονίδης ἔσπειρέ σε τῇ τρισελήνῳ Νυκτί.	Epigr. lib. 4.
πικρή, Ἀχερουσιάς	-- οἷά τε πικρὴν Νύκτα καταπλήσσω τὴν Ἀχερουσιάδα.	Epigr. lib. 7.
ποικιλείμων	Ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος.	Æſch. Prom.
μελάγχιμος	Καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου.	Idem Perſ.
μελάμπεπλος	Μελάμπεπλος γὰρ νὺξ ἀστέρων ζυγοῖς.	Eurip. Ione.
μελανόπτερος	Τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ὠόν.	Ariſtophan. Auib.
ἀστροχίτων	Νὺξ γὰρ τότ' ἀστροχίτων μέσσην παράμειβε πορείην.	Orph. Arg.
	Νύκτα θεῶν γενέτειραν ἀείσομαι, ἠδὲ καὶ ἀνδρῶν. νὺξ γένεσις πάντων, ἣν καὶ Κύπριν καλέσωμεν. κλῦθι μάκαιρα θεά, κυαναυγής, ἀστεροφεγγής· ἡσυχίῃ χαίρουσα, καὶ ἠρεμίῃ πολυΰπνῳ· εὐφροσύνη, τερπνή, φιλοπάννυχε, μῆτερ ὀνείρων· ληθομέριμν' ἀγαθή τε, πόνων ἀνάπαυσιν ἔχουσα·	Hymnus ſiue θυμίαμα νυκτὸς ex Orpheo.

ὑπνοδότ-

ὑπνοδότειρα, φίλη πάντων, ἐλάσιππε, νυχαυγής·
ἡμιτελής, χθονία, ἠδ' οὐρανία πάλιν αὐτή·
ἐγκυκλία, παίκτειρα, διώγμασιν ἠερόφοιτος·
ἣ φάος ἐκπέμπεις ὑπὸ νέρτερα, καὶ πάλι φεύγεις
εἰς ἀΐδην. δεινὴ γὰρ ἀνάγκη πάντα κρατύνει.
νῦν τε μάκαιρα νὺξ, πολύολβιε, πᾶσι ποθεινή,
εὐάντητε, κλύουσα λόγων ἱκετηΐδα φωνήν.

Nonnus Dionyſ. μελάγκλαινος, κατευνήτειρα κυδοιμοῦ, θεῶν δμήτειρα καὶ ἀνδρῶν, συγερή, ζοφοειδής, ζοφερή, μελανοχρώς.

νύσσα meta curriculi.

πολυκαμπής	Μήπω ἑλισσομένοιο χρόνου πολυκαμπέϊ νύσσῃ.	Nonnus.

Νύσσα Nyſſa mons Thraciæ.

Nonn. Dionyſ. δροσερή, ἀχείμων, ὑψίπορος, βορειάς.

νῶτος, νῶτον, dorſum, tergum.

εὐρὺ	Ἀργεῖοι φεύξονται ἐπ' εὐρέα νῶτα θαλάσσης.	Hom. Il. β.
διηνεκές	Νώτοισι δ' Αἴαντα διηνεκέεσσι γέραιρεν.	Id. Iliad. η.
πῖον	Ὣς φάτο, καί σφιν νῶτα βοὸς παρὰ πίονα θῆκεν.	Odyſs. δ.
γεράσμιον	Σάρκας ὁμοῦ καὶ νῶτα γεράσμια, καὶ μέλαν αἷμα.	Id. hymn.
πλατύ	Αὐχέν' ἐπιστρέψας, καὶ οἱ πλατὺ δείκνυε νῶτον.	Theoc. εἰδ. κ.
κήτειον	Κητείοις νώτοισιν ἐφήμεναι αὐτοχέοντο.	Eod.
βλοσυρόν	Εἶδον ὑπὲρ νώτοιο λεοντοκόμον βλοσυροῖο. (τοις.	Nazianz.
ψαφαρόν	Χροιὴ δ' ἄλλοτε μὲν ψαφαροῖς ἐπιδέδρομε νώ-	Nicand. Th.
καλλίθριξ	Τοὶ μὲν γὰρ δειρὴν, καλλίτριχά τ' εὐρέα νῶτα.	Opp. κυνηγ. α.
τανυπτέρυξ	Τέσσαρες αἰωροῦσι τανυπτερύγων ἐπὶ νώτων.	Epigr. lib. 1.
ἀλκῆεν	Καὶ ταχὺς ἀλκήεντι τένων ἐπανίστατο νώτῳ.	Chriſtod.
εὔλοφον	Στυγνὰς ἀπαρτὰς εὐλόφῳ νώτῳ φέρειν.	Lycoph.
πολύτειχον	Ὅφρα κε πάντ' ἀΐδηλα, πολύτειχον ἀμφιπετάσσας Νῶτον ἑὸν, τεύξει &c.	Orph. λίθ.

Nonn. Dionys. φιλόδροσον, ἁλίκτυπον, ἀστεροφεγγὲς, λασιόθριξ, ὀπισθόκομον, μεσόμφαλον, πολυχανδές.

Ξ

Ξάνθος *Xanthus fl.*

δινήεις	Τηλόθεν ἐκ Λυκίης Ξάνθου ἄπο δινήεντος.	Hom. Bœot.
μέγας, βαθυδίνης.	-- μέγας ποταμὸς βαθυδίνης, Ὃν Ξάνθον καλέουσι.	Id. Iliad. υ.
Ἰδαῖος	Εἴ τινά που Ξάνθοιο παρ᾽ Ἰδαίοιο ῥεέθροις.	Coluth.
εὐρυρέων	Ξάνθῳ ἐπ᾽ εὐρυρέοντι, καὶ Ἰδαίῳ Σιμόεντι.	Dionys.
ἐϋρρείτης	Ξάνθου ἐπὶ προχοῇσιν ἐϋρρείτου ποταμοῖο.	Idem.

ξενία *hospitalitas.*

πολύπλαγκτος	Πάντες γὰρ ξενίης πειρώμεθα τῆς πολυπλάγκτου.	Phocyl.
πανδόκος	Χαίροντά τε ξενίαις πανδόκοις.	Pind. Olym.

ξένος (poet. ξεῖνος) *hospes.*

φίλος	Τῷ νῦν σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέσσῳ.	Hom. Il. ζ.
ταλαπείριος	Καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος ἐνθάδ᾽ ἱκάνω.	Id. Odyss. η.
αἰδοῖος	Εἵνεκα γὰρ ξείνοιο τάδ᾽ αἰδοίοιο τέτυκται.	Odyss. θ.
χαρίεις, λαμπρ.	Ξένος χαρίεις ἐκεῖ μέγας καὶ λαμπρὸς ὤν.	Demetrius.
ἀλήτης, ἄπιστος	-- πῶς γὰρ ἀλήτης Ξεῖνος ἐὼν καὶ ἄπιστος.	Musæus.
πολύφοιτος	Ὡς ξεῖνος πολύφοιτος ἐμὴν ἐς πατρίδα μίμνειν.	Idem.

Ξέρξης *Xerxes.*

Δαρειογενής	Οἷς αὐτὸς ἄναξ Ξέρξης βασιλεὺς Δαρειογενής.	Æsch. Pers.
θούριος	Θούριος Ξέρξης κενώσας πᾶσαν ἠπείρου πλάκα.	Ibid.

ξίφος *ensis.*

ἀργυρόηλον	Ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον.	Hom. Il. β.
ὀξύ	Ἐσπάσατο στέρνοιο, ἐρύσατο δὲ ξίφος ὀξύ.	Idem Il. δ.
κωπῆεν	Λῦσε μένος, πλήξας ξίφει αὐχένα κωπήεντι.	Iliad. π.
ἄμφηκες	Δῦ ξίφος ἄμφηκες, ὁ δ᾽ ἄρα πρηνὴς ἐπὶ γαίῃ.	Iliad. φ.
τανύηκες	Θεινέμεναι ξίφεσιν τανυήκεσι &c.	Odyss. χ.

ἀμφίτομον

ἀμφιτόμοιν	Ἀμφιτόμοις ξιφέεσσι διαμπερέεσσι κέδασσαν.	Calab.lib.5.
στονόεν	Ἀργείους ἢ μοῦνον ὑπὸ ξίφεϊ στονόεντι.	Eod.
αἰνόν	Καί οἱ ξίφος αἰνὸν ἐρύσατο· τὸ δ' ἄορ πάσχω.	Idem lib.13.
δαιδαλέον	Δαιδαλέον δ' ὥρμησε μετὰ ξίφος.	Theoc.εἰδ.λα
ὀλοόν	Πάντες ὁμῶς ὀλοοῖσι περὶ ξιφέεσσι πεσόντες.	Calab.lib.11.
θοόν	Οὐ θοὸν ἐν παλάμαις κατέχει ξίφος;	Epigr. lib. 1.
λαιμητόμον	Ξίφη τὰ πολλῶν κνωδάλων λαιμητόμα.	Epigr. lib. 6.
χαλκοτόρον	Οὐ πρέπει νῷϊν χαλκοτόροις ξίφεσιν οὐδ' ἀκόν- τεσσι μεγάλαν προγόνων τιμὰν δάσασθαι.	Pind.Pyth.
νεόρραντον	Πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει.	Soph.Aiace.
κελαινόν	Συγκατακτὰς κελαινοῖς ξίφεσι βοτὰ, καὶ βοτῆ- ρας ἱππονόμοις. (ξαι.	Ibid.
μελάνδετον	Μελάνδετον γὰρ φόνῳ ξίφος εἰς αὐγὰς ἀελίοιο δεῖ-	Eur. Oreste.

Nonn. Dionys. εὐκελαδές.

ξόανον *statua, simulacrum scalptile.*

ἀρτιγλυφές,	Σύκινον εὑρήσεις ἀρτιγλυφὲς ξόανον	Theoc.Epig.
τρισκελ. αὐτ.	Τρισκελὲς, αὐτόφλοιον, ἀούατον.	
ἄψυχον	Οὐ χρὴ ἀψύχοις τοῖς ξοάνοισι βροτούς.	Dolsc.
λαμπρόν	Δειμαίνῃ, λαμπρὸν δερκόμενος ξόανον.	Epigr. lib. 1.
λιπαρόν	Δειμαίνει λιπαρὸν δερκόμενος ξόανον.	Epigr. lib. 4.

ξύλον *lignum.*

κάγκανον	Πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται.	Hom. Il. φ.
αὖον	Ἕστηκε ξύλον αὖον, ὅσον τ' ὄργυι', ὑπὲρ αἴης.	Id. Iliad. ψ.
κάρπιμον	Χόρτοις, πόαις, ἅπαντι καρπίμῳ ξύλῳ.	Cyr. Theod.
ἄσηπον	Ξύλα τ' ἄσηπα, λίθοι τ' ἀπὸ Σαρδόφι, καὶ τεί- χες ἀνδρῶν.	Idem.
ζωηφόρον	Τούτοις φυτεύει σε ξύλον ζωηφόρον.	Callicles.
πολύκαρπον	Οὐ παλάμαις ἥπλωσεν ἐπὶ ξύλου πολυκάρπου.	Sibyll.
οὐρανόδρομον	Αὐτίχ' ὅμιλος οὐρανοδρόμῳ ξύλῳ.	Nazianz.
τρίστηλον	Γυμνὸν τριστήλῳ κείμενον ξύλῳ λαβών.	Idem.
σιδηροβριθές	Σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον.	Aristoph.R.

	Nonn. Dionys. αὐτόπρεμνον, καμπύλον.	
	ξύλοχος arbustum.	
ἐρημαίη	Πόρτις ἐρημαίῃσιν ἐνὶ ξυλόχοισιν ἀλᾶται.	Coluth.
πολύπρεμνος	Ἀλλὰ πολυπρέμνων ξυλόχων ὑποδάσκιον ὕλην.	Idem.
γλαφυρός	Ὥς οἵγε γλαφυροῖο διὰ ξυλόχοιο θορόντες.	Tryphiod.
	ξυμφορά: infra συμφορά.	
	O	
	ὄαρος colloquium, confabulatio.	
	Nonn. Dionys. κλεψίνοος, Κυπρίδιος, μυστιπόλος, τερψίνοος, λυσίπονος, ὑπναλέος, γάμιος, νυμφίδιος.	
	ὀβελός veru.	
ἀκροπόρος	Ὤπτων δ' ἀκροπόρους ὀβελοὺς ἐν χερσὶν ἔχοντες.	Hom. Od. γ.
δουράτεος	Ὤπτα δ' ἀμφ' ὀβελοῖσι πεπαρμένα δουρατέοισι.	Id. hymn.
	ὄγμος sulcus, aratri ductus.	
	Nonn. Dionys. πολύστιχος, πολυόδους.	
	Ὀγχηστός Onchestus, nemus sacrum Neptuno.	
λεχεποίης	Ἵέμενον πεδίονδε δι' Ὀγχηστὸν λεχεποίην.	Hom. hym.
ποιήεις	Ὦ γέρον Ὀγχηστοῖο βατοδρόπε ποιήεντος.	Ibid.
	ὁδίτης viator.	
σκιπναῖος	Ἐρχόμεναι σκιπναῖον ἐπισπεύδοιεν ὁδίτην.	Theoc. εἰδ. 15.
ὀπισθοκέλευθος	Πιστὸν ἑὸν συνάεθλον, ὀπισθοκέλευθον ὁδίτην.	Nonnus.

ἀγχικέλευθος	-- καὶ ἀγχικέλευθον ὁδίτην Ναθαναὴλ ταχύγουνον ἅμαξ ἐπεδείκνυε λαῷ.	Idem.
ἀμάρτυρος	-- ἀμάρτυρος ἔσσεται ὁδίτης Χερσὶ δ' νυκτὸς ἵκανε.	Idem.
ποδήνεμος	Ζώεις σὸς φιλότεκνε ποδήνεμος υἱὸς ὁδίτης.	Idem.
κοῦφος	Ἔγρεο, λέκτρον ἄφρε, καὶ ἔρχεο κοῦφος ὁδίτης.	Idem.
περίφοιτος, δή.	Ἀνέρα δ' ὃς περίφοιτος ἔην ἀλαωπὸς ὁδίτης.	Idem.
κελευθοπόρος	Σοῖσιν ἀκοιμήτοις ποσὶ κελευθοπόρε.	Epigr. lib. 3.

Nonn. Dionys. ἀχάλινος, ὠκυπέδιλος, περικέλευθος, παλινδίνητος, λοξὸς, ἠῷος.

ὀδμὴ odor.

δεινή	-- δεινὴ γὰρ θεείου γίνεται ὀδμὴ Ἐξ αὐτῆς.	Hom. Il. ξ.
ἡδεῖα, θεσπεσίη	Χεῦ', ὀδμὴ δ' ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει Θεσπεσίη.	Id. Odyss. ι.
ἱμερόεσσα	Ὀδμὴ δ' ἱμερόεσσα δι' ὄρεος ἠγαθέοιο.	Idem hymn.
ἀμβροσίη	-- ὤρνυτο δ' ὀδμὴ Ἀμβροσίη.	Ibid.
ἀλίπνοος	Εὐόδμῳ ῥοδέῳ, καὶ ἀλίπνοον ἔσβεσεν ὀδμήν.	Musæus.
ἰχθυόεσσα	Ὀδμή τ' ἰχθυόεσσα βαρυγδούποιο θαλάσσης.	Idem.
σεμνή	Ὀδμὴ σεμνὴ μυκτῆρα δονεῖ.	Mnesimach.
λευγαλέη, ἄσχ.	Κάτθανε, λευγαλέη γὰρ καὶ ἄσχετος ἔσσυτο ὀδμή.	Calab. lib. 2.
δυσήνεμος	Χάσματος ὑδαίοιο δυσήνεμος ἔρχεται ὀδμή.	Nonnus.
καπνηλὸς, φύξ.	Ἐν φλογιῇ καπνηλὸν ἄγει καὶ φύξιμον ὀδμήν.	Nicand. Th.
μυδαλέη	Καὶ δ' ἐπὶ μυδαλέην ὀδμὴν χέον.	Apoll. lib. 2.
λειριόεσσα	Ὀδμὴ δ' αἶψα θάλασσαν ἐπέδραμε λειριό- εσσα. (δμή.	Opp. ἁλ. γ.
κακὴ, αἰάρσιος	Δέξατο ναῦς, τὶς δ' αἶψα κακὴ καὶ αἰάρσιος ὀ-	Idem ἁλ. δ.

Nonn. Dionys. δολιχόσκιος, καλλίπνοος, βακχιὰς, ἀμπελόεσσα, βοτρυόεσσα, δυσώδης, πόντιος.

ὁδοιπορεία iter, profectio.

εὔσκαρθμος	Τρῶας εὐσκάρθμοισιν ὁδοιπορίῃσι διώκων.	Tryphiod.

ὁδὸς via.

παιπαλόεσσα	Οἰκία ποιήσωνται ὁδῷ ἐπὶ παιπαλοέσσῃ.	Hom. Il. μ.

λαοφόρος	Λαοφόρον καθ' ὁδὸν πολέες τε ἐθηήσαντο.	Iliad. ο.
στεινωπός	Στεινωπῷ ἐν ὁδῷ παραδύμεναι, οὐδέ με λήσει.	Iliad. ψ.
κοίλη	Στεῖνος ὁδοῦ κοίλης ἴδεν Ἀντίλοχος μενεχάρμης.	Eod.
συγκρή	-- τότε δὴ συγκρὴν ὁδὸν εὐρυόπα Ζεὺς Ἐφράσατο.	Odyss. ς.
τηϋσίη	Κτήματα δασσάμενοι· σὺ δὲ τηϋσίην ὁδὸν ἦλθες.	Eod.
δολιχή, ἀργαλ.	Οἰχομένοιο ἔθεν δολιχὴν ὁδὸν ἀργαλέην τε.	Odyss. δ.
λείη	Οἱ δ' ἴσαν ἐκβάντες λείην ὁδόν.	Odyss. κ.
χαλεπή	Χαλεπὴν ὁδὸν ἤγαγε δαίμων.	Callimach.
ἄτρυτος	Ἁ δ' ὁδὸς ἄτρυτος, τὺ δ' ἑκαστέρω ἐμ' ἀποικεῖς.	Theoc. εἰδ. ιε.
δυσπάτητος	Ἐρχομένην χάλιξιν εἰς ἑβλὴν ὁδὸν Καὶ δυσπάτητον.	Lucianus.
ἰθύπορος	Κἀμοὶ ἰθυπόρους ἡγεμονεύει ὁδούς.	Dolsc.
σφαλερή	Ποσσὶ χαλιζομένοις σφαλερὴν ὁδὸν οὗτος ὁδεύει.	Nonnus.
ἰθυκέλευθος	Τοῖς τε πολυπλάγκτοις ὁδὸν ἰθυκέλευθον ἔδειξεν	Dolsc.
ὀρθοκέλευθος	Οἱ γὰρ ὁδοῖς αὐτοῦ στείχοντες ἐν ὀρθοκελεύθοις.	Idem.
πολύπειρος	Μή σε θεὸς πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω.	D. Laërt. l. 9.
εὐρύπορος	Οὐδ' ἀμφ' εὐρυπόροισιν ὁδοῖς σφέων ἐστὶν ἀϋτή	Apolinar.
παλίμβαμος	Ἃ μὲν οὐθ' ἴσων παλιμβάμους ἐφίλασεν ὁδούς.	Pind. Pyth.
τρηχαλέη, ὄρθιος, αὐδαλέη, σ.	Τρηχαλέη, ὄρθιος, αὐδαλέη, στενή, ἀμφίκρημνος.	Apud Nazianz. in Epig.

ὀδόντες dentes.

λευκοί	Ῥῖνα παρ' ὀφθαλμόν, λευκοὺς δ' ἐπέρησεν ὀδόντας.	Hom. Iliad. ε.
κρατεροί	Ῥηϊδίως ξυνέαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι.	Idem Iliad. λ.
τρίστοιχοι	-- ἐν δὲ τρίστοιχοι ὀδόντες Πυκνοὶ καὶ θαμέες.	Idem Od. μ.
λευκὰ θέοντες, δεινοί, ἄπλητοι	Τοῦ καὶ ὀδόντων μὲν πλῆτο στόμα λευκὰ θεόντων, Δεινῶν, ἀπλήτων.	Hesiod. Scu
ἀργύρεοι	Ἀργυρέους δ' ἐχάραξεν ἐπὶ γναμπτοῖσιν ὀδόντας.	Tryphiod.
εὐκτυπέοντες	Θήγοντες καναχηδὰ εὐκτυπέοντας ὀδόντας.	Calab. lib. 5.

ἀταρτηροί

ἀταρτηροί	Τειρόμενος ποδὸς ἄκρον ἀταρτηροῖσιν ὀδοῦσι.	Idem lib.9.
ἐρωτικοί	Τί γὰρ φέρω περισσοὺς Ερωτικοὺς ὀδόντας;	Theoc. εἰδ. κθ
ἀναιδεῖς	Κοίλου ὑπὲρ σάκεος καὶ ἀναιδέας εἶδεν ὀδόντας.	Idem εἰδ. λα.
λαμυροί	Σκεπτόμενος, λαμυροὺς δὲ χανὼν ὑπέδειξεν ὀδόντας.	Idem εἰδ. λβ.
ἀργύφεοι	Αργυφέοις περιθέντας ὑποξύουσιν ὀδόντας.	Dionys.
τρηχεῖς	Εκπεριφυγεῖν μεμαὼς τρηχὺν ὀδόντα κυνός.	Epigr. lib. 1.
βρυχαλέοι	Βρυχαλέους αὐτὰρ κατὰ Κύελε ἄξον ὀδόντας.	Dolsc.
ἀγκύλοι, δολιχήρεις, ἰοδόκοι	-- κοῖλοι ὑπένερθεν ὀδόντες Αγκύλοι ἐν γναθμοῖς δολιχήρεες ἐρρίζωνται, Ιοδόκοι.	Nicand. Th.
λοιγοί	Ἢ καὶ ἀποστρεύοντι βάλοι ἐπὶ λοιγὸν ὀδόντα.	Ibidem.
ὀλοοί	-- ὀλοοῖς δὲ συνερράθαγησεν ὀδοῦσι.	Ibidem
ἄγναμπτοι	Σείελος ἀζήνῃ, τεύξῃ δ᾽ ἄγναμπτον ὀδόντα.	Ibidem.
φθονεροί	Τηκεδόνι τρύζοντα κακῇ φθονεροῖσιν ὀδοῦσι.	Apolinar.
πολύγναμπτοι	Τοὔνεκα μάρνανταί τε πολυγνάμπτοισιν ὀδοῦσι.	Opp. ἁλ. α.
στερεοί	Εγχρίπτει, στερεοῖσι δ᾽ ἐτώσια μάρναται ὀδοῦσι.	Idem ἁλ. β.
μαλεροί	Χρωτὸς ἔσω μαλεροῖσι καὶ ἱέμενος περ ὀδοῦσι.	Eod.
ἀργαλέοι	Ὧ δὲ γὰρ ἀργαλέων ξυνοχῇ πεπέδηται ὀδόντων	Eod.
ὠμοφάγοι	-- ὠμοφάγων δὲ βίην ἀνέχουσιν ὀδόντων.	Eod.
νεογιλοί	Εἴσοκε μὴ νεογιλὸν ὑπὸ στομάτεσσιν ὀδόντα.	Idem κυνηγ. α.
πικροί	-- ῥινῷ δὲ πικροὺς ἀνέρεισεν ὀδόντας.	Idem κυνηγ. β.
ὠχροί, ἰοτόκοι	Ὠχροί τ᾽ ἰοτόκοι τε περὶ στομάτεσσιν ὀδόντες.	Idem κυνηγ. γ.
γλακτόχροες	Εντὸς ἐρειρέδαται γλακτόχροες ἀμφὶς ὀδόντες.	Eod.
αἴθωνες	Ἔνθα συὸς χλούνων πέλασαν αἴθωνες ὀδόντες.	Eod.

ὀδύνη dolor.

μέλαινα	Φάρμαχ᾽ ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων.	Hom. Iliad. δ
βαρεῖα	Ἄλθετο χείρ, ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι.	Idem Iliad. ε.
ὀξεῖα	Ὀξεῖαι ὀδύναι δῦνον μένος Ατρεΐδαο.	Iliad. λ.
ἀλεγεινή	Εκ ποδὸς ἕλκ᾽, ὀδύνη δὲ διὰ χροὸς ἦλθ᾽ ἀλεγεινή.	Eod.
χαλεπή	-- ἡ δ᾽ ὀδύνῃσιν ἐρεχθομένη χαλεπῇσι.	Idem hymn.
ἐρωμανής	Ὅττι πέλεν συνέεθλος ἐρωμανέων ὀδυνάων.	Musæus.

ἀλήκτος	Νῦν δέ μοι ἀλήκτους ὀδύνας ἐνεθήκατο δαί-μων.	Calab. lib. 6.
λευγαλέη	Ἀνέρα λευγαλέῃσιν ἐπιστενάχοντ' ὀδύνῃσι.	Idem lib. 9.
δυσαλθήτος	Τεῖρε δυσαλθήτοισιν ὑποδμηθέντ' ὀδύνῃσι.	Eod.
ἀργαλέη	Ἕλκεος ἀμφ' ὀλοοῖο, καὶ ἀργαλέων ὀδυνάων.	Eod.
ἀνιαρή	Εἰσόκε σ' ἰήνειεν ἀνιηρῶν ὀδυνάων.	Idem lib. 10.
διψαλέη	Μηδαμὰ καμμύσαι διψαλέην ὀδύνην.	ἄδηλον.
ῥιγεδανή	Ῥιγεδανὴν ὀδύνην καὶ ἀτειρέα μόχθον ἔφευ-ρον.	Apolinar.
πολύκμητος	Καὶ μόρον ἠμείψαντο πολυκμήτων ὀδυνάων.	Opp. ἁλ. β.
πολύτμητος	Ἀλλ' ὅτε μιν δμηθέντα πολυτμήτοις ὀδύνῃσι.	Idem ἁλ. ε.
ὀλοή	Αἱμάσσων ὀλοῇσι περιστέρχων ὀδύνῃσι.	Eod.
θυμοβόρος	Ὥς ὅγε θυμοβόροισιν ἀνιάζων ὀδύνῃσι.	Idem κυνηγ. α.
ζηλότυπος	Κινήσῃς ἐπ' ἐμοὶ ζηλοτύπους ὀδύνας.	Epigr. lib. 7.
στερεά	Σὺν δ' ἐλαίῳ φαρμακώσαισ' ἀντίτομα στερεᾶν ὀδυνᾶν.	Pind. Pyth.
κεντροδήλητος	Ὀδύνας τε κεντροδαλήτοις θείας Ἥρας.	Æsch. Supp.
γηγενής, δυσαίτ.	Γηγενέων ῥύσαντο δυσαιτήτων ὀδυνάων.	Proclus Lyc.
πικρή	Πικρῇσιν τότε γυῖα πεπαρμένος ἀμφ' ὀδύνῃσι.	Orph. λιθ.
	Nonn. Dionys. φιλόθρηνος.	

Ὀδυσσεύς *Vlysses*.

δῖος	Ἢ Αἴας, ἢ Ἰδομενεύς, ἢ δῖος Ὀδυσσεύς.	Hom. Iliad. α
πολύμητις	Εἶσεν ἄγων, ἐν δ' ἀρχὸς ἔβη πολύμητις Ὀδυσ-σεύς.	Eod.
Διῒ μῆτ. ἀτάλ.	Εὗρεν ἔπειτ' Ὀδυσῆα Διῒ μῆτιν ἀτάλαντον.	Iliad. β.
Λαερτ. διογ. π.	Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ.	Eod.
πτολίπορθος	Ὣς φάσαν ἡ πληθύς· ἀνὰ δ' ὁ πτολίπορθος Ὀ-δυσσεύς.	Eod.
θεῖος	Μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.	Eod.
εἰδὼς δόλους	Εἰδὼς παντοίους τε δόλους, καὶ μήδεα πυκνά.	Iliad. Γ.
μεγαλήτωρ	Οὐδ' ἄρ' Ὀδυσσῆϊ μεγαλήτορι μόρσιμον ἦεν.	Iliad. ε.
πολύτλας	Ὣς ἔφατ' οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσ-σεύς.	Iliad. θ.
πολύαινος, κ. Α.	Εἴπ' ἄγε μ' ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀ-χαιῶν.	Iliad. ι.

τλήμων	Τόφρα δ' ἄρ ὁ τλήμων Ὀδυσσεὺς λύε μώνυχας ἵππους.	Iliad. κ.
Διῒ φίλος	Ἔνθ' Ὀδυσσεὺς μὲν ἔρυξε Διῒ φίλος ὠκέας ἵππους	Eod.
ἀντίθεος	Ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆϊ.	Iliad. λ.
δουρικλυτός	Ὣς φάτο· τῷ δ' Ὀδυσσεὺς δουρικλυτὸς ἐγγύθεν ἐλθών.	Eod.
ταλασίφρων	Ἀμφὶ μ' Ὀδυσσῆος ταλασίφρονος ἵκετ' ἀϋτή.	Eod.
δαΐφρων, ποικιλομήτης	Ὥς ῥα τότ' ἀμφ' Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην.	Eod.
πολύτροπος	Ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον &c.	Odyss. α.
δύσμορος	Ἀλλά μοι ἀμφ' Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ Δυσμόρῳ.	Eod.
ἐπίστροφος	Ἄλλοι, ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν ἀνθρώπων.	Eod.
ἀμύμων	Μέντωρ, ὅς ῥ' Ὀδυσῆος ἀμύμονος ἦεν ἑταῖρος.	Odyss. β.
Ἰθακήσιος	Εἴπερ γάρ κ' Ὀδυσσεὺς Ἰθακήσιος αὐτὸς ἐπελθών	Eod.
κυδάλιμος	Ὡς τότ' Ὀδυσσῆος περικήδετο κυδαλίμοιο.	Odyss. γ.
δύστηνος, ἀνόσ.	Ὃς κεῖνον δύστηνον ἀνόστιμον οἷον ἔθηκεν.	Odyss. δ.
ἐσθλός	Λίσομαι, εἴ ποτέ τοί τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεύς.	Eod.
θυμολέων	Ἣ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα.	Eod.
ἀγακλυτός	Ἀργεῖοι, τοὶ δ' ἤδη ἀγακλυτὸν ἀμφ' Ὀδυσῆα.	Odyss. θ.
Οὖτις	Οὖτις ἐμοίγ' ὄνομ' ἐσ', Οὖτιν δέ με κικλήσκουσι	Odyss. ι.
διοτρεφής	Μή μ' ἀέκοντα κεῖσ' ἄγε διοτρεφὲς, ἀλλὰ λίπ' αὐτοῦ.	Odyss. κ.
θρασύ	-- σὺν δ' ὁ θρασὺ εἶπετ' Ὀδυσσεύς.	Eod.
φαίδιμος	Νόστον δίζηαι μελιηδέα φαίδιμ' Ὀδυσσεῦ.	Odyss. λ.
μεγάθυμος	Ὤιχετ' Ὀδυσσῆος μεγαθύμου φαίδιμον υἱόν.	Odyss. ο.
συμφράδμων	Συμφράδμονι Ὀδυσῆϊ παρίστατο θοῦρις Ἀθήνη.	Tryphiod.
περιφραδής	Αἴαντος μεγάλοιο, περιφραδέος τ' Ὀδυσῆος.	Calab. lib. 5.
φιλοπτόλεμος	Ἀντιθέῳ Αἴαντι, φιλοπτολέμῳ τ' Ὀδυσῆϊ.	Eod.
δολομήτης, ἀργ.	Ὦ Ὀδυσεῦ δολόμητα, καὶ ἀργαλεώτατε πάντων.	Eod.
δολόεις	Δηώσαι μελεϊστὶ θοῶς δολόεντ' Ὀδυσῆα.	Eod.
πολύτλητος	Μήδετο γὰρ φρεσὶν ᾗσι πολυτλήτου Ὀδυσῆος.	Eod.
πυκιμήδης	Ἦ καὶ Ὀδυσσῆος πυκιμήδεος, ὅς νύ σοι ἄγχι.	Idem libr. 7.
πινυτόφρων	Ἄχνυτ' Ὀδυσσῆος πινυτόφρονος, οὕνεκ' ἔμελλεν.	Idem lib. 14.
αἰολόμητις	Ἔνθά ποτ' αἰολόμητις ἀλώμενος ἤλυθεν Ὀδυσσεύς.	Dionys.

μφρων	Ἔμφρων δ᾽ ὢν Ὀδυσεὺς, τὴν νεότητα φυγών.	Epigr. lib. 1.
ἰκοσέτης σωθ.	Εἰκοσέτοις σωθέντος Ὀδυσσέος εἰς τὰ πάτρῳα.	Epigr. lib. 2.
ποικιλόβουλος	Γηρόμενόν τε πλάνῃσιν Ὀδυσσέα ποικιλόβουλον.	Epigr. lib. 4.
καγχαλόων	--ἰὼ δ᾽ ἐνὶ θυμῷ	Christod.
	Καγχαλόων· Τροίην γὰρ ἐγήθεε πᾶσαν ὀλέσσας.	
Σισυφ. λαμπυρ	Τῆς Σισυφείας δ᾽ ἀγκύλης λαμπουρίδος.	Lycophr.
δελφινόσ. κλ.	Δελφινόσημον κλῶπα Φοινίκης θεᾶς.	Idem.
μονόστολος	Φλογμῷ ζεύγλα δέξεται μονόστολον.	Idem.
πλανήτης	Πάλιν πλανήτην δέξεται Τυρσηνία.	Idem.
ναύος πλαν.	Ναύος πλάναισι πάντ᾽ ἐρευνήσας μυχόν.	Idem.
φρόνιμος	Περὶ τοῦ, ὅτι φρόνιμος ὁ Ὀδυσσεὺς καὶ Νέστωρ.	Tzetzes.
ποικιλόφρων κ.	Γεὶν ὁ ποικιλόφρων κόπις, ἡδυλόγος, δημοχα-	Eurip. Heca.
ἡδυλόγ. δημοχ.	ρισὴς Λαερτιάδης, πείθει τὴν στρατιάν.	
Ἰλίου κατάσκοπ.	Οἶσθ᾽ ἡνίκ᾽ ἦλθες Ἰλίου κατάσκοπος	Ibid.
	Δυσχλαινίᾳ τ᾽ ἄμορφος.	
κρόταλος	Οἶδ᾽ ἄνδρα κρόταλον, δριμὺ Σισύφου γένος.	Id. Cyclope.
	Nonn. Dionys. δολοπλόκος.	
	ὄζος *ramus.*	
ἐριθαλής	Συμμάρψας δόνακας, μυρίκης τ᾽ ἐριθηλέας ὄζους	Hom. Il. κ.
εἰλάτινος	Ἔνθ᾽ ἧσ᾽ ὄζοισιν πεπυκασμένος εἰλατίνοισι.	Id. Iliad. ξ.
τανυήκης	Αἵ τε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους.	Iliad. π.
πυκινός	--ἐπέσχε δὲ καλὰ ῥέεθρα Ὄζοισι πυκινοῖσι.	Iliad. φ.
μυρσινοειδής	Συμμίσγων μυρίκας, καὶ μυρσινοειδέας ὄζους.	Id. hymn.
ἀγλαός	Δάφνης ἀγλαὸν ὄζον ἑλὼν, ἐπέλεψε σιδήρῳ.	Ibid.
χλοερός	Ἦμος δὲ χλοερῷ κυανόπτερος ἠχέτα τέττιξ	Hesiod. Scu.
	Ὄζῳ ἐφεζόμενος.	
μύρσινος	Δὴ τότε γὰρ πέπλοισιν, ἀνέσχετο μύρσινος ὄζος.	Callimach.
στιβαρός	--στιβαρὸν δ᾽ ἔχεν ὄζον ἐλαίης.	Apoll. lib. 4.
βαρύπους, θηρ.	Ἰὸς, καὶ βαρύπους ὄζος ὁ θηρολέτης.	Epigr. lib. 4.
	Nonn. Dionys. φρέπτολις ὄζος ἐλαίης, κορυνηφόρος.	
	ὀθόνη *velum, linteum.*	
ἀργεννή	Αὐτίκα δ᾽ ἀργεννῇσι καλυψαμένη ὀθόνῃσι.	Hom. Il. γ.
λεπτή	Τῶν δ᾽ αἱ μὲν λεπτὰς ὀθόνας ἔχον.	Id. Iliad. σ.

χιονώδης	Κεκλιμένας ὀθόνας χιονώδεας ὑψόθι γαίης.	Nonnus.
μαλακή	Κολποῦται μαλακὰς εἰς ὀθόνας ζέφυρος.	Epigr. lib. 1.
	Ὄθρυς Othrys, mons Thessaliæ.	
ὑψηλή	Οἱ μὲν ἀφ' ὑψηλῆς Ὄθρυος Τιτῆνες ἀγαυοί.	Hes. Theog.
νιφόεσσα, δυσπ.	Ναὶ μὴν καὶ νιφόεσσα φέρει δυσπαίπαλος Ὄθρυς	Nicand. Th.
	Οἴαγρος Oeagrus, Orphei p.	
μεγαλήτωρ	Γείνατο ἐν λέκτροις μεγαλήτορος Οἰάγροιο.	Orph. Arg.
Θρήϊξ	Καλλιόπη Θρήϊκι φατίζεται εὐνηθεῖσα Οἰάγρῳ.	Apoll. lib. 1.
	Οἰδιπόδης Oedipus.	
ἀλήμων	Καδμεῖος γάμος αἰνὸς ἀλήμονος Οἰδιπόδαο.	Opp. κυνηγ. α.
πλανήτης	Τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν.	Soph. O. C.
βλαψίφρων	Κατάρας βλαψίφρονος Οἰδιπόδα.	Æsch. ἑπτ. ἐ. Θ
πατροκτόνος	Ἐγείνατο μὲν μόρον αὐτῷ πατροκτόνον Οἰδιπόδαν	Ibidem.
	οἶδμα unda, tumor maris.	
ἅλιον, πολυΐχθ.	Ἢ εἰς οἶδμ' ἅλιον πολυΐχθυον ἀμφὶς ὀρούσει.	Hom. hymn
ἄγριον	Παρθένε, σὸν δι' ἔρωτα καὶ ἄγριον οἶδμα περήσω.	Musæus.
πολιόν	Γανσυδίῃ πολιοῖο δι' οἴδματος &c.	Calab. lib. 3.
ὄμβριμον	Καὶ τότ' ἐριδούποιο λιπὼν ἁλὸς ὄμβριμον οἶδμα	Eod.
ἠερόεν	-- κατ' ἠερόεν δὲ ἁλὸς οἶδμα	Idem libr. 5.
	Νηχομένοις εἴδοντο.	
ἁλμυρόν	Νήχετο κήτεα πολλά, τά τε τρέφει ἁλμυρὸν οἶ-δμα.	Eod.
ἀτρύγετον	Ἤλθετ' ἔχοντες ἐμεῖο δι' οἴδματος ἀτρυγέτοιο.	Idem lib. 7.
ἀπείριτον	Μαιάνδρῳ κελάδοντα ῥόον, καὶ ἀπείριτον οἶδμα.	Idem lib. 10.
μέγαν	-- τοῖσι γὰρ μέγαν ποτικλύζεται οἶδμα.	Idem lib. 11.
λάβρον	Θεινόμενοι ῥηγμῖνες ἐπέβραχον οἴδματι λάβρῳ.	Id. lib. 14.
ἀλεγεινόν	-- ὄφρ' ἀλεγεινὸν Ορνυμένης ἁλὸς οἶδμα.	Eod.
Τελτώνιον	Ἄλλοι θ' οἳ ναίουσι βυθὸν Τελτώνιον οἶδμα.	Orph. hym.
βαθύρροον	Ἀντιβίοις ἐκάλυψε βαθύρροον οἶδμα θαλάσσης	Apolinar.
πορφύρεον	Νήχετο γὰρ πορφυρέοιο δι' οἴδματος ὄφρ' ἐπιβαίη.	Apoll. lib. 4.
λυπρόν	Ηρώμεσθ' ὅτι λυπρὸν ἐσήλθομεν οἶδμα βίοιο.	Nazianz.

λυσσῆεν	Οἴδματα λυσσήεντα κυλίνδεται ὄμβρος ἀήτης.	Nonnus.
πόντιον	Θάρσει παρθενική, μὴ δείδιθι πόντιον οἶδμα.	Theoc. εἰδ. κ.
κελαινόν	-- ἀμφὶ δὲ πρώραις Ἔβραχεν οἶδμα κελαινόν.	Calab. li. 14.
γλαυκόν	Κεῖνος ἀνὴρ καὶ πόντου ἐπὶ γλαυκοῖο θέεσκεν Οἴδματος.	Apoll. lib. 1.
βαρύβρομον	Οἵ δέ ποτ' Αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες	Epigr. lib. 3.
	Nonn. Dionyſ. ἀγχιπερὲς ἄλλον, παλιμπετὲς, ἄστατον, βαρύδρομον, δίνιφον, ἱππήλατον, ἄκλυστον, θερμήρες, παλίσκοτον.	
	οἰζύς miſeria, ærumna.	
ἄτερπος	Φαίην κεν φρέν' ἀτέρπου ὀϊζύος ἐκλελαθέσθαι.	Hom. Il. ζ.
αἰνή	Ὡς ἐμοί, ὅτι μ' ἔπαυσας ἄλης καὶ ὀϊζύος αἰνῆς.	Id. Odyſs. ο.
ἀλγινόεσσα	Δεύτερον αὖ Μῶμον καὶ ὀϊζὺν ἀλγινόεσσαν.	Heſ. Theog.
στονόεσσα	Ἀμφ' αὐτῷ στονόεσσαν ἀναπλήσωμεν ὀϊζύν.	Calab. lib. 2.
πολύδακρυς	Αὐτέλλει ναύτῃσι φέρων πολύδακρυν ὀϊζύν.	Idem libr. 4.
ὀλοή	Ἄστυ διαπραθέειν, ὀλοὴ δ' ἔχε πάντας ὀϊζύς.	Idem libr. 9.
ἄληκτος	Συμφέρετ' ἄλγεσι μᾶλλον, ἔχει δ' ἄληκτον ὀϊζύν-	Idem lib. 14.
ἀργαλέη	Τοῦτάχ' ὅτ' ἀργαλέη μοι ὀϊζὺς θυμὸν ἀτύζει.	Dolſc.
ἀνάατος	Αὐτέλλει, μήλοισι δ' ἀνάατον ἧκεν ὀϊζύν.	Apoll. lib. 3.
	οἶκος, οἰκία domus.	
ἀφνειὸς, ἀμύμων	Μέλλεν μέν ποτε οἶκος ὅδ' ἀφνειὸς καὶ ἀμύμων Ἔμμεναι.	Hom. Od. α.
εὖ ναιετάων, κεχανδώς	-- καὶ ἀπώλεσα οἶκον Εὖ μάλα ναιετάοντα κεχανδότα.	Id. Odyſs. δ.
ἐϋκτίμενος	Οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.	Eod.
ὑψόροφος	Οἶκον ἐς ὑψόροφον, καὶ ἑὴν ἐς πατρίδα γαῖαν.	Odyſs. ε.
πίων	-- εἴπερ καί τις ἀπόπροθι πίονα οἶκον.	Odyſs. ι.
ἀνηέλιος	Πολλὰς γὰρ δὴ νύκτας ἀνηελίῳ ἐνὶ οἴκῳ.	Odyſs. τ.
ἄπυρος	Ἔντ' ἀπύρῳ οἴκῳ, καὶ ἐν ἤθεσι λευγαλέοισι.	Heſiod. li. 2.
ἐελκυδής	Ἀλλὰ πολλοὶ μὲν ἔχουσι θεῶν ἐελκυδέες οἶκοι.	Theoc. εἰδ. ιζ.
γλυκερὸς, γηροβ.	Οἶκοί τε γλυκεροὶ γηροβόσκοι, οὔποτ' ἔγωγε.	Nazianz.
πανδόκος	Ἔλκεά τ' εὖ κατάδησον, ἄγων ἐπὶ πανδόκον οἶκον.	Idem.
ἀφρούρητος	Οἶκον ἀφρούρητον ἐδύσατο, πομπὸν ὀλέθρου.	Nonnus.

λαμπρός	Ὁ λαμπρὸς οἶκος ἐκ λιτῶν καὶ ξύλων.	Cyr. Theod.
χρυσόστεγος	Κτίζει δὲ λαμπρὰς οἰκίας χρυσοστέγους.	Idem.
ἱμερόεις	Οἶκος χ᾽ ἱμερόεις καὶ φίλος ἔσσετ᾽ ἀεί.	Dolsc.
ὑλοτόμος	Ὑλοτόμῳ ἐνὶ οἴκῳ ἐπιπλώσας ὑδάτεσσι.	Sibyll.
ἐπάκτιος	Ἐνθάδ᾽ ἐπάκτιον οἶκον Ἀγηνορίδης ἔχε Φινεύς.	Apoll. lib. 2.
λάσιος	Πρὸς λασίοις οἴκοις, ὅταν ἕσπερος ὕπνον ἄγῃσι.	Opp. κυνηγ. γ.
πεντόργυιος	Τιμόμαχον τὸν μακρὸν ὁ πεντόργυιος ἐχώρει Οἶκος.	Epigr. lib. 2.
εὐρύχορος	Αἰθομέναις ὑπὸ δᾳσὶν ἐν εὐρυχόρῳ πατρὸς οἴκῳ	Epigr. lib. 6.
πολύξεινος	Ὦ πολύξεινος καὶ ἐλεύθερος ἀνδρὸς ἀεί ποτ᾽ οἶ- κος.	Eurip. Alcest

Nonn. Dionys. ἄοικος, ἀμώμητος.

οἶκτος *miseratio, eiulatus.*

ἀγανὸν πάθος	Οἶκτος, ὅπερ παθέων ἀγανώτατόν ἐστιν ἁπάντων.	Nazianz.
πολύστονος	-- Γαλάταις δὲ πολύστονος ἔσσεται οἶκτος.	Sibyll.

Οἰλεύς *Oileus.*

πλήξιππος	Αὐτὸν, ἔπειτα δ᾽ ἑταῖρον Ὀϊλῆα πλήξιππον.	Hom. Il. λ.
δῖος	-- ἐπὶ δ᾽ ἤλυθε δῖος Ὀϊλεύς.	Orph. Arg.
ἔξοχος	-- σὺν καὶ τρίτος ἦεν Ὀϊλεὺς Ἔξοχος ἠνορέην.	Apoll. lib. 1.
ὀβριμόθυμος	Ἠγασάμην δ᾽ Αἴαντα, τὸν ὀμβριμόθυμος Ὀϊ- λεὺς Λοκρίδος ἐσπέρμηνε πελώριον ἕρκος ἀρούρης.	Christod.

οἶμος *via.*

ἀγλαός	Τῇσι χοροί τε μέλουσι, καὶ ἀγλαὸς οἶμος ἀοιδῆς.	Hom. hymn
μακρὸς, ὄρθιος	-- μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ᾽ αὐτήν, Καὶ τρηχύς.	Hesiod. li. 1.
δυσέμβατος	Μηδὲ βιαζομένοισι δυσέμβατον οἶμον ὁδεύῃ.	Tryphiod.
σκολιός	Κεῖθεν δ᾽ εἰς αὐγὰς σκολιὸν περιτέμνεται οἶμον.	Dionys.
βασιλήϊος	Ἴχνεσιν ἀπλανέεσσιν ἰὼν βασιλήϊον οἶμον.	Nazianz.
καταιβάτης	Νόσιμον ἴχνος ἔκαμψε καταιβάτην οἶμον ὁδεύ- ων.	Nonnus.
ὑπόστροφος	Ἀλλὰ τεοῖσι πόδεσσιν ὑπόστροφον ἤλυθες οἶμον.	Cyr. Theod.
ἄτρυτος	Γαίην δ᾽ εὐρυτάτην καὶ αἰθέρος ἄτρυτον οἶμον.	Idem.

εὔπορος	Χαῖρε βροτῶν βιότητος ἐπ' εὔπορον οἶμον ἰθύντωρ	Idem.
ἐπίτροχος	Οὔτε βροτοῖς οἶμον τὸν ἐπίτροχον ὄντα βεβήλοις.	Dolsc.
ἀελσφαλής	Ανδρομέων ἔργων κατ' ἀελσφαλέεσσιν ἐν οἴμοις.	Idem.
ἀπλανής	Ορθοποδῶν φοιτῶ σοῖς ἀπλανέεσσιν ἐν οἴμοις.	Idem.
ἄβατος	Παντὸς ἐμοὺς ταρσοὺς οἴμου ἀβάτοιο ἀπείργων.	Idem.
μαλακός	Δεῦτε οἱ ἐξικονέειν μαλακόν τιν' ἀειρόμεν' οἶμον.	Idem.
δύσφατος	-- στοίχους δυσφάτοις αἰνιγμάτων Οἴμας.	Lycophr.
σιδηρείη	Εὖτε σιδηρείην οἶμον ἔβης ἀΐδεω.	Epigr. lib. 3.
ὀλιαθηρός	Ποτὶ κέντρον δέ τοι λακτιζέμεν, τελέθει ὀλιαθηρὸς οἶμος.	Pind. Pyth.
ἀλυπόστροφος	Κωκυτοῦ ναίων ἀλυπόστροφον οἶμον ἀνάγκης.	Orph. hymn
	Nonn. Dionys. δύσβατος, ἑτερότροπος, δάσκιος, θεοπαθής.	
	οἰμωγή eiulatus, vlulatus.	
	Nonn. Dionys. ἑτερόθροος.	
	οἰνάνθη flos vitis siue labruscæ.	
εὐπέταλος	Ἡ πάρος εὐπετάλοισιν ἐν οἰνάνθαις νεάσασα.	Epigr. lib. 1.
	Nonnus Dionys. ῥοδόεσσα, ἀργυρόπεζα.	
	οἴνη vitis.	
μενοεικής	Φυρσάμενος κοτύλην πτέρυν μενοεικέος οἴνης.	Nicand. Th.
κιρράς	Δραχμαίη μίσγοιτο ποτῷ ἔνι κιρράδος οἴνης.	Ibidem.
	οἶνος vinum.	
αἶθοψ	Καῖε δ' ἐπὶ σχίζης ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον Λεῖβε.	Hom. Il. α.
εὔφρων	Ἄρνε δύω, καὶ οἶνον εὔφρονα, καρπὸν ἀρούρης.	Id. Iliad. γ.
γερούσιος	Ἠδ' ἐν δαίθ', ὅτε πέρ τε γερούσιον αἴθοπα οἶνον.	Iliad. δ.
μελιηδής	Οἴνου πινέμεναι μελιηδέος, ὄφρ' ἐθέλητον.	Eod.
μελίφρων	Μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μήτηρ.	Iliad. ζ.
πράμνειος	Οἴνῳ πραμνείῳ, ἐπὶ δ' αἴγειον κνῆ τυρόν.	Iliad. λ.
ἀκηράσιος,	-- ἀφύσσατο αἴθοπα οἶνον	Iliad. π.
θεῖος ποτός	Ἡδὺν ἀκηράσιον, θεῖον ποτόν.	
ἡδύποτος	Ἐν δὲ πίθοι οἴνοιο παλαιοῦ ἡδυπότοιο.	Odyss. β.
ἡδύς	Ὣς εἰπὼν, ἐν χερσὶ τίθει δέπας ἡδέος οἴνου.	Odyss. ς.

εὐήνωρ	Οἱ δ' ἦγον μὲν μῆλα, φέρον δ' εὐήνορα οἶνον.	Odyss. δ.
ἐρυθρός	Αὐτὰρ ἐγὼ σῖτον, καὶ ὕδωρ, καὶ οἶνον ἐρυθρὸν	Odyss. ε.
μενοεικής	Ἐνθήσω μενοεικέ', ἅ κέν τοι λιμὸν ἐρύκοι.	
μέλας	Ἐν δέ οἱ ἀσκὸν ἔθηκε θεὰ μέλανος οἴνοιο.	Eod.
ἐριστάφυλος	-- ἠδ' ἄμπελοι, αἵ τε φέρουσιν Οἶνον ἐριστάφυλον.	Odyss. ι.
ἠλεός	Εὐξάμενός τι ἔπος ἐρέω· οἶνος γὰρ ἀνώγει Ἠλεός.	Odyss. ξ.
ἄκριτος	Οἴνῳ ἐν ἀκρήτῳ καὶ ἀλείφατι &c.	Odyss. ω.
εὐώδης	Οἶνος μὲν πρώτιστα θοὴν ἀνὰ νῆα μέλαιναν Ἡδύποτος κελάρυζ' εὐώδης.	Idem hymn.
βίβλινος	Εἴη πετραίη τε σκιὴ, καὶ βίβλινος οἶνος.	Hesiod. lib. 2
μελιχρός	Μελιχρὸν οἶνον ἡδὺν Ἐγκεράσας φόρησον.	Anacr.
λαθικηδής	Οἶνον γὰρ Σεμέλας καὶ Διὸς υἱὸς λαθικηδέα.	Alcæus.
Φλιάσιος	Φλιάσιος οἶνος, ἐκ Κορίνθου στρώματα.	Antiph.
Θάσιος	Οἶνός τε Θάσιος, καὶ μύρον, καὶ στέμματα.	Idem.
ἀνθοσμίας	Πλήρεις κύλικας οἴνου μέλανος ἀνθοσμίου.	Pherec.
λυσήνωρ	Ὕβρις ἐλαφρίζουσα μέθῃ λυσήνορος οἴνου.	Tryphiod.
ἀλγηρός	Καί τινες ἀλγηρῷ κραδίην βεβοληότες οἴνῳ.	Idem.
ἀθέσφατος	Ἆσέ με δαίμονος αἶσα κακὴ, καὶ ἀθέσφατος οἶνος.	Hom. Od. κ.
Πτελεατικός	Τὸν Πτελεατικὸν οἶνον ἀπὸ κρητῆρος ἀφύξω.	Theoc. εἰδ. ζ.
εὐρραθάμιγξ	Οὐ γὰρ εὐρραθάμιγγος ἔχει χύσιν ἡδέος οἴνου.	Nonnus.
εὔχροος	Πᾶς μὲν ἀνὴρ προπίσων εὔχροον οἶνον ἀφύσσων.	Idem.
πολυγηθής	Καὶ θνητῶν κραδίῃσι πόροι πολυγηθέα οἶνον.	Apolinar.
κακῶν ἀρχηγὸς, μέθης πατήρ	Οἶνε κακῶν ἀρχηγὲ, μέθης πάτερ, ἔρρ' ἀπ' ἐμοῖο.	Cyr. Theod.
γλυκερός	Πηγάς τε γλυκεροῦ οἴνου, λευκοῦ τε γάλακτος.	Sibyll.
ἀργής	Χραισμήσαις ὄφιεσσι, πιὼν ἀργῆτι σὺν οἴνῳ.	Nicand. Th.
παλαισταγής	Ἐν δὲ δύω κυάθεια παλαισταγέος οἴνοιο.	Ibid.
νήδυμος	Οἴνου νηδυμίοιο, τῷ ἑνδεκάτῳ λυκάβαντι.	Opp. κυνηγ. δ.
χάρμα βροτοῖς	Τεύχω δ' οἶνον ἐγὼ μελιηδέα, χάρμα βροτοῖσι.	Epigr. lib. 1.
πρωτόχυτος	Ἐμπλήσας οἴνου πρωτοχύτοιο κάδοις.	Epigr. lib. 6.
ἀμπέλου παῖς	Ἀργυρέαισι δὲ νωμάτω φιάλαισι βιατὰν ἀμπέλου παῖδα.	Pind. Nem.

εὔζωρος	Τὸν οἶνον εὔζωρον φιλοῦσ' ὥσπερ πρὸ τοῦ.	Aristophan. Cōcionant.
	Nonnus Dionys. μελιρραθάμιγξ, εὔοδμος, ἀκεσσίπονος, μελισταγὴς, νεηγενὴς, ἀλωόφυτος, θελξίφρων, μελίπνοος, φιλάκρητος, ἀμερσίνοος, ἀμέτρητος, μελίρρυτος, γαμοστόλος ἐρώτων, τελεσσίγαμος, νοοσφαλὴς, ἀπένθητος, ἀλεξίκακος, λυσιμέριμνος, παλαιγενὴς, κρόνιος, ἔγχος, ἀφάρμακτος, κλεψίνοος, περισσόνοος, πυρίβλητος, κυματόεις, μεθυσφαλὴς, εὔϊος, ἀλεξητὴρ, θυώδης, ἐγερσίνοος, βροτέης ἄμπαυμα μερίμνης, νυμφοκόμος.	
	ὄϊς *ouis, aries.*	
ἀργεννή	Ὅστ' οἰῶν μέγα πῶϋ διέρχεται ἀργεννάων.	Hom. Il. γ.
εἰροπόκος	Ὃν ῥά τε ποιμὴν ἀγρῷ ἔπ' εἰροπόκοις ὀΐεσσι.	Id. Iliad. ε.
μέλαινα	Τῶν πάντων οἱ ἕκαστος ὄϊν δώσουσι μέλαιναν.	Iliad. κ.
λάσιος	Τοῖσι δ' ὄϊς λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο.	Iliad. ω.
ἄργυφος	Ἦ, καὶ ἀναΐξας ὄϊν ἄργυφον ὠκὺς Ἀχιλλεύς.	Eod.
εὐτρεφὴς, δασ.	Ἄρσενες ὄϊες ἦσαν ἐϋτρεφέες δασύμαλλοι.	Odyss. ι.
ἀγάλακτος, ἄκυθος, ὕπαρνος	-- οὐδ' ἀγάλακτοι Ὄϊες, οὐδ' ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὕπαρνοι.	Callimach.
ἄγραυλος	Ἠὲ καὶ ἡμιόνους, ἢ ἀγραύλων γένος οἰῶν.	Dionys.
τριχόμαλλος	Πλοῦτος Ἀριστείδῃ δάμαλις μία καὶ τριχόμαλλος Ἦν ὄϊς.	Epigr. lib. 1.
εὔκραιρος	Αὐτὰρ εὐκραίρους ὄϊας περὶ βληχάδας ἀμνῶ.	Opp. κυνηγ. α.
εὔμαλλος	Αἶγας κεὐμάλλους ἐμβατέοντες ὄϊς.	Epigr. lib. 3.
	οἰστὸς *iaculum, sagitta.*	
πικρός	Αἶψα δ' ἐπὶ νευρῇ κατεκόσμει πικρὸν ὀϊστόν.	Hom. Il. δ.
ὀξυβελής	Λίγξε βιός, νευρὴ δὲ μέγ' ἴαχεν, ἆλτο δ' ὀϊστὸς Ὀξυβελής.	Eod.
πτερόεις	Πάνδαρε ποῦ τοι τόξον, ἰδὲ πτερόεντες ὀϊστοί.	Iliad. ε.
τριγλώχιν	Δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι.	Eod.
τανυγλώχιν	Ὀκτὼ δὴ προέηκα τανυγλώχινας ὀϊστούς.	Iliad. θ.
ὠκύς	Αὐτὰρ ἐπειδὴ τόν γε δαμάσσεται ὠκὺς ὀϊστός.	Iliad. λ.
χαλκήρης	Μηριόνης δ' ἀπιόντος ἵει χαλκήρε' ὀϊστόν.	Iliad. ν.

ταχύς	Εὐ τροπαλιζομένην ταχέες ἔκπιπτον ὀϊστοί.	Iliad. φ.
στονόεις	-- πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί.	Odyss. φ.
πυριπνείων	Ἀλλ' οὐδ' ὣς ἀλέεινε πυριπνείοντας ὀϊστούς.	Musæus.
ῥιγηλός, θανάτου δοτήρ	-- ὀϊστοὶ Ῥιγηλοί, θανάτοιο λαθιφθόγγοιο δοτῆρες.	Hesiod. Scu.
θοός	Μήπω παπταίνων τε θοοῖς διέπεμπεν ὀϊστοῖς.	Tryphiod.
ὠκύμορος	Βαλλόντων λιθάκεσσι καὶ ὠκυμόροισιν ὀϊστοῖς.	Idem.
αἰνός	Τίς νύ μοι αἰνὸν ὀϊστὸν ἐπὶ προέηκε κρυφηδόν;	Calab. lib. 3.
ἀμείλικτος	Ἀργαλέον μέγα κῆτος ἀμειλίκτοισιν ὀϊστοῖς.	Idem libr. 6.
εὐποίητος	Καὶ δελφὶς δοιοῖσι, καὶ εὐποίητος ὀϊστός.	Aratus.
ἀμαιμάκετος	Οὕνεκά τοι Κύκλωπας ἀμαιμακέτοισιν ὀϊστοῖς.	Orph. Arg.
φερεπτέρυξ	Χαλκείων, οὐδ' ὅσσα φερεπτερύγων ὑπ' ὀϊστῶν.	Opp. ἁλ. β.
εὔπτερος, ὠκύς	Ἁρπάλαγον κάμακάς τε καὶ εὔπτερον ὠκὺν ὀϊ-	Id. κυνηγ. α.
πυρόεις, πευκεδανός, μαλερός, φθισίφρων, οἰστρήεις &c.	Τοίοις ἄγρει δαίμον ἔχεις πυρόεντας ὀϊστούς, (στόν. Πευκεδανούς, μαλερούς, φθισίφρονας, οἰστρήεντας, Τηκεδόνα πνείοντας, ἀναλθέας &c.	Id. κυνηγ. β.

Nonn. Dionys. πυριγλώχιν, ἐχιδνήεις, πυριφλεγής, φρενοθελγής, ἱμερόεις, χαλαζήεις, ὀξυτενής, ἠνεμόεις, ἀμπελόεις, ἀνάλθητος, ἀπλανής.

οἶστρος *œstrus, asilus, stimulus.*

αἰόλος	Τὰς μὲν τ' αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν.	Hom. Od. χ.
ἀερόφοιτος, δ.	Νῦν δ' ἐπεὶ ἀερόφοιτος ἀπέπτατο δήϊος οἶστρος.	Orph. Arg.
θρασύς	Μὴ θρασὺς οἶστρος ἄπιστος ἐς ὑμετέραν φρένα βαίνῃ.	Nonnus.
ἀτάρμυκτος	Ὀξὺ μέλος βοόωσιν ἀταρμύκτῳ φρένας οἴστρῳ.	Nicād. Alex.
γλυκερός	Αἰὲν ἐγὼ ποτὶ σὲ γλυκερῷ βεβολημένος οἴστρῳ.	Politian.
ἀδηφάγος	Ἔξοχα γὰρ περὶ πάντας ἀδηφάγος οἶστρος ἐλαύνει.	Opp. ἁλ. β.
ἄγριος	Οὔτε φυγεῖν πτερύγεσσιν ἐνήμενον ἄγριον οἶστρον.	Id. ἁλ. β.
θηλυμανής	Οἴστρῳ θηλυμανεῖ βεβινημένοι.	Id. ἁλ. δ.
πανάγριος, δυ.	Υἱάσι νηπιάχοισι πανάγριος οἶστρος ἀναιδής.	Id. κυνηγ. γ.
πανικός	Πανικὸν ἐκπέμπων οἶστρον ἐπὶ τέρματα γαίης.	Orph. hym.

	Nonn. Dionys. τεκνοσσόος, πυριγλώχιν, μενεδήϊος, πολύπλανος, θανατηφόρος, λυσσήεις, μιαιφόνος, πολύπηχυς, ἱμερόεις, φιλόπτολις οἶστρος ἐρώτων, βαρύμοχθος, ἀκόρητος, ἀθέμιστος, ἀκόρητος ἀμοιβαίης Ἀφροδίτης.	
	οἶτος *exitium, clades, mœror.*	
ἀεικής	Καί κεν ἀνάπνευσις πολέμου καὶ ἀεικέος οἴτου.	Calab. lib. 4.
λευγαλέος	Ἔκπλεον πυρὸς ἄστυ, καὶ αἵματος, ἠδὲ καὶ οἴτου Λευγαλέου.	Id. lib. 12.
βαρύς	Σφῇ ἄτῃ βαρὺν οἶτον ἀναπλώσαντες ἔβημεν.	Orph.
ἄθλιος	Ἀλλ' ὁ μὲν αὖτι σέσωσο, ὁ δ' ἄθλιον οἶτον ἐπέσπεν.	Cyr. Theod.
φύξιος	-- αὐτίκα δ' ἔγνω Κίρκη φύξιον οἶτον.	Apoll. lib. 4.
στονόεις	Πῆξε θυγατρὸς ἑῆς, στονόεντι δὲ κάρφετο οἴτῳ.	Eod.
πολύμοχθος	Δισμενέων πολύμοχθον ἐμῶν ἴδον οἶτον ὀπωπῇ.	Apolinar.
δυσχείμερος	Ἢ νέκυες κεῖνται δυσχείμερον οἶτον ἑλόντες.	Opp. κυνηγ. β.
	οἰωνός *auis, auspicium, augurium, omen.*	
ὠμηστής	-- ἀλλ' οἰωνοὶ Ὠμησταὶ ἐρύουσι περὶ πτερά.	Hom. Il. λ.
τανυπτέρυξ	Τωΐν δ' οἰωνοῖσι τανυπτερύγεσσι κελεύεις.	Id. Iliad. μ.
ταχύς	Τοῦ δ' ἤδη μέλλουσι κύνες ταχέες τ' οἰωνοί.	Odyss. ξ.
τανυσίπτερος	Οἰωνὸν δ' ἐνόει τανυσίπτερον, αὐτίκα δ' ἔγνω.	Id. hymn.
μαψίλογος	Ὃς δέ κε μαψιλόγοισι πιθήσας οἰωνοῖσι.	Ibid.
διϊπετής	Οἰωνούς τε διϊπετέας, καὶ θηρία πάντα.	Ibid.
πετεηνός	Ἰχθύσι μὲν καὶ θηρσί, καὶ οἰωνοῖς πετεηνοῖς.	Hesiod. li. 1.
ἀερσιπέτης	Θήσομεν οἰωνοῖσιν ἀερσιπέτῃσιν ἐδωδήν.	Calab. lib. 3.
αἰψηρός	Εἴκελος αἰψηροῖσι ποτήσεαι οἰωνοῖσι.	Theoc. εἰδ. κ.
αἰθοκόμος, πτερ.	Πᾶσίν τ' αἰθοκόμοις πτεροείμοσιν οἰωνοῖσι.	Opp. κυνηγ. β.
κοῦφος	Τὴν ἔμπης κούφοις μεταείθμιον οἰωνοῖσι.	Id. κυνηγ. γ.
ὠκυδίδακτος	Ἔδραμε δ' ὠκυδίδακτος ἅπας οἰωνὸς ἐείζων.	Epigr. lib. 1.
ὠμοβόρος	Θηρσὶ καὶ οἰωνοῖς λείψομεν ὠμοβόροις.	Epigr. lib. 2.

γαμψώνυξ	Γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς.	Æſch. Prom.
ἀερονηχής	Εἶτ' ἀετείας διεράς γαμψοῖς οἰωνοῖς ἀερονηχεῖς.	Ariſtophan. Nebul.
αἰθεροδρόμος, τανυόδειρος	Εἴδωλα πετεινῶν αἰθεροδρόμων οἰωνῶν τανυοδείρων.	Id. Auib.

ὄλβος opes, fauſtitas.

ἄσπετος	Ῥεῖα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον.	Heſiod. li. 1.
ἄστατος	Κοινὰ πάθη, πάντων ὁ βίος τροχὸς, ἄστατος ὄλβος.	Phocyl.
ἀπήμων	Ἔμπης δ' ὄλβον ἔχουσαν ἀπήμονα.	Theogn.
εὐρύς	Οὔτε περὶ πτόλιος μαχόμην, οὔτ' εὐρέος ὄλβου.	Calab. lib. 5.
κυδήεις, ἀγλαός	Ὁππόσα κυδήεντα καὶ ἀγλαὸν ὄλβον ὀφέλλει.	Eod.
ἄφθιτος	-- Ζεὺς δὲ Κρονίδας Ζεὺς ἄφθιτον ὄλβον.	Theoc. εἰδ. ιη.
πολυώνυμος	Ἦ ῥά νυ Αὐγεία ὁρόω πολυώνυμον ὄλβον.	Camerar.
ἀθέσφατος	Δέδμηνθ' οἱ βασιλῆϊ πολὺν καὶ ἀθέσφατον ὄλβον.	Theoc. εἰδ. λβ
ἀκήρατος	Ἄλλον γάρ σφιν ὄλβον ἀκήρατον αἶα κομίζει.	Dionyſ.
πολύχρυσος	Οὐκ ὄλβον πολύχρυσον οἷα Γύγης.	Epigr. lib. 1.
ἄπιστος	Πλοῦτον, εὔκλειαν, θώκους, κῦδος, ὄλβον ἄπιστον.	Nazianz.
ἀναφαίρετος	Τοῖσιν ἀεὶ σφέτερος μενέει ἀναφαίρετος ὄλβος.	Dolſc.
φερέσβιος	Πολλοὶ φασὶ, ὥς ἄμμι φερέσβιον ὄλβον ὀρέξει.	Apolinar.
ἀτέρμαντος, ἀγ.	Πάντοτ' ἀτέρμαντον καὶ ἀγήραον ὄλβον ὀπάζεις.	Idem.
φυσίζοος	Ἕρκεσιν εὐπύργοισι πέλει φυσίζοος ὄλβος.	Idem.
τελεσφόρος	-- σκήπτρῳ δὲ τελεσφόρον ὄλβον ἄγοιτε.	Opp. κυν. β.
ὑψηλός	Ὅταν Θεοῦ μοῖρα πέμπῃ ἀνεκὰς ὄλβον ὑψηλόν.	Pind. Olym.
θεόρτος	Τόνδ' ἔχει τὸν εὔφρονα πότμον θεόρτῳ σὺν ὄλβῳ.	Ibid.
εὐανθής	Ποιμαίνοντα τὸν κάπισον εὐανθεῖ σὺν ὄλβῳ.	Id. Iſthm.
εὐδαίμων	Εκράτησας τοῦ πάντ' εὐδαίμονος ὄλβου.	Soph. O. T.
πολύευκτος	Ὁ πᾶσι φίλος καὶ πολύευκτος ὄλβος.	Æſch. Eum.
ἀστυφέλικτος	Ὄλβον δ' ἀστυφέλικτον ἀπ' εὐσεβίης ἐρατεινῆς.	Procl. Lyc.
ἀδάκρυτος	-- ἀδακρύτοιό τε πέμποις Ὄλβου πρὸς μέγα δῶμα.	Orph. λιθ.

Nonn. Dionys. εὐψήφις, ῥυηφενής.

ὄλεθρος *pernicies, clades.*

λυγρός	Νήπιος, οὐδέ τι οἱ τόγ' ἐπήρκεσε λυγρὸν ὄλεθρον.	Hom. Boœt.
αἰπύς	Πρὸς Τρώων, τῶν μή τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον.	Id. Iliad. ζ.
ἀδευκής	Ἠέ τις ὤλετ' ὀλέθρῳ ἀδευκέϊ ἧς ἐπὶ νηός.	Odyss. δ.
ὀψιτέλεστος	Ὀψιτέλεστον ὄλεθρον ἐπὶ μαντεύσατο πάτρῃ.	Tryphiod.
ἀλεγεινός	Ὄφρ' ἀλεγεινὸν ὄλεθρον ἀναπλήσωσι δαμέντες.	Calab. lib. 1.
αἰνός	Κούρης αἰνὸν ὄλεθρον. ὁ δ' ὡς κίεν ἶσος ἀέλλῃ.	Eod.
μέγας	Αἵματος ἐκχυμένοιο, μέγας δ' ἐπέτρεπ' ὄλεθρος.	Idem lib. 2.
ἀνηλής	Ὅς ῥά ποτ' ἠϊθέοισιν ἀνηλέα τεύχετ' ὄλεθρον.	Idem lib. 3.
βλοσυρός	Ἐσκέδασεν μανίην, βλοσυρὸν πνείουσαν ὄλεθρον.	Idem lib. 5.
στονόεις	Εἰ μή οἱ στονόεντα θοῶς ἰήσατ' ὄλεθρον.	Idem lib. 8.
ὀλοός	Ἄμφω ἀπὸ στομάτων ὀλοὸν πνείουσι ὄλεθρον.	Idem lib. 11.
ἀπερεϊδής	-- ἐνὶ σπλάγχνοισιν ὄλεθρον Εἴρυσε ἀπερεϊδῆ.	Nazianz.
δόλιος	Οὐ χάριν Ἑβραῖοι δολίῳ μάστευον ὀλέθρῳ.	Nonnus.
πικρός	Οὔποτε πικρὸν ὄλεθρον ἐσόψεται, εἰσόκε μίμνῃ.	Idem.
ἄτρεπτος	Ἔσθενον ἀτρέπτοιο φυγεῖν ὠδῖνας ὀλέθρου.	Idem.
δαιμόνιος, φθ.	Εἰ μὴ δαιμονίου φθισήνορος υἷος ὀλέθρου.	Idem.
τετράπορος	Ὑμεῖς τετραπόρῳ σφηκώσατε τοῦτον ὀλέθρῳ.	Idem.
πονοφόρος	Πονοφόρον Σαμίοις ὀλοὸν δείξουσιν ὄλεθρον.	Sibyll.
οἰκτρός	Εἴθ' οὕτως πολέμοιο πεπαύσεται οἰκτρὸς ὄλεθρος.	Ibid.
φοινός	Φύλλα κατέβρυξε, καὶ ἀλεύατο φοινὸν ὄλεθρον.	Nicand. Th.
ἀμήχανος	-- ὑπὲρ κεφαλῆς γὰρ ἀμήχανος ἦεν ὄλεθρος.	Apoll. lib. 4.
ἀδευκής	Αὐτὰρ ἀπεχθαίροντας ἀδευκέϊ πέφνες ὀλέθρῳ.	Apolinar.
πολυωπός	-- ἠεράσαντο λίνου πολυωπὸν ὄλεθρον.	Opp. ἁλ. γ.
ἀελπής	Εἰς λίνον αὐτοκέλευστον ἀελπέος ἦλθεν ὀλέθρου.	Christod.
δυστερπής, φιλ.	Τοίῳ δυστερπεῖ φιλοτησίῳ ὤλλυτ' ὀλέθρῳ.	Opp. κυν. α.

Nonn. Dionys. ἀγχίνοος, ἰσελκής.

ὁλκάς *nauis oneraria.*

ἱστοπέδη	Ἱστοπέδην δ' ἔσπευδον ἐς ὁλκάδα· τοῖσι δ' Ἀθήνη.	Tryphiod.

εὔστολος	Ὅσσον ἐς ἔνδιόν κεν ἐΰστολος ὁλκὰς ἀνύσσῃ.	Apoll. lib. 1.
ὠκύαλος	Οὐλαμὸς ὠκυάλοις ὁλκάσι μαρνάμενος.	Musurus.
γλαφυρή	Τόσσον ἔρως γλαφυρῇσιν ἐφ' ὁλκάσιν ἑσμὸν ἀγείρει.	Opp. ἁλ. α.

Nonn. Dionys. ἰθύπορος, εὐπήληξ.

ὁλκός *sulcus, ductus, tractus.*

ἀγάρροος	Ἑξείης δ' ἐπὶ Σύρτις· ἀγάρροον ὁλκὸν ἑλίσσει.	Dionys.
ἄσπετος	Ἀψύρτου νήσων ἀναφαίνεται ἄσπετος ὁλκός.	Idem.

Nonnus Dionys. σελασφόρος, πολύπλοκος, ἐχιδναῖος, τροχόεις, ἐννεάκυκλος, ἀφειδής, πυρίτροχος, ἀκαμπής, ἑκηβόλος, ἰοβόλος, ἑρπυστήρ, [illegible], κυματόεις ὕδατος, παλίλλυτος.

ὀλολυγή *ululatus, eiulatus.*

διαπρύσιος	Φόρμιγγές τε χοροί τε, διαπρύσιοί τ' ὀλολυγαί.	Hom. hym.
ἐείμυκος	Ἀλλ' ἔμπας ἐείμυκον ἀπὸ στομάτων ὀλολυγάν.	Epigr. lib. 6.

Ὄλυμπος (poet. Οὔλυμπος) *Olympus: interdum pro monte, interdum pro cælo.*

μακρός	Ὦχ' ἑκατόγχειρον καλέσας ἐς μακρὸν Ὄλυμπον.	Hom. Il. α.
ἀγάννιφος	Εἶμ' αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον.	Eod.
πολυδειράς	Ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.	Eod.
μέγας	Κρατὸς ἀπ' ἀθανάτοιο, μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.	Eod.
αἰγλήεις	Εἰς ἅλα δῦτε βαθεῖαν ἀπ' αἰγλήεντος Ὀλύμπου.	Eod.
αἰπύς	Αἶψα δ' ἔπειθ' ἵκοντο θεῶν ἕδος αἰπὺν Ὄλυμπον.	Iliad. ε.
πολύπτυχος	Πρώτῃσι δὲ πύλῃσι πολυπτύχου Οὐλύμποιο.	Iliad. θ.
ἄκρος	Ἀλλ' ὅγ' ἄρ' ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσι.	Iliad. ν.
θυώδης	Αἶψα δ' ἵκοντο κάρηνα θυώδεος Οὐλύμποιο.	Idem hymn.

ἁγνός	Χρυσείῃ φόρμιγγι θεῶν ἕδος, ἁγνὸς ὄλυμπος.	Hesiod. Scut
ἀκάματος	Οἵη δ' ἀκαματοιο μετέρχεται ἀπ' οὐλύμπου.	Calab. lib. 1.
εὐρύς	Οἵ ποτ' ἐπ' εὐρὺν Ὄλυμπον ἔφαν θέμεν οὔρεα μακρά.	Eod.
βαθυσκόπελος	Οὐλύμπου δ' βαθυσκοπέλου πρηῶνας ἐρυμνούς.	Orph. Arg.
ὑψόροφος	Πέμψον ἀφ' ὑψορόφου σὺν χεὶρ' ἐπαρωγὸν ὀλύμπου.	Dolsc.
ἀιομβρήεις	Πολλάκι δ' ἐν βρονταῖσιν ἀιομβρήεντος ὀλύμπου	Nicand. Ale.
ἱερός	Εἰ ποῖος Διόνυσος ἐς ἱερὸν ἦλθεν ὄλυμπον.	Epigr. lib. 1.
ἀτειρής	Μαψιδίως ἀφίκηται ἀτειρέος ἔνδον ὀλύμπου.	Calab. lib. 2.
ζάθεος	Μητέρ' ἐμὴν πεῦσαι Θέτιν ζαθέῳ ἐν ὀλύμπῳ.	Eod.
ἠερόεις	Ἀλλ' οὐ μὰν οὐδ' αὐτὸς ἀπ' ἠερόεντος ὀλύμπου.	Idem lib. 6.
εὐώδης	Κάλλιπεν οὐλύμπου εὐώδεος αἰπὰ μέλαθρα.	Idem lib. 7.

Nonn. Dionys. ἄρρηκτος, νιφόεις.

ὄμβρος imber.

ἀθέσφατος	Αἵ τ' ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον ὄμβρον.	Hom. Iliad. γ.
ὀπωρινός	Μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον.	Hesiod. li. 2.
βουληφόρος	Σαρπηδὸν Λυκίων βουληφόρε, πῆ τοι ἀνάγκη.	Eod.
χαλκοκορυστής	Ἡ δ' ἔτεκ' ἀντίθεον Σαρπηδόνα, χαλκοκορυστήν.	Hom. Il. ζ.
δῖος	Τοὺς ἄλλους, μετὰ δ' υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.	Iliad. ο.
Λύκιος	Νέστορα καὶ Λύκιον Σαρπηδόν' ἀνθρώπων φάτις &c.	Pind. Pyth.
	Σατὰν Satanas.	
πικρός	Τοῖς νῦν πάντα θύρετρα πικρὸς Σατὰν ἐξεπέτασσε. (λας.	Nazianz.
κακόμητις	Τίπτε Σατὰν κακόμητι τὸν ἄθλιον εἰς πυρὰ βά-	Cyr. Theod.
κακοεργός	Τίπτε Σατὰν κακοεργὲ λυγρὸν περὶ σῖνος ὀπάζεις.	Idem.
βροτολοιγός, ἀπηνής	Πρῶτος ὑπόδρα ἰδὼν Σατανᾶς βροτολοιγός, ἀπηνής.	Dolsc.
	Σάτυρος Satyrus: Σάτυροι Satyri.	
νυμφοχαρής	Ὡς πρὶν ἀπαντήσεις νυμφοχαρὲς Σάτυρε.	Epigr. lib. 1.

αἰγοπόδης	Σύντροφος εὐάσαις αἰγοπόδης Σάτυρος.	Epigr. lib. 1.
σκιρτοπόδης	Γήγματα καὶ κῶμοι σκιρτοπόδη Σάτυρε;	Epigr. lib. 1.
δείλαιος	Οὐχ ὅδε δειλαίου Σατύρου τάφος.	Epigr. lib. 3.
φιλοκέρτομος	Πάντες μὲν Σάτυροι φιλοκέρτομοι. εἰπὲ δὲ καὶ σύ.	Epigr. lib. 4.
γλευκοπότης	Γλευκοπόταις Σατύροισι, καὶ ἀμπελοφύτορι Βάκχῳ.	Epigr. lib. 6.
θηροτύπος	Δεῦρ' ἐπὶ παίθεον τελετὴν Σατύροις ἅμα πᾶσιν Θηροτύποις &c.	Orph. hym.

Nonn. Dionys. βουκέραοι, λάσιοι, πουλύγαμοι, κερόεντες, θρασυκάρδιοι, ταυρώπιδες, ἐρωμανέες, φυλακτῆρες, ἀπόλεμοι, ἀρειμανέες, ἀσίδηροι, δίδυμοι, φιλόμοχθοι, ἀγροφυεῖς, ὀρεσσίνομοι, λυσσῶοι, μυστιπόλοι, φρίσσοντες, ἀελλόποδες, φιλοπαίγμονες, ποθόβλητοι, γυναιμανέες, δίμορφοι, δασύστερνοι, φιλοκέρτομοι, σκαίροντες, κυβιστητῆρες, ταυροφυεῖς, μενέχαρμοι.

Σάῤῥα *Sara, Abrahæ uxor.*

ὀψιτόκος	Σάῤῥας ὀψιτόκοιο γόνον, ῥίζαν τε γενέθλης.	Nazianz.

Σειληνός *Silenus* : Σειληνοί *Sileni* : infra Σιληνός.

Nonn. Dionys. δασύκνημοι, βαρύγουνος, νωθρὸς ὁδίτης, κερόεις, λαχνήεις, ἡδυπότης, οἰνοδόκος, λάσιος, ζάχυτος, κομόων βοοκραίροισι μετώποις, ἀχόρευτος, σταφυλοκόμος, δασύθριξ, ἐχέφρονες, ἀπευχεῖς.

σειρά *catena.*

χρυσείη	Σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες.	Hom. Il. θ.
εὔπλεκτος	Σειραῖς τ' εὐπλέκτοις, περὶ δ' ἄρ οὔρηες κίον αὐτῶν.	Id. Iliad. ψ.
πολυχαδής	Μηδὲ κόμης πέρι, ἀλλὰ πολυχαδέας πλέκε σειράς.	Naumach.
δολιχή	Ἢ ὡς ἀπ' οὐρανόθεν δολιχὴν σειρὴν προπετάσσας.	Cyr. Theod.

Nonn. Dionys. δρακοντείη, ἑλικώδης, πολύπλεκτος, εὔπλεκτος, χαλκοβαρής.

Σειρῆνες Sirenes.

θεσπέσιαι	Σειρήνων μὲν πρῶτον ἀνώγει θεσπεσιάων.	Hom.Od. μ.
ἀδιναί	Ηδ' ὡς Σειρήνων ἀδινάων φθόγγον ἄκουσεν.	Hom.Od. ψ.
λίγειαι, Ἀχελ.	-- ἔνθα λίγειαι Σειρῆνες σίνοντ' Ἀχελωΐδες.	Apoll. lib. 4.
ἀρπυιόγ. ἀηδ.	Ἁρπυιογρύνων κλώμακάς τ' ἀηδόνων.	Lycoph.
ἀηδ. στεῖραι, κ.	Τίς οὐκ ἀηδὼν στεῖρα κενταυροκτόνος.	Idem.
πτεροφόρος	Πτεροφόροι νεανίδες παρθένοι, χθονὸς κόραι Σειρῆνες.	Eur. Helen.
	Nonn. Dionyſ. ὑμνοπόλοι	

Σείριος Sirius, ſtella caniculæ.

ἀζαλέος	Σειρίου ἀζαλέοιο κελαινὴ πύθεται αἶα.	Heſiod. Scut.
ἀστερόεις	Οὐρανὲ καὶ σὺ φέρεις ἀστερόεντα κύνα.	Epigr. lib. 1.
	Nonn. Dionyſ. αἰθαλόεις, ἀμπελόεις.	

σέλας iubar, fulgor.

δαιόμενον	- δαιόμενον δ' ἧκε σέλας.	Hom. Iliad. θ
μετήορον	Οἱ δὲ σέλας πυρσοῖο μετήορον ἀθρήσαντες.	Tryphiod.
λιπαρόν	-- οὐχ ὅσσον λιπαρὸν σέλας, οὐ ῥοδόμαλον.	Theoc. εἰδ. κζ.
παμφαές	Καὶ παμφαὲς ἀελίου σέλας.	Lucianus.
καθαρόν	Δερκόμενοι τριάδος καθαρὸν σέλας, εἰς ἓν ἰούσης.	Nazianz.
καλλιφεγγές	Ὦ καλλιφεγγὲς ἡλίου σέλας τόδε.	Idem.
δεινόν	-- ἐκ δὲ πυρὸς δεινὸν σέλας ἀμπνείεσκεν.	Apoll. lib. 3.
φλογόεν	-- φλογόεν τε σέλας πέμπουσιν ὀπωπῆς Ὀξύτατον.	Opp. ἁλ. β.
λάβρον	-- σέλας δ' ἀμφέδραμε λάβρον Ἀφαίστου.	Pind. Pyth.
γοργωπόν	Ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας.	Æſch. Prom.
χρυσοφεγγές	Τὸ χρυσοφεγγές, ὥς τις ἥλιος, σέλας Παραγγείλασα.	Id. Agam.
δικόρυφον	Δικόρυφον σέλας ὑπὲρ ἄκρων Βακχείων.	Eur. Phœn.
ζωηφόρον	Ἄγον ἅπαντας πρὸς σέλας ζωηφόρον.	Io. Damaſc.
	Nonn. Dionyſ. ζαφλεγές, ἠεροφοιτον, νεοφεγγές, αὐτοέλικτον.	

σελήνη

σελήνη luna.

φαεινή	Ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελή-νην.	Hom. Iliad. θ.
πλήθουσα	Ἠέλιόν τ' ἀκάμαντα, σελήνην τε πλήθουσαν.	Hom. Iliad. σ
δῖα	Ἦ δὲ νέον σκοπιῆς προσεβήσατο δῖα σελήνη.	Hom. h. Me.
εὐπλόκαμος	Ἠῶ τε ῥοδόπηχυν, ἐϋπλόκαμόν τε Σελήνην.	Id. h. Solis.
ἑσπερίη, διχ.	Ἑσπερίη διχόμηνος, ὅτε πλήθει μέγας ὄγμος.	Id. h. Lunæ.
λευκώλενος	Χαῖρε ἄνασσα θεὰ λευκώλενε δῖα Σελήνη.	Ibidem.
λευκοπάρηος	Οἵα τε λευκοπάρηος ἐπαντέλλουσα σελήνη.	Musæus.
λαμπρή	Ἠῶ τ' ἠέλιόν τε μέγαν, λαμπράν τε σελήνην.	Hesiod. Th.
πρωτοφαής	Πρωτοφαὴς ὑπὸ μηνὸς ἀνίσταται ἄσκιον ἀχλύ.	Tryphiod.
χαροπή	Ταῖς ποτ' ἄρ' Ἠελίῳ χαροπὴ δμηθεῖσα Σελήνη	Calab. li. 10.
πότνια	Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα σελάνα.	Theoc. εἰδ. β.
λιπαρόχροος	Χαῖρε σελαναία λιπαρόχροε, χαίρετε δ' ἄλλοι.	Ibidem.
ἡμίτομος	Αὐτὰ κεραίην ἡμιτόμου ἅτε κύκλα σελήνης.	Idem εἰδ. κ.
φερέζωος	Λαμπόμενον καὶ πρόσθε φερεζώοιο σελήνης.	Apolinar.
κεραή	Πάντας ὑπὲρ λάμπων κεραῆς προπάροιθε σελη-	Idem.
ἀρτίτοκος	Ὅσσον ἐπημύει κέρας ἀρτιτόκοιο σελήνης. (νης.	Opp. κυνηγ. δ.
πολυειδής	-- πολυειδὴς ὥς ῥα σελήνη Μίμνει.	Dolsc.
Τιτηνίς	Τὴν δὲ νέον Τιτηνὶς ἀνερχομένη περάτηθεν.	Apoll. lib. 4.
παλίζωος	Κάλλος ἀπημάλδυνε παλίζωος δὲ σελήνη.	Nazianz.
αἰγλήεσσα	Μέλψατε ἠέλιός τε, καὶ αἰγλήεσσα σελήνη.	Apolinar.
εὐῶπις	Ἐν δ' ἑσπέρον ἔφλεξεν, εὐώπιδος σελάνας ἐρατὸν φάος.	Pind. Olym.
νυκτὸς βλέφ.	Νυκτός τ' ἀφεγγὲς βλέφαρον, ἡλίου τε φῶς.	Euri. Phœn.
ἀστερωπός	Καὶ νυκτὸς ἀστερωπὸς σελάνα.	Idem Hipp.
	Κλῦθι θεὰ βασίλεια, φαεσφόρε, δῖα Σελήνη· ταυρόκερως μήνη, νυκτίδρομε, ἠεροφοῖτι· ἐννυχία δᾳδοῦχε κόρη, εὐάστερε μήνη· αὐξομένη καὶ λειπομένη, θῆλύς τε καὶ ἄρσην· αὐγήτειρα, φιλίππε, χρόνου μῆτερ, φερέκαρπε· ἠλεκτρίς, βαρύθυμε, καταυγάστειρα, νυχία· πανδερκής, φιλάγρυπνε, καλοῖς ἄστροισι βρύουσα· ἡσυχίᾳ χαίρουσα, καὶ εὐφροσύν' ὀλβιομοίρῳ· λαμπετίη, χαροδῶτι, τελεσφόρε, νυκτὸς ἄγαλμα	Orphei hymnus εἰς τὴν σελήνην.

ἀστράρχη, τανύπεπλ', ἑλικόδρομε, πάνσοφε κούρη
ἐλθὲ μάκαιρ' εὔφρων, εὐάστερε φέγγεϊ τῷ σῷ.

Nonn. Dionys. ἀκοίμητος, εὐνέτις Ἐνδυμίωνος, Λατμιὰς, ποθόβλητος, παλίννοστος, ταυροφυὴς, ἐλάτειρα βοῶν, κερόεσσα, ἀφώτιστος, τριφυὴς, πλεασίγονος, εὐκέραος, βοῶν ἐλάτειρα, θεόσσυτος, νυκτιχόρευτος, βοῶπις, ἀντίτυπος, λύχνος ἀναγκαίη, ἐοχόεσσα, εὔκυκλος, δροσόεσσα, εὐτρίχαλος, ἐρωμανέουσα ἐπ' Ἐνδυμίωνι, ἀμερσίνοος, πλήθουσα, μινύθουσα.

σελὶς pagina.

ἱερά	Δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσιν.	Epigr. lib. 1.
ἀέναος	Πάσας ἀενάων ἐργάτιδας σελίδων.	Ibidem.
γηραλέη	Λήθη γηραλέων ἁρπάσεται σελίδων.	Ibidem.
θεόπνευστος	Ὅσα θεοπνεύστοις ταῖς δ' ἀνέθου σελίσι.	M. Musurus.
γλυκερή	Ἥ τε Σιμωνίδεω γλυκερὴ σελὶς, ἡδύ τε πρᾶθοις.	Epigr. lib. 1.
βιβλιακή	Ἀλλ' ἐν βιβλιακῶν μυελάσι σελίδων.	Epigr. lib. 3.

Σεμέλη Semele.

ἐρικύδής	Ἀμφὶ Διώνυσον Σεμέλης ἐρικυδέος υἱόν.	Hom. h. Bac.
εὐῶπις	Χαῖρε τέκος Σεμέλης εὐώπιδος.	Ibidem.
Καδμείη	Καδμείη δ' ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱόν	Hesiod. Th.
Θυώνη	Οὐ Διὶ ποῖον ἔτικτεν ἐπήρατον υἷα Θυώνη.	Coluth.
εὐειδής	Χαίροι δ' εὐειδὴς Σεμέλα, καὶ ἀδελφεαὶ αὐτῆς.	Theoc. εἰδ. λϛ
τανυέθειρα	Ἀποθανοῖσα βρόμῳ κεραυνοῦ τανυέθειρα Σε-	Pind. Olym.
λευκώλενος	Ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατὴρ (μέλα.	Idem Pyth.
	Ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.	
ὀλυμπιάδων ἀ.	Σεμέλα μὲν Ὀλυμπιάδων ἀγυιᾶτις.	Idem Pyth.
	Κικλήσκω κούρην Καδμηΐδα παμβασίλειαν·	Ex hymno
	εὐειδῆ Σεμέλην, ἐρατοπλόκαμον, βαθύκολπον·	Orphei εἰς
	μητέρα θυρσοφόροιο Διωνύσου πολυγηθοῦς,	Σεμέλην.
	ἣ μεγάλας ὠδῖνας ἐλάσατο πυρφόρῳ αὐγῇ·	
	νῦν σε θεὰ λίτομαι κούρη Καδμηῒς ἄνασσα·	
	Πρηΰνοον καλέων αἰεὶ μύσταισιν ὑπάρχειν.	
	ἀθανάτοιο τεκοῦσα Διὸς βουλαῖς Κρονίοιο,	

τιμὰς

	Ἱμὰς τευξαμένη παρὰ αὐτ Περσεφονείης,	
	ἐν θνητοῖσι βροτοῖσιν ἀνὰ τελετηΐδας ὥρας,	
	ὡς ἵκα σοῦ Βάκχου γονίμην ὠδῖνα τελῶσιν,	
	εὔιερόν τε τράπεζαν, ἰδὲ μυστήρια θ' ἁγνά.	
	Nonnus Dionyſ. ῥοδώδης, ὑψαύχην, αἰνόγαμος, βαρύθυμος, θεηγενής, θεόπαις.	

σέλινον apium.

ἐλεόθρεπτον	Λωτὸν ἐρεπτόμενοι, ἐλεόθρεπτόν τε σέλινον.	Hom. Bœot.
εὔοδμον	Ἐμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις.	Theoc. εἰδ. ϛ.
πολύγναμπτον	Κνύζα τ' ἀσφοδέλῳ τε, πολυγνάμπτῳ τε σελίνῳ.	Idem εἰδ. η.
θάλλον	Καὶ θάλλοντα σέλινα, καὶ εἰλιτενὴς ἄγρωστις.	Id. εἰδ. ιϛ.
χλωρόν	Ἢ τὰ χλωρὰ σέλινα, τό τ' εὐθαλὲς ὅλον ἄνηθον.	Id. εἰδ. ιθ.
ἱππεῖον	Ἔνθα καὶ ἱππείου γε ταμὼν σπερμεῖα σελίνου.	Nicand. Th.
ἀείφυλλον	Καὶ σπεράδος νεμεαῖον ἀειφύλλοιο σελίνου.	Idem.
σπεράς	Πολλάκι δ' ἀγλαόεντα κράδην σπεράδος τε σελίνου.	Nicād. Alex.
	Nonnus Dionyſ. πολύγναμπτον.	

σηκός ouile.

φερεγλαγής	Θάλλονται δ' ἄρα πᾶσαι ἰαινόμεναι περὶ σηκούς, Ἐξαπίνης μετὰ τέκνα φερεγλαγέες.	Orph. λίθων.

σῆμα, σημεῖον ſignum, monumentum.

ἐναίσιμον	Ἀστράπτων ἐπιδέξι', ἐναίσιμα σήματα φαίνων.	Hom. Il. β.
παραίσιον	Ἀλλὰ Ζεὺς ἔτρεψε, παραίσια σήματα φαίνων.	Id. Iliad. δ.
λυγρόν	Πέμπε δέ μιν Λυκίηνδ', ἔπορεν δ' ὅγε σήματα λυγρά.	Iliad. ζ.
κακόν	Αὐτὰρ ἐπειδὴ σῆμα κακὸν παρεδέξατο γαμβροῦ.	Eod.
ἐνδέξιον	Ζεὺς δέ σφιν Κρονίδης ἐνδέξια σήματα φαίνων.	Iliad. ι.
δέελον	-- δέελον δ' ἐπὶ σῆμα ἔθηκε, Συμμάρψας δόνακας.	Iliad. κ.
ἀριφραδές	Σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές.	Iliad. ψ.

πολύστονον	Ἐκχύμενον περὶ σῆμα πολύστονον, ἄλλο τε δ' αὖτε	Calab. lib. 7.
αἰπύ	-- Ἑλίκας δὲ λίπε ῥόον, αἰπύ τε σῆμα Τῆνο Λυκαονίδαο.	Theoc. εἰδ. α.
ἀγαυόν	-τὸ ἀγαυὸν ἔθηκε Σῆμ' ἔμεναι Διόνυσος.	Aratus.
εὐρύσορον	Εὐρύσορον περὶ σῆμα, τὸ Φαιναρέτης ποτὲ κούρη	Epigr. lib. 3.
γερόν	Καὶ νῦν Ἀβλαβίου γερὸν περὶ σήματι κεῖται.	Eod.
λιπαρόν	Αἰεί τοι λιπαρὸν ἐπὶ σήματι δῖε Σοφόκλεις.	Eod.

σηπία sepia.

τεχνιστή	-- εἶδον δὲ καὶ τεχνιστὰς σηπίας.	Eubulus.
δολόφρων	Τοῖς δὲ μεθ' ἑρπυστῆρσιν ἴσον λάχεν οἶμα δολόφρων Σηπίη.	Opp. ἁλ. α.
δολόμητις	Καὶ μὲν δὴ δολόμητις ἐπίκλοπον εὕρατο θήρην Σηπίη.	Id. ἁλ. β.
κερδαλέη	Ὥς ποτε κερδαλέαι περὶ σηπίαι εἱλίσσονται.	Id. ἁλ. δ.

Σθένελος Sthenelus.

Περσηϊάδης	Ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο.	Hom. Il. τ.
ἴφθιμος	Ἴφθιμος Σθένελος ἀλλ' ἐσσυμένως λάβ' ἄεθλον	Id. Iliad. ψ.
θρασύφρων	Ἵππον τε Σθενέλοιο θρασύφρονος, ἠδὲ καὶ αὐτόν.	Calab. lib. 4
Ἀκτορίδης	Ἔνθεν δὲ Σθενέλου τάφον ἔδρακον Ἀκτορίδαο.	Apoll. lib. 2.

σθένος robur, vires.

ἄληκτον	-- ἐν δὲ σθένος ὦρσεν ἑκάστῳ Καρδίῃ ἄληκτον.	Hom. Il. β.
οὐκ ἀλαπαδνόν	Ἢ σισὶ κάπρεσιν, τῶν δὲ σθένος οὐκ ἀλαπαδνόν.	Id. Iliad. ε.
οὐκ ἐπιεικτόν	Εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅτι σθένος οὐκ ἐπιεικτόν.	Iliad. θ.
ἀδόνητον	Καὶ σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων	Musæus.
ὄβριμον	Εὖτ' ἂν Πληϊάδες σθένος ὄμβριμον Ὠρίωνος.	Hesiod. li. 2.
θρασύ	Ὣς φάτο· τῷ δ' ἐπέθησε θρασὺ σθένος Αἰακίδαο.	Calab. lib. 1.
ὀλοόν	Τοῖς ἦν πως πεπίθοιτ' ὀλοὸν σθένος Αἰακίδαο.	Ibidem.
ἐρατόν	Κούρης εἰσορόων ἐρατὸν σθένος ἐν κονίῃσι.	Ibid.
δεινόν	-- δεινὸν γὰρ ἐπὶ σθένος ὄρνυτ' Ἀχαιῶν.	Id. lib. 2.
βαρύ	Ὦ κύον, ὡς θανάτοιο βαρὺ σθένος ἐξυπάλυξας.	Idem libr. 3.
ἄπρηκτον, ἀμήχανον	-- οὐ γάρ τοι θεῖον σθένος οὐρανιώνων Ἄπρηκτον τελέθει καὶ ἀμήχανον.	Idem lib. 6.

ἄξιον ἥβης	Καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἥβας.	Theoc. εἰδ. α.
ἐπίκουρον	Ὃς θνητοῖς ἐπίκουρον ἔχειν σθένος ἦμας ἅπαντας.	Nazianz.
πικρόν	-- οἷσι δαμάζω	Idem.
	Τῆς συγγενῆς κακίης πικρὸν σθένος.	
κρατησίμαχον	Διδύμων κρατησίμαχον σθένος υἱῶν.	Pind. Pyth.
ἀθλοφόρον	Εἰ δέ τ' ἀποκρύπτεις, δὸς σθένος ἀθλοφόρον.	Nazianz.
ἀμέτρητον	Μὴ κομπήσαθ' ἐπεὶ σθένος ἐστ' ὑμῖν ἀμέτρητον.	Dolic.
ἄτρομον	Οὐ σθένος εὔαδ' ἔοι ἐριαύχενος ἄτρομον ἵππου.	Idem.
ἀστυφέλικτον	Τίς σθένος ἀστυφέλικτον ἐμεῦ βασιλῆος ἀείσει.	Apolinar.
μαλερόν	Γήματος ἀμβλυώων μαλερὸν σθένος.	Opp. ἁλ. α.
ὑπέροπλον	Ἰχθύσιν, οἷς ὑπέροπλον ἔνι σθένος.	Idem ἁλ. γ.
ὑπερφίαλον	-- τοῖον γὰρ ὑπερφίαλον σθένος αὐτῶν.	ibid.
ἀμφήριστον	Καὶ σθένος ἀμφήριστον ἀνέκραγεν αὐτίκ' ὄρεσφιν.	Opp. κυνηγ. β.
ἄγναμπτον	Οὐδ' εἰ κάλλεα γυῖα καὶ ἄγναμπτον σθένος ἀνήρ.	Orph.
ἀδίαντον	Ὃς ἐξέπεμψας παλαισμάτων αὐχένα καὶ σθένος ἀδίαντον.	Pind. Nem.
	Nonnus Dionys. ἀρήϊον.	
	σίαλος *porcus pinguis.*	
ἁπαλοτρεφής	Κνίσσην ἀλδόμενος ἁπαλοτρεφέος σιάλοιο.	Hom. Il. φ.
ἐννέωρος	Ἐκ δ' ἔλασεν σιάλοισιν ἐοικότας ἐννεώροισιν.	Id. Odyss. κ.
ζατρεφής	Αἰεὶ ζατρεφέων σιάλων τὸν ἄριστον ἁπάντων.	Odyss. ξ.
	Σίβυλλα *Sibylla.*	
μαινομένη,	-- γνωστοῖο παρὸς φήσουσι Σίβυλλαν	Sibyll.
ψεύστειρα	Μαινομένην ψεύστειραν.	
μελάγκραιρος	Κλάρου μιμαλλὼν, ἢ μελαγκραίρας κόπις,	Lycophr.
	Νησοῦ θυγατρός.	
	Σίγειον *Sigeum promontorium.*	
ἠνεμόεν	-- πόδας δ' ἐπέθηκε κολώνῃ	Calab. lib. 7.
	Σιγείου ἠνεμόεντος.	
πικρόν	Κἀγὼ πικρὸν Σίγειον οὐ θέλω πλατῇ.	Soph. Phil.

σιγή *silentium*: infra σιωπή.

ἀλγεινή	Ἀλγεινῇ κατέχοντες ἐελμένα δάκρυα σιγῇ.	Tryphiod.
ἀκήρυκτος	Οὐδὲ πατήρ με λέλοιπεν ἀκηρύκτῳ τινὶ σιγῇ.	Nonnus.
ἔμφρων	Μάρτυρα ταῦτα πέλει, καὶ φθέγγεται ἔμφρονι σιγῇ.	Idem.
πευθάς	Ἐνδόμυχος Μαίη μαστίζετο πευθάδι σιγῇ.	Idem.
φωλάς	Ἀπρεϊδὴς ἀβόητος ἐκεύθετο φωλάδι σιγῇ.	Idem.
σοφή	Ἄλλα δὲ θαύματα πολλὰ σοφῇ σφρηγίσσατο σιγῇ.	Idem.
τέθμιος	Σιγὴ τέθμιός ἐστι πανέξοχα ἰχνευτῆρσιν.	Opp. κυνηγ. α.
πινυτόφρων	Ἀλλὰ τ' ἐν σιγῇ πινυτόφρονι.	Epigr. lib. 4.

Nonnus Dionys. ἄμνηστος, ἀσίγητος, νεοπενθής, ἀφώνητος, ποικιλόμυθος, ἐχέφρων, σημάντωρ, τρομερή, νοήμων.

σιγύνη *lancea venatoria*: quæ & σιβύνη.

εὐρυκάρηνος	Αἰχμὴν τριγλώχινα, σιγύνην εὐρυκάρηνον.	Opp. κυνηγ. α.

σίδηρος *ferrum*.

αἴθων	Τὴν μὲν θ' ἁρματοπηγὸς ἀνὴρ αἴθωνι σιδήρῳ.	Hom. Il. δ.
πολύκμητος	Χρυσός τε χαλκός τε, πολύκμητός τε σίδηρος.	Id. Iliad. ζ.
πολιός	Ἠδὲ γυναῖκας ἐϋζώνους, πολιόν τε σίδηρον.	Iliad. ι.
μέλας	Χαλκῷ δ' ἐργάζοντο, μέλας δ' οὐκ ἔσκε σίδηρος.	Hesiod. li. 1.
ἄρης ἀλκτήρ	Θήκατο δ' ἀμφ' ὤμοισιν ἄρης ἀλκτῆρα σίδηρον.	Id. Clyp.
θηκτός	Γυμνὸς ἄτερ θώρηκος, ἄτερ θηκτοῖο σιδήρου.	Coluth.
ἰόεις	Αὐτίκα οἱ κεφαλὴν τεμέω ἰόεντι σιδήρῳ.	Calab. lib. 6
ἀμείλιχος	Κέρσῃ νεῦρα σίδηρος ἀμείλιχος ἐν ποσὶ κύρσας.	Idem lib. 11.
ὀλοός	Πῦρ ὀλοόν τε σίδηρον ἀκηδέες ἀντιόωντο.	Id. lib. 12.
στονόεις	Ὅς κεν ἄνευθε φόνοιο φέρε στονόεντα σίδηρον.	Idem lib. 13.
ἀτειρής	Δάπτων οἷα σίδηρον ἀτειρέα λάθριος ἰός.	Nazianz.
τονόεις	Ἕλκων οἷα Μάγνησσα λίθος τονόεντα σίδηρον.	Idem.
πολυόδους	Γειοτόμου πολυόδοντι πόδες τέμνοιντο σιδήρῳ.	Nonnus.

ἀστράπτων

ἀστράπτων	Καὶ χαλκὸν σελαγεῦντα, καὶ ἀστράπτοντα σίδηρον.	Opp. κυνηγ. α.
σιδηροβόρος	Οἷα σιδηροβόροισι πέλει τέχνασμα σιδήρου.	Id. κυνηγ. β.
πανδαμάτωρ	Θηκτὸς πανδαμάτωρ τε διατμήξειε σίδηρος.	Idem ibid.
διασφακτήρ	Ἔκτανε γὰρ μάτηρ με διασφακτῆρι σιδάρῳ.	Epigr. lib. 3.
αὐλακεργάτης	Λέπαδνα, καὶ σίδηρον αὐλακεργάτην.	Epigr. lib. 4.
ἀφαυρός	Πῶς κεν ἕλω μέγαν ἰχθὺν ἀφαυροτέροισι σιδάροις.	Theoc. εἰδ. κε
πολυγλώχιν	Αονίῳ τμηθεῖσα πολυγλώχινι σιδήρῳ.	Dionys.
μογερός	Ναίουσι μογεροῦ δεδαηκότες ἔργα σιδήρου.	Idem.
ὀξύς	Αμπέλου αὐδηέης ὀξεῖ ἀπέκερσε σιδήρῳ.	Orph.
λόχιος	Αρτιγόνῳ λοχίῳ περιτέμνετε φῶτα σιδήρῳ.	Nonnus.
τμητήρ	Ζωγρήσας ὅλον ἄνδρα, καὶ οὐ τμητῆρι σιδήρῳ.	Idem.
ἀλοιητήρ	Συμμιγέες ναετῆρες ἀλοιητῆρι σιδήρῳ.	Idem.
ἀοσσητήρ	Δεξιὸν οὖας ἔταμνεν ἀοσσητῆρι σιδήρῳ.	Idem.
κρατερός	Γλεάζων τε μένος ῥῆξαι κρατεροῖο σιδήρου.	Dolsc.
αἰχμήεις	Εμμενέως ἐτόρησε καὶ αἰχμήεντα σίδηρον.	Opp. κυνηγ. γ.
εὐσθενής	-- ἐς δὲ πῦρ Ἔθηκε βαλὼν, ὡς σίδηρον εὐσθενῆ.	Epigr. lib. 4.
	Nonn. Dionys. ἐνοσίχθων, ἀμιλλητήρ, πελιδναῖος, καρχαρόδους, ἀγκυλόεις, κυβιστητήρ, πεδοσκαφής, εὔθηκτος, βαρύποτμος, αὐτοφόνος, αἱμαλέος, ὀμφαλόεις, νεόσμηκτος, δασπλής, πατροφόνος, ἐρωτοτόκος, μνηστήρ, ἀμητῆρι δαΐκτος, δρυτόμος, ἀμείλικτος, πολεμιστής: item κούρηϊ σιδήρῳ: vt & lib. 17, δαφοινήεντι κατακτείνω σε σιδήρῳ.	

Σικελία Sicilia.

πολύμηλος	Σκᾶπτον ἐν πολυμάλῳ Σικελίᾳ.	Pind. Olym.
τρίδειρος	Ἄξει τρίδειρον νῆσον εἰς ληκτηρίαν.	Lycophr.
πίειρα	Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς.	Pind. Nem.
καλλίκαρπος	Τῆς καλλικάρπου Σικελίας λευροὺς γύας.	Æsch. Prom.

τειγλώχιν	Τειγλώχινά τε νῆσον ἐπέσχομεν Ἐγκελάδοιο.	Orph. Arg.
	Σικυὼν *Sicyon, op. Pelop.*	
εὐρύχορος	-- ναῖεν δ' ὅγ' ἐν εὐρυχόρῳ Σικυῶνι.	Hom. Il. ψ.
	Σιληνός *Silenus:* supra Σειληνός.	
	Κλῦθί μευ ὦ πολύσεμνε τροφὲ, Βάκχοιο τιθηνέ. σιληνῶν ὄχ' ἄριστε, τετιμένε πᾶσι θεοῖσι καὶ θνητοῖσι βροτοῖσιν, ἐπὶ τελετηρίσιν ὥραις· ἁγνοτερὴς, γεραιὸς, θιάσου νομίου τελετάρχα· εὐαστὴς, φιλάγρυπνε, νεάζων οἷσι σιληνοῖς Ναΐσι καὶ Βάκχαις ἡγούμενε κισσοφόροισιν· εὐάζων φιλόθυρσε, γαληνιόων θιάσοισι.	Ex hymnis Orphei.
	Nonn. Dionys. Σιληνοὶ πολιῇσιν ὑποφείσσοντες ἐθείραις.	
	σίμβλος *alueare.*	
δινηρεφής	Ἡγεμόνεσσιν ἑοῖσι δινηρεφέος σίμβλοιο.	Calab. lib. 6.
πολύτρητος	Οὗτος ὁποῖα μέλισσα πολυτρήτοις ἐπὶ σίμβλοις.	Epigr. lib. 1.
	Σιμόεις *Simois fl.*	
θεῖος	Γρήνικόν τε καὶ Αἴσηπον, θεῖόν τε Σιμοῦντα.	Hes. Theog.
καλλίροος	Καλλιρόου Σιμόεντος ἰδὲ Ξάνθοιο θύγατρες.	Calab. lib. 11.
Ἰδαῖος	Τοὺς ποτ' ἀπὸ Ξάνθοιο καὶ Ἰδαίου Σιμόεντος.	Dionys.
	Nonnus Dionys. Φρύγιος.	
	Σιμωνίδης *Simonides p.*	
δεινός, Κήϊος	Εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήϊος αἰόλα φωνέων.	Theoc. εἰδ. 15.
ἡδυμελίφθογγος	Ἡδυμελιφθόγγου μοῦσα Σιμωνίδεω.	Epigr.
	Σίνων *Sinon.*	
Αἰσιμίδης	Αἰσιμίδης ἐλέλειπτο Σίνων, ἀπατήλιος ἥρως.	Tryphiod.
πολυμήχανος	Τὸν δ' ἀνθαρσήσας προσέφη πολυμήχανος ἥρως	Idem.
δυσάμμορος	Ἀγχόθι δ' αὖτε Σίνωνα δυσάμμορον εἰσενόησε.	Calab. lib. 12
δολόφρων	Σμερδαλέη καὶ πολλὰ δολόφρονα φῶτα δαΐζειν.	Ibid.

μογερός

μογερός	Οὕνεκα λωβήσαντο δέμας μογεροῖο Σίνωνος.	Ibid.
περικλυτός	Θαύμαζον Σίνωνα περικλυτὸν, οὕνεχ' ὑπέστη.	Idem lib. 14.
	σίνος *nocumentum, noxa.*	
ἀργαλέον	Σῖνος ἐς ἀργαλέον, πόθεν οὔπω φύξις ἐσεῖται.	Cyr. Theod.
λυγρόν	Τίπτε Σατὰν κακοεργὲ λυγρὸν περὶ σῖνος ὀπάζειν.	Idem.
ὀλοφώϊον	Ῥεῖά γέ τοι μορφάς τε σίνη τ' ὀλοφώϊα θηρῶν.	Nicand. Th.
ὀλοόν	Ἄλλοτε μέν τ' ἐχίων ὀλοὸν σίνος, ἄλλοτε τύμμα.	Ibid.
	Σίντιες *Sinties Lemnij.*	
ἀγριόφωνοι	Οἴχετ' ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους.	Hom. Od. θ.
	Σίσυφος *Sisyphus.*	
Αἰολίδης	-- ὁ κέρδιστος γένετ' ἀνδρῶν Σίσυφος Αἰολίδης	Hom. Il. ζ.
	Hesiod. (quemadmodum citat Interpres Pindari:)	
αἰολομήτης	Κρηθεὺς ἠδ' Ἀθάμας, καὶ Σίσυφος αἰολομήτης.	
	σῖτος *frumentum, cibus.*	
γλυκερός	Σίτου τε γλυκεροῖο περὶ φρένας ἵμερος αἱρεῖ.	Hom. Il. λ.
μελίφρων	Οἱ δ' ἐπεὶ οὖν σίτοιο μελίφρονος ἐξ ἔρον ἕντο.	Id. Odyss.
ἄφθονος	Σῖτον δ' ἄφθονον ἧκεν ἀποπλώουσι φέρεσθαι.	Orph.
εὐαλθής	Λαὸν ἐμὸν κατέδοντες ὅπως εὐαλθέα σῖτον.	Apolinar.
θρεψιλώωρ	Λαὸν ἐμὸν κατέδοντες ὅπως θρεψιλώορα σῖτον.	Idem.
ζωαρκής	Καὶ κοῖλαι φορέοιεν ἅλις ζωαρκέα σῖτον.	Idem.
μελιηδής	Ἐκ χθονὸς ὄφρα κε καρπὸν ἄγοι μελιηδέα σῖτον.	Apolinar.
	Σιών *Sion.*	
ἀκρότομος	Καὶ κορυφῆς πήξας πόδ' ἐπ' ἀκροτόμοιο Σιῶνος.	Dolsc.
τηλέκλυτος	Ἐξ ὄρεος στράπτει τοῦ τηλεκλυτοῖο Σιῶνος.	Idem.
κεδνή	Σῇ ἀγανοφροσύνῃ κεδνὴν εὖ ῥέζε Σιῶνα.	Idem.
ἁγίη	Ἐμπεδόων ἁγίης αἰπεινὰ κάρηνα Σιῶνος.	Idem.
κλυμένη	Τῷ ῥα περὶ κλυμένης πολλοὶ λέξουσι Σιῶνος.	Idem.
ἀγλαόπαις	Ἡ σφόδρ' ἀγλαόπαις ἣ γένετ' ἐρα Σιών.	Idem.
ἐρατή	Ἐκ δ' ἐρατῆς Σιῶνος ἀλεξίκακος πέλας ἔλθοι.	Apolinar.

πότνια	Πότνια κλεῖε Σιὼν σὸν μεγέεσσι θεόν.	Dolsc.
δουριάλωτος	Ταῦτα Σιὼν ἱκέτευσε θεὸν ποτὲ δουριάλωτος.	Idem.
εὐθέμεθλος	Καὶ γάρ οἱ εὐθεμέθλου ἐκλέξατο αἰπὺ Σιῶνος Ἕδρανον.	Dolsc.

σιωπή *silentium*: supra σιγή.

ἀνδροφόνος	Φεύγων ἀνδροφόνοιο πελώρια δεσμὰ σιωπῆς.	Tryphiod.
σοφή	Υἱὸν ἑὸν ζώοντα σοφῇ γίγνωσκε σιωπῇ.	Nonnus.
λάλος	Τούτῳ Πέτρος ἔνευσεν, λάλῳ δ᾽ ἐρέθυνε σιωπῇ.	Idem.
φωνήεσσα	Νεύματα φωνήεσσαν ἀπαγγέλλουσα σιωπήν.	Epigr. lib. 1.

Nonn. Dionys. λιπόγλωσσος, ἀκήδεστος, αὐδήεσσα, νοερή, ἄφλοισβος, πινυτή, αἰδοῦς ἀμβολιεργός, ἄφθογγος.

σκάνδαλον *scandalum*.

ὀλοόν	Ἥ τ᾽ ὀλοὴ γλῶσση ὀλοόν σφιν σκάνδαλον ἔσται.	Dolsc.

σκάρος *scarus, piscis*.

ἁπαλός	Εἰς ἄγρην πεσέειν ἁπαλὸν σκάρον.	Opp. ἁλ. β.
βαλιός	Κραιπνὸν ἐπειγόμενοι βαλιοὶ σκάροι.	Id. ἁλ. δ.
γλαγόεις	Κείναις ἦσι μέλει γλαγόεις σκάρος.	Ibid.
αὐδήεις	Ἢ σκάρον αὐδήεντα παρὰ βωμοῖσι πυρώσας.	Epigr. lib. 1.

σκάφος, σκάφη *scapha*.

θοόν	Τέσσαρες ἐμβεβάασι θοὸν σκάφος ἀγρευτῆρες.	Opp. ἁλ. δ.
γλαφυρόν	Πυρσὸν ἀναψάμενοι, γλαφυρὸν σκάφος ἰθύνοντες.	Ibid.
βαρύ	Κωκυτοῦ με λέγοιτε βαρὺ σκάφος· ὤλεσα φῶτας,	Epigr. lib. 1.
εὔτορνος	Οἳ πάντα θρανύξαντες εὐτόρνῳ σκάφῃ.	Lycophr.
αἰναυλόχ. αὐτ.	Ἀναυλόχητον αὐτοκάβδαλον σκάφος.	Idem.
πολύκωπος	Μανιῶν τε λήξω, καὶ σὲ πολυκώπῳ σκάφει.	Eur. Iph. T.

σκέπας *velamentum*.

Nonn. Dion. γλαυκῶπον, ἁβρὸν ἐλαίης.

σκηνή scena.

θεηδόχος, εὖ ἀρ.	Σκηνὴν ταύτ' ἐποίησε θεηδόχον, εὖ ἀραρυῖαν.	Cyr. Theod.
σκιερή	Καὶ γὰρ ἐνὶ σκηνῇ σκιαρῇ αὐτοῖό με κεύθει.	Dolsc.
ὑμήεσσα	Σκηνὴν ἠελίῳ παρεθήκατο ὑμήεσσαν.	Apolinar.

σκῆπτρον (Dor. σκᾶπτον) sceptrum.

χρύσεον	Χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ ἐλίσσετο πάντας Ἀχαιούς.	Hom. Il. α.
ἄφθιτον	Εἵλετο δὲ σκῆπτρον πατρώϊον ἄφθιτον αἰεί.	Id. Iliad. β.
παχύ	Δῦ δὲ χιτῶν', ἕλε δὲ σκῆπτρον παχύ, βῆ δὲ θύραζε	Iliad. σ.
θυμβρές	Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμβρὲς ἔδωκεν.	Id. Odyss. ρ.
βασιλήϊον	Σκῆπτρον δεξιτερῇ βασιλήϊον ἶφι τινάσσων.	Dolsc.
δικασπόλον	Σκῆπτρον ἔχεν χρυσεῖο δικασπόλον.	Apoll. lib. 4.
ἰθυπόρον	Ἰθυπόρον σκῆπτρον, σκῆπτρον βασιληΐδος αἴσης.	Apolinar.
φοιβήϊον	Σκῆπτρον ἀνασχόμενος φοιβήϊον.	Epigr. lib. 5.
θεμιστεῖον	Θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον ἐν πολυμάλῳ Σικελίᾳ.	Pind. Olym.
μόναρχον	Ἀλλὰ καὶ σκᾶπτον μόναρχον, καὶ θρόνος.	Idem Pyth.
ἀγλαόν	Εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας.	Idem Nem.

Nonn. Dionys. ἀσύλητον, πεισίμβροτον; quod etiam apud Æschylum legitur.

σκιά umbra.

πετραίη	Εἴη πετραίη τε σκιή, καὶ Βίβλινος οἶνος.	Hesiod. lib. 2
ἀσταθής	Ἤματα δ' ἀσταθεῖ σφετέρῃ σκιῇ ἶσα παρέρπει.	Apolinar.
ἠερόεσσα	Καὶ σκιὰ ἠερόεσσα, δόμος μέλανος θανάτοιο.	Castalio.
κούφη	Εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.	Soph. Aiace.
ἀνωφελής	Μορφῆς, ἀποδόν τε καὶ σκιὰν ἀνωφελῆ.	Idem Elect.

σκίπων scipio, baculus.

γεροντικὸν ὅπλον	Εἶπεν ὁ σὲ σκίπωνα γεροντικὸν ὅπλον ἀείρας.	Diog. L. li. 1.

σκίναξ lepus.

δερκευνής	Πολλάκι δὴ σκίνακος δερκευνέος.	Nicãd. Alex.

σκόπελος scopulus.

προβλής	Προβλῆτι σκοπέλῳ, τὸν δ' οὔποτε κύματα λείπει.	Hom. Il. β.
ἄκρος	-- ὑψόσε δ' ἄκρη	Id. Odyss. μ.
	Ἄκροισι σκοπέλοισι.	
ἀκμητος	Μάρναντ' ἀκμήτοισιν ἐϊδόμενοι σκοπέλοισιν.	Calab. lib. 8.
νιφόεις	Δὴ τότε φορμίζοντος ἀπὸ σκοπέλου νιφόεντος.	Orph. Arg.
μαλαίνειος	Ἠλπόμεθα σκοπέλοισι Μαλαινείοισιν ἱκέσθαι.	Idem.
ἀστυφελής, ἀτέραμνος	Ἴσθι μοι ἀστυφελὴς σκόπελος, σκόπελός τ' ἀτέραμνος.	Dolsc.
στιβαρός	Τοὺς δὲ πάλως χάλκειος ἀπὸ στιβαροῦ σκοπέλοιο.	Apoll. lib. 4.
κυματοπλήξ	Τοῦδέ με κυματοπλῆγος ἐπὶ σκοπέλοιο Γερήπου	Epigr. lib. 1.
στυφελός	Ὀρνύμενον στυφελῷ κῦμα περὶ σκοπέλῳ.	Epigr. lib. 2.
ἁλιρραγής	Σπαρτὸν ἁλιρραγέων ψυχόμενον σκοπέλων.	Epigr. lib. 3.
αἰγιαλός	Κλεινὸς ἐπ' αἰγιαλῷ τύμβος ἔχει σκοπέλῳ.	Ibid.
αἱματοσταγής	Ἀχερόντιός τε σκόπελος αἱματοσταγής.	Aristoph. R.
	Nonn. Dionys. λοφόεις, ἠλίβατος, ἀσκεπής, Θρηΐκιος.	

σκοπή, σκοπιά specula.

παιπαλόεσσα	Ἔστην δὲ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών.	Hom. Od. κ.
τηλαυγής	Κύρν' ἀπὸ τηλαυγέος φαινόμενος σκοπιῆς.	Theogn.
ἠλίβατος	Ὡς δ' ὅτ' ἀπ' ἠλιβάτου σκοπιῆς περιμήκεα λᾶαν.	Calab. lib. 1.
ἠερίη	Ἤ τινος ἠερίης σκοπιῆς καθύπερθεν ἀρθείς.	Nazianz.
τηλεφανής	Τηλεφανῆ σκοπιὴν ἀνδράσι λαμπομένην.	Idem.
ἐρημάς	Καὶ σκοπιῆς παρὰ πέζαν ἐρημάδος, οἷά τε Μωσῆς.	Nonnus.
περιμήκης	Οὔρεα καὶ σκοπιαὶ περιμήκεες.	Apoll. lib. 3.
πολυπίδαξ	Ἄλσεα καὶ σκοπιὰς πολυπίδακας.	Ibid.
δρακοντόφρουρος	Νάκην δρακοντοφρούροις ἐσκεπασμένην Σκοπαῖς.	Lycophr.
ναυτιλοφθόρος	Καὶ μιξόθηρος ναυτιλοφθόρους σκοπάς.	Idem.
χιονοθρέμμων	Χιονοθρέμμονας δ' ἐπέρασ' Ἰδαίαν Νυμφᾶν σκοπιάς.	Eurip. Hel.

Nonn.

Nonn. Dionys. λοφόεσσα, δυσέμβατος, πανυκρήπις.

σκοπός scopus, speculator.

Nonn. Dionys. ἰθυκέλευθος, ὑψικέλευθος, ἀγχήϊστος, ἠερόφοιτος.

σκορπίος scorpius.

κέντρῳ κεκορυθμένος	Εἰ δ' ἄγε καὶ κέντρῳ κεκορυθμένον ὀγκνόεντα Σκορπίον αὐδήσω.	Nicand. Th.
ζοφόεις	Αὐτὰρ ὅγε ζοφόεις ἀεράδον κακὸν ὤπασε τύψας.	Ibid.
ποιηφάγος, ἄητος, γηοφάγος	-- δὴ γάρ τε ποιηφάγος αἰὲν ἄητος Γηοφάγος.	Ibid.
λωβητήρ	Σκορπίοι ἐξεχύθοντο καθ' ἕρκεα λωβητῆρες.	Ibid.
ἀϊκτήρ	Σκορπίος ἀϊκτὴρ δίδυμον γένος.	Opp. ἁλ. α.
δεινός	--γλαφυρῆς γὰρ ἀπὸ χθονὸς ἔκτανε δεινὸς Σκορπίος.	Epigr. lib. 3.

σκορπίος scorpius lapis.

	Σκορπίε, σεῖο δὲ λᾶαν ὁμώνυμον ἔμμεναι ἥρως Ἀγλαὸς Ὠρίων οὐκ ἔκλυεν. ἦ γὰρ ὀΐω Πικρῇσιν τότε γυῖα πεπαρμένον ἀμφ' ὀδύνῃσι Μᾶλλον σφωϊτέρων κεν ἐκεῖνα θελεσκέμεν ἄστρων.	Orph. λίθ.

σκότος, σκοτία, tenebræ.

στυγερός	Ἤ εἶπε δ' ἐξ ὀχέων, στυγερὸς δ' ἄρα μιν σκότος (εἷλε.	Hom. Il. ε.
ἀλάμπετον	Ὄρφνη γὰρ σκότος ἐστὶν ἀλάμπετον.	Epigr. lib. 1.
στυγερή	Εἴργει με φθονερή τε στυγερὴ σκοτίη.	Nazianz.
βαθύγνοφος	Ἥκεις δ' ἐς Ἅιδου τὸ βαθύγνοφον σκότον.	Idem.
ἐχθρόν	Τίμων, (οὐ γὰρ ἔτ' ἐσσὶ) τί τοι, φάος ἢ σκότος, ἐχθρόν;	Epigr. lib. 3.

Σκύθαι Scythæ.

τοξοφ. Ἄρ. θερ.	Τοξοφόρους τε Σκύθας, Ἄρεος πιστοὺς θεράποντας	Orph. Arg.
νομάδες	Σκύθας δ' ἀφίξῃ νομάδας, οἳ πλεκτὰς στέγας Πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις.	Æsch. Prom.

σκύλαξ *catulus, catula*: item σκυλάκη *catula*.

νεογιλή	Τῆς ἤτοι φωνὴ μὲν ὅση σκύλακος νεογιλῆς.	Hom.Od.μ.
ἀμαλή	Ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα.	Id.Odyss.υ.
λυσσῶπις	-- κατὰ δεξιὰ δ' ἦεν ἀθρῆσαι	Orph.
ἀγριόμορφος	Λυσσῶπις σκυλάκη· μέσση δ' ἔφυ ἀγριόμορφος	
ἰχνευτήρ	Ἔστι δέ τι σκυλάκων γένος ἄλκιμον ἰχνευτήρων.	Opp. κυνηγ.α.
θοός	Καὶ σκυλάκεσσι θοοῖς βαλιοὺς ἐδαμάσσατο θῆ-(ρας.	Id.κυνηγ.β.
εὔρινος	Καὶ τῶν εὐρίνων λαιμοπέδαν σκυλάκων.	Epigr. lib.6.
	Nonn. Dionys. ἀγχίθυρος, νεβροφόνος, φυλάκτωρ, βαλιός.	

Σκύλλα *Scylla*.

δεινὸν λελακυῖα	Ἔνθα δ' ἐνὶ Σκύλλη ναίει δεινὸν λελακυῖα.	Hom. Od.μ.
πετραίη	Σκύλλαν πετραίην, ἥ μοι φέρε πῆμ' ἑτάροισιν.	Eod.
Αυσον. ὀλοόφρ.	Σκύλλης Αὐσονίης ὀλοόφρονος.	Apoll. lib.4.
λευγαλέη	Ὠμοφάγον Σκύλλης λευγαλέης ζόφιμον.	M.Musurus.
ζυφερή	Ἢ πάλι τὴν ζυφερὴν Σκύλλαν ἀποψόμεθα.	Epigr. lib.7.
μιξόθηρ	Καὶ μιξόθηρος ναυτιλοφθόρους σκοπάς.	Lycoph.
μιξοπάρθ. κύων	Ποία δ' ἐριννὺς μιξοπάρθενος κύων.	Idem.

Σκῦρος *Scyrus insula*.

εὐπάρθενος	Καὶ Σκῦρον μὲν ἔβαινε λιπὼν εὐπάρθενον ἄστυ.	Tryphiod.
πολύκλυστος	Κεῖνον ἀπὸ Σκύροιο πολυκλύστοιο μολόντα.	Calab. lib.4.
ἐναλίη	Πάντες ὅσοι Σκύροιο πέδον περιναιετάασκον Εἰναλίης.	Idem lib.7.
αἰγίβοτος	Αἰγιβότου Σκύροιο λιπὼν πέδον, Ἴλιον ἔπλω.	Epigr. lib.

σκῶλος *palus, sudis*.

πυρίκαυστος	Καὶ τὸ μὲν, αὐτοῦ μεῖν' ὥστε σκῶλος πυρίκαυστος.	Hom. Il.ν.

σμάραγδος *smaragdus, gemma*. eadem μάραγδος.

αἰγλήεις	Σαρδιά θ' αἱματόεντα, καὶ αἰγλήεντα μάραγδον.	Orph. λίθ.
	Nonn. Dionys. Λασυείη.	

Σμύρνη

Σμύρνη Smyrna.

Αἰολίς	Κεῖται δ' Αἰολίδος Σμύρνης ἑκάς.	Epigr. lib. 3.

σμύρνη myrrha.

εὐώδης	Καὶ σμύρνην μίσγειν εὐώδεα.	Orph. λίθ.

σμῶδιξ vibex.

αἱματόεσσα	Σμῶδιξ δ' αἱματόεσσα μεταφρένου ἐξυπανέστη.	Hom. Il. β.
πυκινή, αἵματι	Πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους	Id. Iliad. ψ.
φοινικόεσσα	Αἵματι φοινικόεσσαι.	

σόλος discus, massa ferrea.

Nonnus Dionys. λζ. Καὶ σόλον αὐτοχόωνον ἄγων ἐπέθηκεν ἀγῶνι. Apud eũdem est σόλος εὐδίνητος.

Σόλυμοι Solymi pop.

κυδάλιμοι	Δεύτερον αὖ Σολύμοισι μαχέσσατο κυδαλίμοι-	Hom. Il. ζ.
ἀργαλέοι	Ἀργαλέων Σολύμων ἱερὸν στρατόν. (σι.	Calab. lib. 2.

σοῦβος subus.

κερόεις, τερενόχρ.	Τερπόμενον κερόεντι φίλῳ τερενόχροϊ σούβῳ.	Opp. κυνηγ. β.
κακοεργός	Σοῦβε τάλαν κακοεργὲ, καὶ αὐτῷ σοὶ μετόπισθεν.	Eod.
δολερός, ἰχθυοφ.	Καὶ δολερῷ περ ἐόντι, καὶ ἰχθυφόνῳ τελέθοντι.	Eod.

σοφία sapientia.

θεόπνευστος	Τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.	Phocyl.
ἐρατή	Αὐτ' ἐρατῆς σοφίης, ἀλλὰ τόδ' αἰὲν ἔχειν.	Theogn.
θείη	Καὶ θερμὸν σοφίης θείης ἐπέπνευσεν ἔρωτα.	Nazianz.
κενεαυχής	Τὶς στρατὸν ἐν πολέμοισι, καὶ ἐν θαλίῃσι τραπέζας Ἤινεσε; τὶς σοφίην κενεαυχέα;	Idem.
καθαρή	Καὶ καθαροὶ καθαρῆς ἁπτόμενοι σοφίης.	Idem.
πτερόεσσα	-- ἱστορίη δὲ τέκεν σοφίην πτερόεσσαν.	Idem.
ἠγαθέη	Ἀστέρες ἠγαθέης εἰσὶ λόγοι σοφίης.	Idem.
κοσμογόνος	Τῇ ψυχῇ λιαρὴν κοσμογόνῳ σοφίῃ.	Idem.
θεόγονος, ἀμ.	Θεογόνου σοφίης μέγ' ἀμύμονος ἐσθλὲ σαφητά.	Cyr. Theod.

κειόκομπος	Τοῦ ῥα σάθρας σοφίης κειοκόμπου τοῖς λαβυρίνθοις.	Idem.
ἱμερτή	Ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.	Solon.
ἄφθαρτος	Ἄφθαρτος δ' ἡμῖν ἐστὶ μόνη σοφίη.	Politianus.
λαοδίκος	Μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίῃ.	D.Laert.li.2.
κυδιάνειρα	Παύποτε κυδιάνειρα τὴν σοφίην.	Apolinar.
ἀμβροσίη	Καὶ νὺξ ἀμβροσίην σοφίην ὑπεθήκατο νυκτί.	Idem.
συμβολική	Ἑρμοῦ ἐοῦσα γόνος συμβολικὴ σοφία.	Bapt. Cam.
ἐρικυδής	Νικαέων ἱερεὺς, σοφίης ἐρικυδέος ἀνήρ.	Epigr. lib. 4.
κτῆμα βεβ.	Ὦ σοφίη, πάντων κτῆμα βεβαιότατον.	Bapt.Cam.
σώτειρα	Σώτειραν σοφίην τοῖς μερόπεσσι βροτοῖς.	Idem.
ἀγακλεής	-- Σοφίης γὰρ ἀγακλέος ἄμμοροί εἰσι.	Apolinar.
κρυφίη	Καὶ σοφίης κρυφίης με τεῆς ἐδίδαξας.	Idem.
ἐριούνιος	Ὦ δειλοὶ σοφίην ἐριούνιον ὑβρίζοντες --	Orph
μελιχίη	Μελιχίην σοφίην τε τεὴν μάκαρ ἄμμε διδάσκοις.	Apolinar.
ἀθανάτη	Ὅσοις ἀθανάτη σοφίη πραπίδεσσι μέμηλε.	Idem.
θεσπεσίη	Παῖδ' ἅμα θεσπεσίῃ σοφίῃ πεκτήναο ποιμήν.	Idem.
ἄρρητος	Αὔσονις ἀρρήτου σοφίης ἀνεθρέψατο Σειρήν.	Epigr. lib. 5.
ἄδολος	Δαέντι δὲ σοφία μείζων ἄδολος τελέθει.	Pind.Olym.
αἰπεινή	Μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει μελέτα. Σοφίαι μὲν αἰπειναί.	Ibidem.
Παιωνίς	Τῆς Παιωνίδος πληθόμενος σοφίης.	Epigr. lib. 2.
πολυκυδίστη	Τῇ πολυκυδίστῃ θεῖος ἄναξ Σοφίῃ.	Epigr. lib. 4.
ὠρονόμος	Ὠρονόμῳ σοφίῃ, καὶ σκιόεντι τύπῳ.	Eod.
καλλίπυργος	Ὦ καλλίπυργον σοφίαν κλεινοτάτην τ' ἐπασκῶν.	Ariſtophan. Nebul.
ἐριλαμπής	Ἀλλὰ θεοὶ σοφίης ἐριλαμπέος ἡγεμονῆες.	Procl. Lyc.
ἱερή	Κλῦτε θεοὶ σοφίης ἱερῆς οἴηκας ἔχοντες.	Idem.

σοφιστής *ſophiſta.*

σκαιός	Ἔρως, σοφιστοῦ γίγνεται διδάσκαλος Σκαιοῦ πολὺ κρείττων.	Anach.
φυσιγνώμων	Εὐσθενέος τὸ μνᾶμα. φυσιγνώμων ὁ σοφιστής.	Theo.Epigr.
πολυπράγμων	Ἔσπετε νῦν μοι ὅσοι πολυπράγμονές ἐστε σοφισταί.	D.Laërt.li.9

ἀπράγμων

	σπάργανον *fascia, pannus quo inuoluntur infantes.*	
γυιόκολλον	Ἐν γυιοκόλλοις σπαργάνοις εἰλημένον.	Lycophr.
πορφύρεον	Κρύβδαν πέμπον σπαργάνοις ἐν πορφυρέοις.	Pind. Pyth.
κροκωτόν	Κροκωτὸν σπάργανον ἐγκατέβα.	Idem Nem.
θυῆεν	Σπάργαν᾽ ἔσω κατέδυνε θυήεντ᾽.	Hom. h. Me.
	Σπάρτη *Sparta vrbs.*	
καλλιγύναικος	Ὄφρ᾽ ἂν ἐγὼν ἔλθω Σπάρτην ἐς καλλιγύναικα.	Hom. Od. ν.
ἐρίβωλος	Σπάρτην εἰς ἐρίβωλον, ἢ ἐς πολυδίψιον Ἄργος.	Calab. lib. 3.
	Apollo apud Herodotum Polymn.	
εὐρύχορος	Ὑμῖν δ᾽ ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο.	
κυδιάνειρα	Σπάρτα μοι, Σπάρτα, κυδιάνειρα πατρίς. (στυ.	Epigr. lib. 1.
δορυστέφανος	Τόνδε δορυστέφανος Σπάρτα Χείλων᾽ ἐφύτευ	D. Laert. li. 1.
κρατερά	Καὶ κρατερᾶς Σπάρτας πάτρια θεσμὰ λύεις.	Epigr. lib. 1.
	Σπαρτοί *Sparti, è satis draconis dentibus orti.*	
ἀκαμαντολόγ.	Ἦ Σπαρτῶν ἀκαμαντολογχᾶν &c.	Pind. Isth.
	σπατάλη *deliciæ, luxus.*	
χρυσόδετος.	Χεῖρα περισφίγξω χρυσοδέτῳ σπατάλῃ.	Epigr. lib. 6.
χρυσομανής	Μαχλάδος οἰμώξεις χρυσομανῆ σπατάλην.	Idem lib. 7.
χρυσοφόρος	Καὶ σοβαρῶν ταρσῶν χρυσοφόρος σπατάλη.	Eod.
	σπέος (poet. σπεῖος) *specus, spelunca.*	
εὐρύ	Ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης.	Hom. Iliad. ν.
ἀργύφεον	Τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος.	Idem Iliad. σ.
γλαφυρόν	Ἐν σπῆι γλαφυρῷ, περὶ δὲ ῥόος Ὠκεανοῖο.	Eod.
ὑψηλόν, δάφνης	-- σπέος εἴδομεν ἄγχι θαλάσσης	Idem Od. ι.
κατηρεφές	Ὑψηλόν, δάφνῃσι κατηρεφές.	
ἠεροειδές	Μέσσῳ δ᾽ ἐν σκοπέλῳ ἐστὶ σπέος ἠεροειδές.	Idem Od. μ.
ἐρόεν	Μίσγοντ᾽ ἐν φιλότητι μυχῷ σπείων ἐροέντων.	Hom. h. Ve.

ἐπλάμυχον	Ἐπλάμυχον Βορέαο περὶ σπέος ἠυλίζοντο.	Callimach.
στενόν	Ἤειδον, στενὸν γὰρ διὰ σπέος ἤλυθεν αὐδή.	Orph. Arg.
Δικταῖον	Δικταῖον ναίεσκεν ὑπὸ σπέος.	Apoll. lib. 1.
	Nonn. Dionys. φόνιον.	
	σπεῖρα *funis conuolutus, spira, conuolutio.*	
κυανέα	Κυανέαις φρίσσοντας ὑπὸ σπείραισι δράκοντας	Theoc. εἰδ. ιγ.
γηγενής	-- δολιχὴν ἀνελύετ᾽ ἄκανθαν	Apoll. lib. 4.
	Γηγενέος σπείρης.	
δικτυόκλωστος	Πόντου τ᾽ ἐναλίαν φύσιν σπείραις δικτυοκλώστοις	Soph. Antig.
πολύπλοκος	Σπείραις ἔσωζε πολυπλόκοις, ἄϋπνος ὤν.	Eurip. Med.
	σπέρμα *semen.*	
πολύμνηστον, π.	Σπέρμα πολύμνηστον, πολυώνυμον Εὐβουλῆος &c.	Orph. hym. μίσης.
	Σπερχειός *Sperchius, fluuius Thessaliæ.*	
διϊπετής	Υἱὸς Σπερχειοῖο, διϊπετέος ποταμοῖο.	Iliad. π.
ἀκάμας	Σπερχειῷ ἀκάμαντι γυνὴ θεῷ εὐνηθεῖσα.	Hom. Iliad. π
εὔροος	Τραχινίαν τε δειράδα, καὶ τὸν εὔροον Σπερχειὸν ἔσται.	Soph. Phil.
	σπῆλυγξ *spelunca.*	
ἀφεγγής	Ἠὲ κατὰ σπήλυγγος ἀφεγγέος &c.	Opp. κυνηγ. ζ.
βαθεῖα.	Σός με πόσις κακοεργὸς ἐνὶ σπήλυγγι βαθείῃ.	Epigr. lib. 1.
	σπιλάς *petra, scopulus maris.*	
ἐρῆμος	Εἰνάλιαι πίπτουσιν ἐνὶ σπιλάδεσσιν ἐρήμοις.	Callimach.
ὀξεῖα	Ἴαχεν ὀξείῃσιν ἐπιβρομέων σπιλάδεσσι.	Apoll. lib. 3.
σκληρή	Κύματά τε σκληρῇσι περιβλύει σπιλάδεσσι.	Idem lib. 4.
γλαφυρή	Ἔνθ᾽ οἱ μὲν δνώουσιν ὑπὸ γλαφυραῖς σπιλάδεσσι.	Opp. ἁλ. δ.
πολυρράθαγος	Ὅσσα πολυρραθάγοισιν ἐνὶ σπιλάδεσσι φύονται	Idem ἁλ. ε.

φρικαλέη

φεικαλέη	Εἰρύων ἔξω φεικαλέης σπιλάδος.	Epigr. lib. 3.
ἀκταίη	Καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι.	Eod.
γναμπτή	Κῆτος δὲ σπιλάδεσσιν ἐπὶ γναμπτῇσι χαράχθη.	Epigr. lib. 4.

σπινθήρ *scintilla*.

Nonnus Dionys. ἡδυμανὴς, μειλίχιος, νυμφίδιος, μητροφόνος, πορφύρεος, γυιοβόρος, τηλέπορος, μυδαλέος, μυστιπόλος, βλοσυρὸς, αἰθαλόεις, νόθος, ξανθόχρως, ἀφλεγὴς, γυιοβόλος, ῥόδεος, φόνιος: item θερμὸς ἐρώτων σπινθήρ.

σποδός *cinis*: σποδιὰ *cineris aceruus*.

μέλαινα	Ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ.	Hom. Od. ε.
αἰθή	Ἔρχεται Ἑρμείης σποδιῇ κεχρημένος αἰθῇ.	Callimach.
καπνοτόκεια	Πάσσων καπνοτόκειαν ὅπως σποδὸν αὐχμὸν ὁμίχλης.	Apolinar.

σπόρος *sementis, satio*.

ὄμπνιος	Ἄλλος ἀροτρεὺς σπόρον ὄμπνιον αὔλακι νείφων.	Nonnus.
αἰνοτόκος	Καὶ σπόρον αἰνοτόκον μεροπηΐδος ἔκτοθι φύτλης	Apolinar.
καλλιπέτηλος	Καί οἱ καλλιπέτηλος ἐπ' εὐλογίῃ σπόρος ἔσται.	Idem.
εὔσταχυς	Εὔσταχυν ἀμήσας τὸν νεῶν σπόρον.	Epigr. lib. 6.
τετράγυος	Τετράγυον θέμενος σπόρον αὔλακι.	Orph. Arg.

Nonnus Dionysiacis: γόνιμος, αὐτολόχευτος.

σπυρὶς *sporta*.

ἰχθυδόκος	Χόρμιον, καὶ τὰς ἰχθυδόκους σπυρίδας.	Epigr. lib. 6.
σχοινοτενής	Φελλὸν, καὶ δισσὰς σχοινοτενεῖς σπυρίδας.	Eod.
εὐπλεκής	Ζευγός τ' εὐπλεκέων σπυρίδων, καὶ μητέρα πυρσῶν.	Eod.

σταγὼν *stilla, gutta*.

στυφελή	Βότρυας, οἳ στυφελὴν ἐξέχεον σταγόνα.	Epigr. lib. 1.
δροσερή	Ἀχήεις τέττιξ δροσεραῖς σταγόνεσσι μεθυσθείς.	Epigr. lib. 3.
κροκοβαφής	Ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς σταγών.	Æsch. Agan

	στάθμη *linea architectonica, perpendiculum:* σταθμός *pondus.*	
ἰθυτενής, μολιβ.	Στάθμην ἰθυτενῆ μολιβαχθέα δουρατοτυπῆ τε	Epigr. lib. 6.
ἑτερόζυγος	Σταθμὸν μὴ κρούειν ἑτερόζυγον &c. (Σφύραν.	Phocyl.
	σταθμός *stabulum, statio.*	
ποιμνήϊος	Αἵτε κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσι.	Hom. Il. β.
οἰοπόλος	Σταθμῷ ἐν οἰοπόλῳ, τοὺς δ' οὐκ ἐθέλοντας ἄελλαι	id. Iliad. τ.
ἠερόεις	Σταθμῷ ἐν ἠερόεντι παρ' ἠὼ κλυτοῦ Ὠκεανοῖο.	Hesiod. Th.
περιμήκης	Εὐθὺς δὲ σταθμοὶ περιμήκεες ἀγροιώταις.	Theoc. εἰδ. λβ
ναύλοχος	Τότ' οὔτε τάφρος, οὔτε ναυλόχων σταθμῶν.	Lycophr.
	στάσις *seditio:*	
λαοφθόρος	Καὶ στάσιν Ἑλλήνων λαοφθόρον &c.	Theogn.
ἀλγινόεσσα	Καὶ στάσιν ἀλγινόεσσαν ἐπ' ἀντιπάλοισι μάχαισι.	Orph. hym.
ἀντιάνειρα	Εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας ἄμερσε πάτρας	Pind. Olym.
δεινή	Καὶ δειναὶ στάσιν πατρώων οἴκων.	Id. Nem.
	σταυρός *crux.*	
μεγακλεής	Ἅς ποτ' ἐπὶ σταυροῖο μεγακλέος ἐξεπέτασσεν.	Nazianz.
ἀλεξίκακος	Αἰὲν ἀειρέσθω σταυρὸς ἀλεξίκακος.	M. Musur.
	σταφυλή *uua, botrus.*	
πυρναίη	Πυρναίαις σταφυλῇσι καλὸν βέβριθεν ἀλωά.	Theoc. εἰδ. α.
πίων	Κισσόν, τὸν σταφυλῇ πίονα, τὸν χίμαρον.	Epigr. lib. 4.
	Nonnus Dionys. Βακχιάς, νοοσφαλής, φιλόβοτρυς, φερέβοτρυς, μεθυσφαλής.	
	στάχυς *spica.*	
ἠΰκομος	Γόρπες, ἠϋκόμων δρυπτόμεναι σταχύων.	Epigr. lib. 4.
εὔβλαστος	Πλήθει, εὐβλάστων ἄσπετά τε σταχύων.	Dolic.
ἀγλαός	Οὐκ ἔτι καρπεύουσι βροτοὶ στάχυν ἀγλαὸν ἐκ γῆς	Sibyll.
λεπυρός	Ἱπτάμενοι ἀθέρων, λεπυρὸν στάχυν ἐκβόσκονται.	Nicand. Th.
βρυόεις	Ἠὲ νέον βρυόεντα θύμου στάχυν.	Nicād. Alex.
ὄμπνιος	Τιτήνας δ' ἔδαεν στάχυν ὄμπνιον ἀμήσασθαι.	Apoll. lib. 4.

γηγλυής

γηγλυφής	Ἀδάμ τε τὸν ἀπείρονα γηγλυφῆ στάχυν.	Nazianz.
κάγκανος	Καὶ πάντα φλέξας, ὥστε κάγκανον στάχυν.	Lycophr.
χρυσοπήληξ	Γλῶ, ἥ ποθ' ἡμῖν χρυσοπήληκα στάχυν.	Eurip. Phœ.
	Nonnus Dionys. αὐτολόχευτος.	
	στέγη tectum.	
ὑπώροφος	Καὶ λεῖπε μέγαθρον τὴν ὑπώροφον στέγην.	Lucian.
δουρατόγλυφος	Ἡ δ' εἰς τέραμνα δουρατογλύφου στέγης.	Lycophr.
	στέμμα coronamentum.	
δαφναῖον	Ἔστενε δ' Ἀμφιάρηος ἔχων περιλαμπέα χαίτην Στέμματι δαφναίῳ.	Christod.
	Nonn. Dionys. ἀμπελόεν, γαμήλιον.	
	Στέντωρ Stentor.	
μεγαλήτωρ, χ.	Στέντορι εἰσαμένη μεγαλήτορι χαλκεοφώνῳ.	Hom. Il. ε.
ὑψηχής	Ὑψηχὲς κελάδος Στέντορ ὑπερμενέος.	Cyr. Theod.
	στέρνον pectus.	
σμερδαλέον	Σμερδαλέοις στέρνοισιν ἀέξετο.	Calab. lib. 6.
λάσιον	Μείλιχον ἐκ λασίων στέρνων ἀνενείκατο φωνήν.	Orph.
στερρόν	Εἰσ' ἄγε νῦν στερροῖσιν ὑπὸ στέρνοισι κάλωας.	idem.
λαχνῆεν	Σικελία τ' αὐτοῦ πλέξε στέρνα λαχνάεντα.	Pind. Pyth.
ἱμερόεν	-- στέρνῳ προσπτύσσεται ἱμερόεντι.	Orph. λιθων.
	Nonn. Dionys. ὑγροβαφές.	
	στεροπή fulgur, fulgor.	
σμερδαλέη	Σμερδαλέης στεροπῇσι, καὶ ἀργαλέοισι κεραυνοῖς.	Calab. lib. 1.
μαρμαρέη	Τεύχεα μαρμαρέῃσιν ἐειδόμενα στεροπῇσι.	Idem libr. 6.
θεσπεσίη	Τεύχεα θεσπεσίῃσιν ἐειδόμενα στεροπῇσι.	Idem lib. 11.
θοή	Ὣς εἰπών, στεροπήν τε θοήν, ὀλοόν τε κεραυνόν.	Idem lib. 14.
χειμερίη	Χειμερίην στεροπὴν θαμινὸν μεταπαιφάσσεσθαι.	Apoll. lib. 3.
ὀξεῖα	Ἔνθα μιν ὀξεῖαι στεροπαί, ῥιπαί τε κεραυνῶν.	Opp. ἁλ. ε.
αἰθέριος	Στράπτων αἰθερίου στεροπῆς πανυπέρτατον αἴγλην.	Orph. hymn.
φλεγέθουσα	Νάμασι παννεφέλοις στεροπὴν φλεγέθουσαν ἀναίθων.	Ibid.
	Nonn. Dionys. ἀκίχητος.	

	στεφάνη *galea coronata.*	
εὔχαλκος	Αὐχέν' ὑπὸ στεφάνης εὐχάλκου, λῦσε δὲ γυῖα.	Hom. Il. η.
χαλκείη	-- στεφάνην κεφαλῆφιν ἀείρας	Id. Iliad. κ.
	Θήσατο χαλκείην.	
χαλκοβάρεια	Νύξ', οὐδὲ στεφάνη δόρυ οἱ σχέθε χαλκοβάρεια.	Eod.
εὔτυκτος	Κρατὶ δ' ἐπ' ἀθανάτῳ στεφάνην εὔτυκτον ἔθηκαν.	Idem hymn.
θυσανόεσσα	Ἀμφὶ δέ οἱ στεφάνην κεφαλῇ ἔχε θυσανόεσσαν.	Orph.
	στέφανος, στεφάνη, στεφάνωμα, στέφος *corona, coronamentum.*	
ῥόδινος	Στεφάνοις μὲν κροτάφοισι	Anacr.
	Ῥοδίνοις συναρμόσαντες.	
νεοθηλής	Ἀμφὶ δέ οἱ στεφάνους νεοθηλέας ἄνθεσι ποίης	Hesiod. Th.
ἱμερτός	Ἱμερτοὺς παρέθηκε.	
πορφύρεος	Ξανθῇσί τε κόμαις πορφυρέοις στεφάνοις.	Theogn.
γαμήλιον	Καὶ στέφος ἀσκήσασα γαμήλιον ἤλυθε Πειθώ.	Coluth.
ἀνήθινος, ῥοδόεις	-- ἀνήθινον ἢ ῥοδόεντα	Theoc. εἰδ. ζ.
	Ἢ καὶ λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων.	
ἁδὺ πνέων	Ἑρψοῦμες στεφάνως δρεψεύμεναι ἁδὺ πνέοντας	Id. εἰδ. ιη.
εὐανθής	Πλέξας εὐανθῆ στέφανον τανυφύλλου ἐλαίης.	Orph. Arg.
ὀξυέθειρον	Καὶ στέφος ὀξυέθειρον ὁμόπλοκον εἶχεν ἀκάνθης.	Nonnus.
λιθοκόλλητον	Χειρῶ περιεσήχθη λιθοκόλλητον στέφος.	Cyr. Theod.
ἀκάνθινον	Καὶ στέφανον φορέσῃ τὸν ἀκάνθινον.	Sibyll.
θεοδόμος	Ἤρεψαν κατὰ γῆς θεοδόμον στέφανον.	Epigr. lib. 1.
εὐπέταλος	Εὐόδμοις δὲ μύροισι, καὶ εὐπετάλοις στεφάνοισι.	Epigr. lib. 2.
χρυσόδετος	Αὐχένα χρυσοδέτοις ἐκ πολέμου στεφάνοις.	Epigr. lib. 3.
θαλερός	Πολλάκι καὶ θαλεροῖς θῆκαν ἴων στεφάνοις.	Epigr. lib. 4.
εὐκάματος	Πολλοῖς εὐκαμάτοις βειθόμενον στεφάνοις.	Christod.
ἡδύπνοος	Ἡ γὰρ παῖς κρείσσων ἡδυπνόων στεφάνων.	Epigr. lib. 7.
εἰαρινός	Ἐκ λειμῶνος ἰδεῖν εἰαρινὸν στέφανον.	Eod.
ἀγέρωχον	Γλυκὺ στεφάνωμ' ἀγέρωχον.	Pind. Pyth.
τηλαυγής	Τηλαυγέσιν ἀνέδησεν Ὀρτυγίαν στεφάνοις.	Ibid.
Πύθιος	Κατ' αἶσαν υἱὸν ἤδη τυχόντα στεφάνων Πυθίων.	Ibid.

κλυτόκαρπος	Οἴκαδε κλυτοκάρπων οὐ νέοντ' ἄνευ στεφάνων.	Id. Nem.
θεμίπλεκτος	Πέμψαν θεμιπλέκτοις ἀμφὶ Λατοΐδα στεφάνοις	Ibid.
ἁβρός	Ἀλίκων τῷ τις ἁβρὸν ἀμφὶ παγκρατίου Κλεάν-	Id. Isthm.
	δρῳ πλεκέτω μυρσίνας στέφανον.	
καλλίχορος	οὐκ ἐπὶ καλλιχόροις στεφάνοισι νεάνιδος ἐν ὥραις	Eurip. Phœ.
ἀρήϊος	Πόλις ἀλλ' ἐπ' ἄκροις ἕστακ' ἀρηΐοις στεφάνοισι.	Ibid.
καλλίνικον	Οἰωνὸν ἔθεμεν καλλίνικα σὰ στέφη.	Ibid.
χρυσεότευκτος	Χρυσεότευκτον στέφανον περιθέσθαι.	Id. Medea.
χλωρόκομος	Χλωροκόμῳ στεφάνῳ δάφνας κοσμηθεῖσαν.	Id. Iph. Aul.
	Basilius M. Comment. in Psalm. 61.	
ἀθλητικός	Οὔτε ἀθλητικοὶ στέφανοι ἐκ τῆς περὶ τὸ αὐλεῖν	
	σπουδῆς κατορθοῦνται.	
	Nonn. Dion. αὐτοέλικτον, οὐρανόφοιτον, χλοερὸν, παναίολον, εὐποίητον, φεραυγὴς, ἀστερόεν, πυροδόκος.	

στῆθος *pectus.*

λάσιον	-- ἐν δέ οἱ ἦτορ	Hom. Il. α.
	Στήθεσσιν λασίοισι διάνδιχα μερμήριξεν.	
ἱμερόεν	Στήθεά θ' ἱμερόεντα καὶ ὄμματα μαρμαίροντα.	Id. Iliad. γ.
φίλον	Οἶδα γὰρ ὡς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισι.	Iliad. δ.
μεταμάζιον	Ἀλλ' ἔβαλε στῆθος μεταμάζιον.	Iliad. ε.
λαχνῆεν	Αὐχένα τε στιβαρὸν, καὶ στήθεα λαχνήεντα. (δέσθαι.	Iliad. σ.
ἁπαλόν	Στήθεσιν ἀμφ' ἁπαλοῖσιν ἐλάμπετο, θαῦμα ἰ-	Id. hymn.
ἀργύφεον	Δειρῇ δ' ἀμφ' ἁπαλῇ, καὶ στήθεσιν ἀργυφέοισι.	Ibid.
γλαφυρόν	Αὐχένα δὲ γλαφυροῖσιν ἐπὶ στήθεσφιν ἔπηξεν.	Tryphiod.
πελώριον	Στήθεα δ' ἐσφαίρωτο πελώρια, καὶ πλατὺ νῶτον	Theoc. εἰδ. κζ
ἄχραντον	Στήθεσιν ἀχράντοισι πεσὼν πεφιλημένος ἀνήρ.	Nonnus.
γοερόν	Καὶ φίλον ἐν γοεροῖς στήθεσι θυμὸν ἔδω.	Dolsc.
ζοφόεν	Στήθεα γὰρ ζοφόεντα θεὸς φωστῆρσιν ἀνοίξει.	Sibyll.
ἀμβρόσιον	Ἥ τέ οἱ ἀμβροσίοισι περὶ στήθεσσιν ἔερτο.	Apoll. lib. 3.
εὐαγές.	Στήθεσιν εὐαγέεσσιν ἀεὶ νημερτέα βάζων.	Apolinar.
χιόνεον	Ἀεραμένη, κομίσαις στήθεσι χιονέοις.	Epigr. lib. 7.
στίλβον	Στήθεα δὲ στίλβοντα πολὺ πλέον ἢ τὸ σελάνας.	Theoc. εἰδ. β.
	Nonn. D. εὐθώρηξ, παχνῆεν, παιδοκόμον.	

	στήλη columna.	
ἀκίνητος	Στήλαις δ' ἀκινήτοισιν ὀχμάσει πέδον.	Lycophr.
	Στησίχορος Stesichorus.	
λιγύθροος	Στησίχορον δ' ἐνόησα λιγύθροον, ὅν ποτε γαῖα Σικελίη μὲν ἔφερβε.	Christod.
	στιβάς stramentum, stragulum.	
ῥωγαλέη	Ῥωγαλέαις τ' ἔστρωσεν ὑπὸ στιβάδεσσι πέτηλα.	Orph. Arg.
	στίχες ordines.	
κρατεραί	Ἕστασ' τ'. ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων.	Hom. Il. δ.
οὐκ ἀλαπαδναί	Πὰρ δὲ Κεφαλλήνων ἀμφὶ στίχες οὐκ ἀλαπαδναί.	Eod.
πυκναί	-- τῶν δὲ στίχες εἵατο πυκναί Ἀσπίσι.	Id. Iliad. η.
δολιχαί	Ἤειρε πεπλαμένη δολιχὰς στίχας.	Calab.
ἀπεράδες	Ἧχι Γανελλιώων ἀπεράδες στίχες.	Nonnus.
	Idem Dionys. ποικιλόφωνοι, εὐπήληκες, ἀγελάδες, θυρσοφόροι, λισέθραι.	
	στολή stola.	
γυναικόμιμος	Ἐπὶ τὴν γυναικομίμῳ στολῇ.	Eurip. Bacch
	στόμα os.	
ἐρόεν	Μουσάων θεράποντες ἀπὸ στομάτων ἐροέντων.	Hom. hymn
ἁπαλόν	Ἐξ ἁπαλῶν στομάτων, περὶ δέ σφισιν ἄγνυτο ἠχώ.	Hesiod. Cly.
ἡδὺ πνέον	Ἁβροχαίτης δ' ἅμα κοῦρος Στομάτων ἁδὺ πνεόντων.	Anacr.
χαλινοφάγον	Γαῖα χαλινοφάγων ἀφρὸν ἀπὸ στομάτων.	Callimach.
αὐαλέον	Μηδ' ὅκ' ἀφ' αὐαλέων στομάτων πτύωμες ἅπασι.	Idem.
καλόν	Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα, Θύρσι, γένοιτο.	Theoc. εἰδ. α.
καπυρόν	Καὶ γὰρ ἐγὼ Μοισᾶν καπυρὸν στόμα.	Id. εἰδ. ζ.
γοερόν	Καὶ γοεροῖς στομάτεσσι μελίσδετε πένθιμον ᾠδάν.	Id. εἰδ. ιθ.
σεμνόν	Παρθενίης στόμα σεμνὸν ἐπεσβολίας ἀλεείνειν.	Nazianz.
χρησμοφόρον	Ἀλλὰ χρησμοφόρων στομάτων θεοτευχέα μολπήν.	Nonnus.
θεσμοφόρον	Ἄλλοι θεσμοφόρων στομάτων πετάσαντες ὀχῆας.	Idem.
θεμιστοπόλον	Οὔ τινα μὲν κρίνοιμι, θεμιστοπόλον στόμα λύσας.	Idem.
θεῖον	Εἶπεν ἄναξ, ὃ θεῖον ὑπὸ στόμα διψάδι γαίῃ.	Idem.

φθονερόν

φθονερόν	Καὶ φθονεροῖς στομάτεσσι δολοπλόκος εἶπεν Ἰού-δας.	Idem.
εὔφημον	Εὐφήμοις στομάτεσσιν ἀνέκλαγε σώφρονα ἠχώ.	Idem.
ὀμφῆεν	Εἶπεν ἄναξ ἑτάροισι, καὶ ὀμφῆεν στόμα λύσας.	Idem.
ἀφραδές	Ὄρχαμος ἀφραδέων στομάτων ἀλαλητὸν ἀκούων	Idem.
ἀμβρόσιον	Εἶπε, καὶ ἀμβροσίων στομάτων φύσημα τιταίνων.	Idem.
δόλιον	Καὶ δολίοις στομάτεσσιν ἀνέκραγον ἀρχιερῆες.	Idem.
βραδύφωνον	Μωϋσέως βραδύφωνον ἔφυ στόμα &c.	Cyr. Theod.
φάγον	Πῦρ ὀλοὸν, πολέμοιο φάγον στόμα, τέκνον ἐχί-δνης. (πάσαις.	Idem.
βραδύγλωσσον	Αὐτὰρ ἐμὸν βραδύγλωσσον ἐπὶ στόμα γῆρω ὀ-	Idem.
ἄγριον	-- ἢ ταῦτ' ἔλεγξας ἄγριον στόμα;	Idem.
χρυσοῦν	Ἅπας δ' ὁ κόσμος ἓν μόνον χρυσοῦν στόμα.	Rhetor.
ὑπερφίαλον	Καὶ μέγ' ἀπειλεύντων στομάτεσσιν ὑπερφιάλοισι.	Dolsc.
θεηγόρον	Θεηγόρον ἀμπλύξας στόμ' ἐμοῖς χείλεσσιν ἐνίψαι.	Idem.
μελίφθεγκτον	Ὅσσα μελιφθέγκτοιο διὰ στόματος μεγάλοιο.	Sibyll.
τέρεν	Κῦσαι ἐπιθύουσα τέρεν στόμα.	Apoll. lib. 1.
ἱμερόεν	Πολλάκι δ' ἱμερόεν μὲν ἀνὰ στόμα θῦεν ἐνισπεῖν.	Id. lib. 3.
πικρόν	Τῶν δὲ θεὸς συνέτριψεν ὑπὸ στόμα πικρὸν ὀδόντας.	Apolinar.
λιγυρόν	Ἀμβροσίην στόματος ἐκ λιγυροῖο χέων.	Politian.
φίλιον	Νῦν γὰρ στόματος φιλίου χρήζω σέθεν.	Nazianz.
λάβρον	Ὄμματα καὶ στόμα λάβρον ἐν ὀφθαλμοῖσι μέσσοισι.	Opp. ἁλ. β.
βαρύφθογγον	Μιγνύμεναι στομάτεσσι βαρυφθόγγοις ἀλόχοιο.	Id. κυνηγ. α.
κάρχαρον, οὐλ. τ.	Κάρχαρον οὐλόμενον ταναὸν στόμα.	Id. κυνηγ. γ.
ἄφθεγκτον	Πᾶν ἔπος ἀφθέγκτῳ τῷδε λέγω στόματι.	Epigr. lib. 1.
μιαρόν	Πολλοὺς ἐκδώσει τοῖς μιαροῖς στόμασιν.	Eod.
ὑμνοπόλον	Ὄλλυθ' ὑμνοπόλους ὑμνοπόλοις στόμασιν.	Eod.
ἀχαλίνωτον	Τῶν δ' ἀχαλινώτων στομάτων χάριν αὐτίκα παρα-θείς.	Epigr. lib. 2.
πικρόχολον	Δειμαίνω, πικροχόλου τικτόμενον στόματος.	Epigr. lib. 3.
κύκνειον	Ἄρτι δὲ κυκνείῳ φθεγγομένην στόματι.	Eod.
ζαπληθές	Στησίχορον ζαπληθὲς ἀμέτρητον στόμα Μούσης.	Eod.
πολύκρουνον	Καλὰ πολυκρούνων ἐκπροφερεῖς στομάτων.	Epigr. lib. 4.
μελισταγές	Ψαῦε μελισταγέων στομάτων δέμας.	Epigr. lib. 7.

νεκτάρεον	Ψυχὴ δ' ἀκῆ, στόματος νεκταρέου προέθυεν.	Eod.
αἰόλον	Ἔλυσε χρησμῶν, ὡς πρὶν, αἰόλον στόμα.	Lycophr.
Βακχεῖον	Ἡ δ' ἔνθεον χάσασα Βακχεῖον στόμα.	Idem.
ἀχάλινον	Ἀχαλίνων στομάτων, ἀνόμου τ' ἀφροσύνας τὸ τέλος, δυστυχία.	Eur. Bacch.
ἀκρατὲς, ἀπύλ.	Ἔχοντ' ἀχάλινον, ἀκρατὲς, ἀπύλωτον στόμα.	Aristoph. R.
μιαρόν	Sibylla (citante Lactantio lib. 4. de vera sap. cap. 18) Καὶ στόμασιν μιαροῖσι τὰ πτύσματα φαρμακόεντα.	
	Nonn. Dionysiac. ἐρωμανὲς, θοῦρον, ἄσπονδον, κακόγλωσσον, ἀφρόκομον, θηγαλέον, ἰοβόλον, φιλοκέρτομον, σφαλερόν.	

στόμα ostium.

ναύπορον	Ὡς Ἀργὼ λίμνης στόμα ναύπορον ἐξερέουσα.	Apoll. lib. 4.
ἀγχιβαθές	Φωνήσας πόντον τε, καὶ ἀγχιβαθὲς στόμα λίμνης.	Eod.
ἀτραπιτόν	Ἀργὼ καὶ νιφόεντος ἀτραπιτὸν στόμα πόντου.	Theoc. εἰδ. κζ.
	Nonnus Dionys. αἱμοβαφές.	

στόνος gemitus, lamentum.

Nonn. Dionys. βαρύδουπος.

στρατεία expeditio bellica, militia.

πικρή	Πικρὰν στρατείαν δ' εἶδον οἵτινες πόλιν Μίαν λαβόντες.	Eubulus.
παμφάγος	Ἡ τοῦ λιμοῦ δὲ παμφάγος στρατηγία.	Niceph.
	Nonn. Dionys. πολύμορφος.	

στρατιά, στρατός, exercitus.

εὐρύς	Ἢ πολὺ λώϊόν ἐστι κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν.	Hom. Il. α.
ἀεικέλιος	-- αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου Σημαίνειν.	Id. Iliad. ξ.
ὑβριστής	Αὐτὸς δὲ στρατὸν ὑβριστὴν Μήδων ἀπέρυκε.	Theogn.
ἱερός	Ἀργαλέων Σολύμων ἱερὸν στρατόν.	Calab. lib. 2.
ὀλοός	Φῆσθα σὺ μετὰ Δαναῶν ὀλοὸν στρατὸν ἔνδοθι νηῶν	Id. lib. 4.

αἰνός	Δυσμενέων στρατὸν αἰνόν, ἐϋσθενέων τ' Ἀργείων.	Id. lib. 9.
αἰχμητής	Τῇδε γὰρ ὡμάρτησαν ἀμαρτάδες, ὡς ὅτ' ἀρίστῳ Αἰχμητὴς στρατός.	Nazianz.
ἀρήϊος	Καὶ στρατός ἐστιν ἄριστος ἀρήϊος.	Idem.
καρτερός	-- ὡς στρατὸν ἔγνω Καρτερὸν ἡγητῆρσιν &c.	Idem.
ἀσπιστήρ, οἰστρήεις	Καὶ στρατὸν ἀσπιστῆρα δεδεγμένος ἀρχιερήων Καὶ πολλὴν οἰστρήεντα.	Nonnus.
σακέσπαλος	Καὶ στρατιὴν ἐρέεινε σακέσπαλον ὀξεῖ μύθῳ.	Idem.
φιλοκέρτομος	Καὶ στρατὸς ἀντιβίων φιλοκέρτομος εἶχεν Ἰησοῦν.	Idem.
μιαιφόνος	Καὶ στρατὸς ἐγγὺς ἵκανε μιαιφόνος.	Idem.
ἐγχεσίμωρος	Καὶ στρατὸς ἀντιβίην ἐμοὶ ἐγχεσίμωρος ἐείζη.	Dolsc.
φιλοπτόλεμος	Κυδρὲ φιλοπτολέμου ὦ στρατοῦ ἀρχὲ θεός.	Idem.
μεγαλοσθενής	Μέλψατέ μιν δῆμοι μεγαλοσθενέων στρατιάων.	Apolinar.
ἀνάριθμος	Ἀφ' οὗ πάσι ἐκπέρσει γ' ἀναρίθμῳ στρατῷ.	Nazianz.
φρουρός	Ἔρχονται τεκέων φρουρὸς στρατός.	Opp. ἁλ. α.
ἀκειρεκόμας	Ἄλλον ἀκειρεκόμας Ἀβάρων στρατὸς ἔκτοθεν Ἴστρου.	Epigr. lib. 4
πολύρραιστος	Ὁ χιλίαρχος τοῦ πολυρραίστου στρατοῦ.	Lycophr.
ὁπλίτης	Σωτῆρ' ὅταν κάμνωσιν ὁπλίτῃ στρατῷ.	Idem.
πολύγλωσσος	Χρησμοῖς ἰάψει σὺν πολυγλώσσῳ στρατῷ.	Idem.
ἀμείλιχος	Ἐειβρόμου νεφέλας στρατὸς ἀμείλιχος.	Pind. Pyth.
περσέπολις	Ὁ περσέπολις ἤδη βασίλειος στρατὸς εἰς ἀντίπορον γείτονα χθόνα &c.	Æsch. Pers.
χιλιόναυς	Ὦ χιλιόναυν στρατὸν ὁρμήσας εἰς τὴν Ἀσίαν.	Eur. Oreste.
λεύκασπις	Λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν.	Id. Phœniss.

Nonn. Dionys. ἀστυφέλικτος, εὔοπλος, ἀγκυλότοξος, ὑλοκοίτης, ἐνόπλιος, δορυθρασής, εὔχαλκος, πολύτροπος, φύζηλις Σατύρων, ὑγροκέλευθος, κορυθαίολος, ἐγχεικύδιμος.

Στρυμών *Strymon fl.*

καλλιγέφυρος,	Ὅτε καλλιγέφυρος ποταμὸς πορεύει Στρυμών, ὅς ποτε τὰς μελῳδοὺς Μούσας δι' ἀκηράτων	Eur. Rheso.

ὑδροειδής	δινηθεὶς ὑδροειδὴς κόλπων.	
Θρήξ	Θρηκός τε ποταμοῦ Στρυμόνος, φιλῶ λέγειν.	Ibid.

στύπος *stipes.*

ἱερόμηκες	Μέσσον δ' ἱερόμηκες ἐπὶ στύπος ἤσει πολλῷ.	Orph. Arg.

Στύξ *Styx.*

ἄφθιτος, Ὠκεαν.	Ὥς γὰρ ἐβούλευσε Στὺξ ἄφθιτος Ὠκεανίνη.	Hesiod. Th.
στυγερή, δεινή	Ἔνθα δὲ ναιετάει στυγερὴ θεὸς, ἀθανάτοισι Δεινὴ, Στύξ.	Ibid.
κελαινή	Στυγὸς κελαινῆς, ἔνθα τερμιοῦς.	Lycophr.

συζυγίη *coniugium.*

Nonnus Dionys. ἄζυγος.

Συήνη *Syene, urbs Ægypti.*

βαθύκρημνος	Ἑλκόμενον γὰρ μέχρι βαθυκρήμνοιο Συήνης.	Dionys.

συκῆ *ficus arbor.*

γλυκερή	Συκαῖ τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι.	Hom. Od. η.
σκιοειδής	Πρὶν καλέσαι σε Φίλιππον ὑπὸ σκιοειδέϊ συκῇ.	Nonnus.
εὔκαρπος	Basil. M. Hexaëm. Καὶ γὰρ περὶ τῶν συκῶν φασὶν, ὡς οἱ μὲν τὰς ἀγρίας συκᾶς παραφυτεύουσι ταῖς ἡμέροις, οἱ δὲ τοὺς ὀλύνθους ἐκδήσαντες, τῶν εὐκάρπων καὶ ἡμέρων συκῶν, τὴν ἀτονίαν ἰῶνται.	

Nonn. Dionys. ἡδυτόκος.

σῦκον *ficus.*

μελιηδές	--καὶ μελιηδέας Πρώϊον εὐφύλλων σῦκον ἀπ' ἀκρεμόνων.	Epigr. lib. 6.
μελιχρόν	Σπονδὴν τὴν ἀσάλευτον ἀφύλισα, καὶ τὰ μελιχρὰ Σῦκα.	Eod.
ῥυσιδόφλ. ἐπ.	Καὶ ῥυσιδόφλοιον σῦκον ἐπομφάλιον.	Eod.
γεραιόφλοιον	Ῥοιὴν ξανθοχίτωνα, γεραιόφλοιά τε σῦκα.	Eod.

συμφορά (Attice ξυμφορά) *calamitas.*

πικρή	Στένω δὲ πικρῇ συμφορᾷ νικωμένη.	Nazianz.
σκληρή	-- τοῖς δὲ συμφοραῖς	Epigr. lib. 1.
	Σκληραῖς πάρεισιν.	
λυγρή	Λυγρὴν περὶ νόσου συμφορὰν δυρόμενος.	Lycophr.
οἰκτρή	Τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκύ.	Pind. Olym.
ἀγέλαστος	Πέπλων ἀγελάστοις ξυμφοραῖς πεπλεγμένων.	Æsch. χοηφόρ.
θεήλατος	Οὐδὲ πάθος, οὐδὲ ξυμφορὰ θεήλατος.	Eur. Oreste.
παιδοποιός	Ὦ παιδοποιοὶ συμφοραί, πόνοι βροτῶν.	Id. Rheso.

Σύρα *Syra insula Cycladum.*

ἰσχνή, ἡλιόκαυστος	-- Σύραν καλέουσί τι πάντες	Theoc. εἰδ. ι.
	Ἰσχναὶ ἀλιόκαυστον.	

Συρακοῦσαι *Syracusæ.*

κλειναί	Συνοικιστὴς τε τᾶν κλεινᾶν Συρακουσᾶν.	Pind. Olym.
μεγαλοπόλιες	Μεγαλοπόλιες ὦ Συράκοσαι, βαθυπολέμου τέμενος Ἄρεος ἀνδρῶν.	Idem Pyth.
ἵππων τροφοί	Ἵππων τε σιδαροχαρμᾶν δαιμόνιαι τροφοί.	Ibid.

Συρία *Syria.*

εὔβοτος, εὔμηλ.	Εὔβοτος, εὔμηλος, οἰνοπληθής, πολύπυρος.	Hom. Od. ο.
εὐλίβανος	Εἴτε καὶ εὐλιβάνου Συρίης ἕδος ἀμφιπολεύεις.	Orph. hym.

σύριγξ *fistula.*

λιγυρή	Τοὶ μὲν ὑπὸ λιγυρῶν συρίγγων ἵεσαν αὐδήν.	Hesiod. Scu.
ἠπύτης	Δαίετο πὰρ κλισίῃσιν, ἐπίαχε δ᾽ ἠπύτα σύριγξ.	Calab. lib. 6.
μελίπνοος, καλή, ἑλικτή	-- τάνδε φέρ᾽ εὐπάκτοιο μελίπνοον	Theoc. εἰδ. α.
	Ἐκ κηρῶ σύριγγα καλάν, περὶ χεῖλος ἑλικτάν.	
ἐννεάφωνος	Σύριγγ᾽ ἂν ἐποίησα καλὰν ἐγὼ ἐννεάφωνον.	Id. εἰδ. η.
ποιμενική	Ποιμενικὴν σύριγγα βοηθόον ἐσθλὸν ὀπάσσας.	Nazianz.
εὐκέλαδος	Αὐτὸς ἐπεὶ σύριγγι μελίσδεται εὐκελάδῳ Πάν.	Epigr. lib. 4.

νυκτίδρομος	Νυκτιδρόμου σύριγγος ἰὰν κατακούω.	Eur. Rheso.
	Nonn. Dionys. τερψίνοος, ἡδυμελής, ἀκρόπορος, Πανιάς, ἡδυέπεια, ἠχήεσσα, βοείη, χαλκοβαρής, ἐγρεκύδοιμος, ὀξυτενής, ἀμφιλαφής, Βακχιάς, παλινάγρετος, ἀγέραστος, Μυγδονίς, αἰολόμολπος, ἁλίβρομος.	

σῦς, ὗς, sus.

σίαλος	Ἐν δὲ συὸς σιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ.	Hom. Il. ι.
θαλέθων ἀλοιφῇ	Ἔσφαζον, πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ.	Eod.
ἄγριος, ἀργιόδ.	Ὦρσεν ἐπὶ χλούνην σῦν ἄγριον ἀργιόδοντα.	Eod.
ἐελκυδής	Κεῖνον δ' αὖ περὶ κόλπον ἴδοις ἐελκυδέα τύμβον	Dionys.
αὐτοφόνος	Ληφθεὶς, αὐτοφόνον τύμβον ἐπεσπάσατο.	Epigr. lib. 1.
ἀνόστητος	Ζωοτόκον ἀΐοντες ἀνοστήτων ἀπὸ τύμβων.	Nonnus.
φιλόθρηνος	Ἰησοῖς ἀγόρευε φιλοθρήνῳ παρὰ τύμβῳ.	Idem.
γηρήμων	Τέτρατον ἦμαρ ἔχοντα γηρήμονος ἔνδοθι τύμβου.	Idem.
εὐλαίγξ	-- ἐν εὐλαΐγγι δὲ τύμβῳ	Idem.
	Οὔπω νεκρὸς ἔκειτο.	
ἀπενθής	Ἄψοφα καλλείψαντες ἀπενθέος ἄντυγα τύμβου.	Idem.
ζοφόεις	Εἰ σὺ νέκυν ζοφόεντος ἐκούφισας ἔνδοθι τύμβου.	Idem.
ζωηφόρος	Βῶμεν πρὸς ὀρθὸν τύμβον ἐς ζωηφόρον.	Nazianz.
ἀμφίπολος	Τύμβον ἀμφίπολον πολυξενωτάτῳ παρὰ βωμῷ.	Pind. Olym.
ἀγλαός	Οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον.	Idem Nem.
στηλουργός	Τοιάνδε στηλουργὸς ὅδ' ἔκρυφε Βιτθίδα τύμβος.	Epigr. lib. 3.
	Nonn. Dionys. νεόδμητος, νεοπενθής.	

τύμμα plaga, ictus.

ἀνδηθές	Τοῖσι δ' ἄρ' ἐσσυμένως καὶ ἀνδηθέα τύμματα φωτῶν.	Calab. lib. 4.
λευγαλέον	Τύμμασι λευγαλέοισιν ἀμυνέμεναι πεφύασι.	Opp. ἁλ. β.
ἀναιδές	Νέρθεν ὑπὸ ῥίζῃσιν ἀναιδέϊ τύμματι κείνῳ.	Eod.
κελαινόν	-- οἱ δὲ κελαινῷ	Eod.
	Τύμματι πειφράασσοισι μεμηνότες.	

τύμπανον tympanum.

εὐκέλαδον, Διδυμήϊον	Τύμπανον εὐκέλαδον, Διδυμήϊον, ὠλεσίκαρπον.	Opp. κυνηγ. γ.
ἠχῆεν	Τύμπανά τ' ἠχήεντα, καὶ αἵματι φοινιχθέντα.	Epigr. lib. 6.
βαρύβρομον	Μέλπετε τὸν Διόνυσον βαρυβρόμων ὑπὸ τυμπάνων.	Eur. Bacch.

βυρσοτεγής	Τύμπανά τε λάβετε βυρσοτεγῆ.	Id. Helena.
	Nonn. Dionys. φιλεύϊον.	

τύπος typus, effigies.

θνητός, λάλος	-- καὶ φθέγγεται ἔμφρονι σιγῇ Θνητὸν μερόπεσσι λάλον τύπον	Nonnus.
	Apollo apud Herodotum lib. 1. (ται.	
αὐτότυπος	Καὶ τύπος αὐτότυπος, καὶ πῆμ' ἐπὶ πήμασι κεῖ-	
ἐναρηφόρος	Ἄλλον ὑπὲρ νίκας ἐναρηφόρον ἔνδοθι Σούσων, Ὁ θρασὺς αἰνήσῃ Μῆδος ἄνακτι τύπον.	Epigr. lib. 4.
πολυκλήεις	Σεῖο πολυκλήεντα τύπον στήσαντο Χερωνεῦ.	Eod.
σκιόεις	Ὠρονόμῳ σοφίῃ, καὶ σκιόεντι τύπῳ.	Eod.
ἐρατός	Ἠγασάμην δ' Ἑλένης ἐρατὸν τύπον.	Christod.
νοερός	Ναὶ μὰ τὸν ἐν χαλκῷ νοερὸν τύπον.	Idem.
ἁβρός	Καὶ τύπος ἁβρὸς ἔλαμπεν ἀερσονόοιο Κρατίνου.	Idem.
ἄφθογγος	Καὶ φύσιν ἀφθόγγοισι τύποις μιμήσατο τέχνη.	Epigr. lib. 6.
χρυσοκόλλητος	Πέλτη δ' ἐπ' ὤμων χρυσοκολλήτοις τύποις.	Eur. Rheso.
	Nonnus Dionys. σκιοειδής, εὐρυμέτωπος, τεχνήμων, δολόεις, ἠχόεις.	

τύραννος tyrannus.

δημοφάγος	Δημοφάγον δὲ τύραννον ὅπως ἐθέλεις κατακλῖναι	Theogn.
παιδοφόνος	Μωσῆς παιδοφόνου ποθ' ὑπέκφυγε δόγμα τυράννου.	Nazianz.
ὠμηστής	Τοῖσι κατ' ὠμηστῶν χρειὼ ἡμῖν ἔοικε τυράννων.	Dolsc.
λυμηνάμενος λ.	-- καὶ φῦλα τυράννων Σὸν λυμηναμένων ἀγελόθυμα λεών. (ραννων.	Idem.
ὠμόφρων	Καὶ τὰ ὑπ' ὠμοφρόνων κεκακωμένα φῦλα τυ-	Idem.
κρατερός	Τῷ βίῃ ἠγαθέῃ κρατεροὺς φθίσαντι τυράννους.	Idem.
ὀλοόφρων	Ἐλθὼν δ' οὐ Σικελῶν ὀλοόφρονα κεῖθι τύραννον.	Musurus.
βάρβαρος	Καὶ γὰρ ἐ τὸ σκῆπτρον ποθ' ὁ βάρβαρος εἷλε τύ- ραννος.	Politian.
ἀπαρτηρός	-- ἀπαρτηροῦ δ' ὅπασσον ἴσιν ὦκα τυράννου.	Opp. κυνηγ. δ.

Τύρος Tyrus.

ὠγυγίη	Καὶ Τύρον ὠγυγίην, Βηρυτοῦ τ' αἶαν ἐραννήν.	Dionys.

ἀφνειή

ἀφνειή	Οἳ ἀπ᾽ ἀφνειῆς Τύρου ἔνδοθι παρθένοι εἰσί.	Dolsc.
εὔπυργος	Ξοῦ τοῖς εὔπυργον ναιετάουσι Τύρον.	Idem.
	τυρὸς caseus.	
αἴγειος	Οἴνῳ πραμνείῳ, ἐπὶ δ᾽ αἴγειον κνῆ τυρόν.	Hom. Il. λ.
νεόπηκτος	Οὐδὲ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος.	Id. Batrach.
Σικελικός	Τυρὸς Σικελικὸς, μύρον ἐξ Ἀθηνῶν.	Antiph.
πίων	Οὗ τὸ πίονα τυρὸν ἀποδρέψασθε, καὶ αὐτὴν Ἰσχάδα.	Epigr. lib. 1.
ἁπαλός	Ἦν αὐτῇ τυροὺς ἁπαλοὺς εἴποιμεν ἐνέγκαι.	Epigr. lib. 2.
	Τυφὼν, Τυφάων: Τυφὼς, Τυφωεὺς *Typhoëus gigas.*	
δεινὸς, ἀργαλ.	Δεινόν τ᾽ ἀργαλέον τε Τυφάονα, πῆμα βροτοῖσι	Hom. hym.
ἀκάμας	Κέρβερος ὃν ῥ᾽ ἀκάμαντι Τυφωεῖ γείνατ᾽ Ἐχίδνα.	Calab. lib. 6.
ὀλοός	Ἀλλ᾽ ὅ μιν ἢ ὀλοοῖο Τυφωέος.	Apoll. lib. 2.
σμερδαλέος	Σμερδαλέον Τυφῶνα παρήπαφεν.	Opp. ἁλ. α.
ἄγειος	Θλάσσα τὸ Τυφῶνος ἀγείου δέμας.	Lycophr.
ἑκατογκέφαλος, ὄβριμος	Ἀλλ᾽ ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις ἶπον ἠνεμόεσσαν ἑκατογκεφάλα Τυφῶνος ὀβρίμου.	Pind. Olym.
πολέμιος θ. ἑκ.	Κεῖται θεῶν πολέμιος Τυφὼς ἑκατοντακάρανος	Idem Pyth.
Κίλιξ, πολυκ.	Τυφὼς Κίλιξ πολυκάρανος, οὔ μιν ἤλυξεν.	Ibid.
ὀβριμόθυμος	Ὦ τὸν ὑποχθόνιον ναίων δόμον ὀβριμόθυμε.	Orph. hym.
Ζεὺς χθόνιος	Et mox, Ζεῦ χθόνιε σκηπτοῦχε &c.	
ἔνθεος, παντ.	Εὔθεε, παντοκράτωρ, ἱερώτατε, ἀγλαότιμε, Εὔβουλ᾽.	Ibid.
ἑκατοντακ. θοῦρος	Ἑκατοντακάρηνον πρὸς βίαν χειρούμενον Τυφῶνα θοῦρον.	Æsch. Prom.
	Nonn. Dionys. ἀγχινεφὴς, πολύπηχυς, ὑέτιος, ὑψιμέδων, νεφεληγερέτης, ὑψικάρηνος, πέλωρ, ὑστερόμηνις, ἀρσιπότης, νυμφοκόμος, θεημάχος, γηγενὴς, ἠλίβατος, Κίλιξ.	
	τύχη *fortuna.*	
πολύστονος	Ἡ δ᾽ αὖτ᾽ ἔφησεν· ὦ πολυστόνου τύχης.	Gabrias.
ἄδικος	Ἀδίκου τύχης δίκαιος εἰληφὼς τρόπος.	Menand.

λαμπρή	Ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.	Idem.
φθονοῦσα	Ὡς ἡδὺ τὸ ζῆν μὴ φθονούσης τῆς τύχης.	Idem.
ἀπαίδευτος	-- ἀλλ' ἀπαιδεύτῳ τύχῃ Δουλεύομεν.	Apollod.
δαιμονία	Ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχου-	Pythag.
ὀϊζυρή	Ἢ ὀϊζυρῆς ἀντιπόωσι τύχης. (σιν.	Dolsc.
ἀντίπορος	Ἦμος ὑπ' ἀντιπόροιο τύχης λύχν' ἄγκα πάσχω.	Idem.
βιότου κυβερν.	Τὴν δὲ τύχην βιότοιο κυβερνήτειραν ἔχοντες.	Epigr. lib. 1.
βαθυκτέανος	Μήτε βαθυκτεάνοιο τύχης κουφίζεο ῥοίζῳ.	Eod.
Λυκοῦργος	Ἔργα· Λυκοῦργος μὴ λαθέτω σε τύχη.	Eod.
καπηλεύουσα	Τύχη καπηλεύουσα πάντα τὸν βίον.	Eod.
συγκυκῶσα	Ἀσυγκέραστον τὴν φύσιν κεκτημένη, Καὶ συγκυκῶσα καὶ μεταντλοῦσα πάλιν.	Eod.
ἀτυχής	Καὶ σὺ τύχη δέσποινα, τύχην ἀτυχῆ πόθεν ἔσχες;	Eod.
θερμοδότις	Θερμοδότις μερόπων νῦν ἀναφαινομένη.	Eod.
ἄστατος	Νῦν ὁσίως στενέεις σὺ τεὸν πάθος ἄστατε δαῖμον.	Eod.
κλυτοεργός	Πολλὴ σοὶ κλυτοεργὲ τύχη χάρις.	Eod.
ὀλισθηρή	Τέρψιν ὀλισθηρῆς οὐ δεδάηκε τύχης.	Eod.
εὐεργέτειρα	Σῷσιν ὑπ' ἀνεσίαις εὐεργέτειρα τύχη.	Eod.
ἀνώμαλος	Καὶ ῥεῦμ' ἄπιστον τῆς ἀνωμάλου τύχης.	Eod.
σώτειρα	Ἱμέρ' εὐρυσθενὲς ἀμφιπόλει σώτειρα τύχα.	Pind. Olym.
γλυκεῖα	Αἰδῶ δίδοις καὶ τύχαν τερπνῶν γλυκεῖαν.	Ibidem.
εὐμενής	Τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ κοῦφα βιβῶντα	Ibidem
πολύφθορος	Αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας.	Æsch. Prom.
κακόποτμος	Ἰὼ ἰὼ ταλαίνας κακόποτμοι τύχαι.	Id. Agam.
δυσπάλαιστος	Τύχα τύχα δυσπάλαιστος ἥκει, αἲ αἶ. (εὐχαῖς.	Eur. Alcest.
	Δεῦρο Τύχη, καλέω σ' ἀγαθὴν κράντειραν ἐπ' μειλιχίαν, ἐνοδῖτιν, ἐπ' εὐόλβοις κτεάτεσσιν, Ἄρτεμιν ἡγεμόνην, μεγαλώνυμον, εὐβουλῆος, αἵματος ἐκγεγαῶσαν, ἀπρόσμαχον εὖχος ἔχουσαν, (σιν. τυμβιδίαν, πολύπλαγκτον, ἀοίδιμον ἀνθρώποι- ἐν σοὶ γὰρ βίοτος θνητῶν παμποίκιλός ἐστι. οἷς μὲν γὰρ τεύχεις κτεάνων πλῆθος πολύολβον, οἷς δὲ κακὴν πενίην θυμῷ χόλον ὁρμαίνουσα. Nonn. Dionys. βιόπλαγκτος, ἐφήμερος.	Orph. hym.

ὕαινα

Υ.

ὕαινα *hyæna.*

δυσδερκής	μηλοφόνον τε λύκον, δυσδερκέα τ' αὖθις ὕαιναν.	Opp. κυνηγ. γ.
στικτή	Θαῦμα δὲ καὶ τόδ' ἄκουσα μετὰ στικτῇσιν ὑαίναις.	Eod.

ὑάκινθος *hyacinthus flos.*

πυκνός, μαλ.	-- ἠδ' ὑάκινθον Πυκνὸν καὶ μαλακόν.	Hom. Iliad. ξ
εὐώδης, θαλ.	-- τόδε κρόκος ἠδ' ὑάκινθος Εὐώδης θαλέων.	Idem hymn.
κάρνειος	Ἔνθα δὲ καρνείοιο παραγνάμψας ὑακίνθου.	Coluth.
γραπτή	Καὶ τὸ ἴον μέλαν ἐστὶ, καὶ ἁ γραπτὰ ὑάκινθος.	Theoc. εἰδ. ι.
θάλλων	Παρθένικαὶ θάλλοντα κόμαις ὑάκινθον ἔχοισαι.	Idem εἰδ. ιη.
ἀνθεμόεις	Ἐν δὲ ῥόδον τε κρίνον τε, καὶ ἀνθεμόενθ' ὑάκινθον	Cyr. Theod.
πολύθρηνος	Ψιλωθρὸν, καρπόν τε πολυθρήνου ὑακίνθου.	Nicand. Th.
πορφυρέη	-- ἐπιπλέξω δ' ὑάκινθον Πορφυρέην.	Epigr. lib. 7.
Ἰνδώη	Ἰνδώη δ' ὑάκινθος ἔχει χάριν αἴθοπος αἴγλης.	Eod.

Nonn. Dionys. φιλόκλαυτος, Ἀμυκλαῖος, φυτηκόμος, εὐχαίτης, ἱμερόεις, αὐδήεις.

At Ὑάκινθος gemma, κυανέη, ἐράσμιος, Ἀμυκλαίη.

ὕβρις *petulans iniuria.*

ὑπέρβιος	Μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες	Hom. Od. α.
ἀτάσθαλος	Ἔρχεσθαι. λίην γὰρ ἀτάσθαλον ὕβριν ἔχουσι.	Idem Od. π.
θυμαλγής	Ὕβριν ἀγασσάμενος θυμαλγέα, καὶ κακὰ ἔργα.	Odysseas ψ.
οὐλομένη	Ὕβριος οὐλομένης, λευγαλέου τε κόρου.	Theogn.
γαμοκλόπος	Εἰ μὴ Δηϊφόβοιο γαμοκλόποι ὕβριν ἐάσσας.	Tryphiod.
ἀνάρσιος	-- ἔφυγες γὰρ ἀνάρσιον ὕβριν Ἀχαιῶν.	Idem.
ἀμήχανος	Εἰλαπίνη δ' ἐπιδήμιος ἦν, καὶ ἀμήχανος ὕβρις	Idem.
ἀτερπής	Ἔχθος, ἀτασθαλίη, πλεόνων πόθος, ὕβρις ἀτερπής	Nazianz.
ἄσεμνος	Ἄσεμνος ὕβρις, δῆμα, κραυγὴ, θροῦς ὅσος.	Cyr. Theod.
αἰνή	Τὰς αὐτῶν ψυχὰς λυτρώσετ' ἀφ' ὕβριος αἰνῆς	Dolsc.
ἄατος	Τερπνῶς ἐψιόωνται, ὅτ' ἄατος ὕβρις ἀπείη.	Apoll. lib. 1.
στονόεσσα	Ἀλλ' ὕβρις στονόεσσα, καὶ Ἄρεος ἔργα μέμηλε.	Idem lib. 2.

ἀλεγεινή	--ὄφρ' ἀλεγεινὴν Ὕβριν ἀποφλύξωσι.	Idem lib. 3.
ἀποφώλιος	Μῶμος ἐν ἀνθρώποισι, λαῶν δ' ἀποφώλιος ὕβρις.	Apolinar.
ἀθέμιστος	Ἀμφὶ δὲ τῇ γλώσσῃ ἀθέμιστον ἔβλυσεν ὕβριν.	Idem.
ἀκόρητος	Μὴ δ' ἀκόρητον ἕλοιμι φιλοκτεανώτατον ὕβριν.	Idem.
ἄνομος	Τὴν ἄνομον Γαλατῶν ὕβριν ἀναινομένα.	Epigr. lib. 3.
κόρου μήτ. θρ.	Ἐθέλοντι δ' ἀλέξειν ὕβριν κόρου ματέρα θρασύμυθον.	Pind. Olym.
ναυσίστονος	Ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ ναυσίστονον ὕβριν	Idem Pyth.
κελαδεννή	Κελαδεννᾶς τ' ὀρφανοὶ ὕβριος &c.	Idem Isth.

ὑγίεια, ὑγεία *sanitas.*

χρυσέα	Ὑγίειαν ἄγων χρυσέαν κῶμόν τ'.	Pind. Pyth.
ἀγλαόδωρος	Σωμάτι δ' ἀρτεμίην τε, καὶ ἀγλαόδωρον ὑγείην.	Procl. Lyc.
ἠπιόχειρ	Εἰρήνη θάλλουσα, καὶ ἠπιόχειρ ὑγίεια.	Orph. hym.
ὀλβιόχειρος	Ὄλβον ἐπ' εἰρήνην τε, καὶ ὀλβιόχειρον ὑγείην.	Ibidem.
καλλιπλόκαμος	Εἰρήνην τ' ἐρατήν, καλλιπλόκαμόν θ' ὑγίειαν.	Ibidem.
	Ἱμερόεσσ', ἐρατή, πολυθάλμιε, παμβασίλεια· κλῦθι μάκαιρ' ὑγίεια, φερόλβιε, μῆτερ ἁπάντων.	Orphei hymnus ὑγιείας.

ἐκ σέο γὰρ νοῦσοι μὲν ἀποφθινύθουσι βροτοῖσι·
πᾶς δὲ δόμος θάλλει πολυγηθὴς εἵνεκα σεῖο.
καὶ τέχναι βρίθουσι· ποθεῖ δέ σε κόσμος, ἄνασσα·
μοῦνος δὲ στυγέει σ' ἀΐδης ψυχοφθόρος αἰεί·
εὐθαλής, εὐκταιοτάτη, θνητῶν ἀνάπαυμα.
σοῦ γὰρ ἄτερ πάντ' ἐστὶν ἀνωφελῆ ἀνθρώποισιν.
οὔτε γὰρ ὀλβοδότης πλοῦτος γλυκερὸς θαλίῃσιν,
οὔτε γέρων πολύμοχθος ἄτερ σέο γίνεται ἀνήρ.
πάντων γὰρ κρατέεις μούνη, καὶ πᾶσιν ἀνάσσεις.
ἀλλὰ θεά μόλε μυστιπόλοις ἐπιτάρροθος αἰεί,
ῥυομένη νούσων χαλεπῶν κακόποτμον ἀνίην.

Ariphronis Sicyonii Pæan in honorem bonæ valetudinis, iucũdissimus, & gratiarum plenissimus.

Ὑγίεια, πρεσβίστα μακάρων,
μετὰ σοῦ νέοιμι
τὸ λειπόμενον βιοτᾶς·
σὺ δέ μοι πρόφρων σύνοικος εἴης.
εἰ γάρ τις ἢ πλούτου χάρις, ἢ τεκέων,
τᾶς τ' εὐδαίμονός τ' ἀνθρώποις
βασιληΐδος ἀρχᾶς, ἢ πόθων
οὓς κρυφίοις Ἀφροδίτης ἄρκυσι θηρεύομεν·
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις,
ἢ πόνων ἀμπνοὰ πέφανται·
μετὰ σεῖο μάκαιρα Ὑγίεια
τέθηλε πάντα, καὶ λάμπει Χαρίτων ἔαρ·
σέθεν δὲ χωρὶς, οὔ τις εὐδαίμων.

Ὑδάσπης *Hydaspes fl.*

Nonnus Dionys. Ἰνδός, χρύσεος, λευκός, βαρύδουπος, θερμός, διϊπετής, ὑγρός, πικρός, μέλας, ἑώϊος, ὠκυρέεθρος, αὐχμηρός, εὐρυρέεθρος, ταυροφυής, φιλότεκνος, κύμβαχος, αὐτοκύλιστος, μενέχαρμος, ἀρήϊος.

ὕδρος *hydrus*: ὕδρη *hydra*.

ὀλοόφρων	Ἕλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονος ὕδρου.	Hom. Bœot.
λυγρὰ ἰδυῖα	Τὸ τρίτον ὕδρην αὖτις ἐγείνατο λυγρὰ ἰδυῖαν	Hesiod. Th.
Λερναίη	Λερναίην.	
πολυδειράς	Ἄγχι δέ οἱ πεπόνητο μένος πολυδειράδος ὕδρης.	Calab. lib. 6.
λυγρὸς, ἀνάλθης	Λυγρὸς ὕδρος, τόν φασιν ἀνάλθεά τε στυγερόν τε.	id. lib. 9.
αἰνόμορος	-- ἄμπεχε λοίγιον ὕδρου	Eod.
	Φάρμακον αἰνομόροιο.	
πολυκάρηνος	Ὕδρη πολυκάρηνος ἀδινάων αἱρεσιάων.	Cyr. Theod.
αἴθοψ	-- ἀλλ' αἴθοπος ὕδρης	Aratus.
	Αὐχένιον κατάγει σπείρην.	
πολυαύχενος	Δεύτερον, ἐν Λέρνῃ πολυαύχενον ὤλεσεν ὕδρην.	Epigr. lib. 4.
τεβάπνης	Καὶ τὴν τεβάπνην ὕδρον εὐνάσας φόνοις.	Lycophr.
μυριόκρανος,	Τάν τε μυριόκρανον πολύφωνον κύνα Λέρνας	Eurip. Herc.
πολύφωνος	ὕδραν ἐξεπύρωσε.	Fur.

κατωσκέφαλος	Γλαυχθεὶς ἐκατωσκεφάλου βαφαῖς ὕδρας.	Ibid.
	Nonnus Dionys. ἰοβόλος, φωλάς, Ἰναχίη, παλιναυξής.	
	ὕδωρ (poetice ὕδος & ὕδας) *aqua.*	
ἀγλαόν	Καλῇ ὑπὸ πλατανίστῳ, ὅθεν ῥέεν ἀγλαὸν ὕδωρ.	Hom. Il. β.
καλλίρροον	Οἵ ῥ' ἐς Γλωσσὸν περὶ καλλίρροον ὕδωρ.	Eod.
μέλαν	Ἀφνειοὶ πίνοντες ὕδωρ μέλαν Αἰσήποιο.	Eod.
ὄβριμον	Ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ.	Id. Iliad. δ.
δνοφερόν	Ἥτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.	Iliad. ι.
λιαρόν	Νίζ' ὕδατι λιαρῷ, ἐπὶ δ' ἤπια φάρμακα πάσσε.	Iliad. λ.
λάβρον	Ἤματ' ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ.	Iliad. π.
ἀκήρατον	Χερσὶν ὕδωρ ἐπιχεῦσαι ἀκήρατον.	Iliad. ω.
ὑγρόν	Γίνετο δ' ὑγρὸν ὕδωρ, καὶ δένδριον ὑψιπέτηλον.	Odyss. δ.
ἁλμυρόν	Ὡς ὁ μὲν ἔνθ' ἀπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ.	Eod.
λευκόν	Κρῆναι δ' ἑξείης πίσυρες ῥέον ὕδατι λευκῷ.	Odyss. ε
ψυχρόν	Εἰν ὕδατι ψυχρῷ βάπτει μεγάλα ἰάχοντα.	Odyss. ι.
γλυκερόν	Ἄγχ' ὕδατος γλυκεροῖο· καὶ ἐξαπέβησαν ἑταῖροι.	Odyss. μ.
ἀενάον	Ἐν δ' ὕδατ' ἀενάοντα· δύω δέ τε οἱ θύραι εἰσίν.	Odyss. ν.
μελιηδές	Ὕδατι τερπόμενος μελιηδεῖ.	Id. Batrach.
πορφύρεον	Ὕδασι πορφυρέοισιν ἐκλύζετο.	Ibid.
ἀμβρόσιον	Ἀμβρόσιον πίνοντες ὕδωρ Ξάνθου ποταμοῖο.	Idem hymn.
λάλον	Λάλον πίοντες ὕδωρ, Μεμηνότες βοῶσιν.	Anacr.
πολυήρατον	Χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.	Hesiod. li. 2.
πολυώνυμον	Τηλόθεν ἐν χρυσέῃ προχόῳ πολυώνυμον ὕδωρ.	Id. Theogn.
ἄφθιτον, ὠγ.	-- Στυγὸς ἄφθιτον ὕδωρ Ὠγύγιον.	Ibid.
γλαυκόν	Γλαυκὸν ἀναπλύσσοντες ὕδωρ Ἀθαμαντίδος Ἕλλης.	Tryphiod.
ἀκάματον	Αἶψα δ' ἀργαλέῃ σθένει ὕδατος ἀκαμάτοιο.	Calab. lib. 7.
κρυερόν	Πίδακος ἐσσυμένης κρυερὸν περιτήκεται ὕδωρ.	Idem lib. 10.
ἠλέκτρινον	Ἐν δὲ καλὰ γλυκύμαλα· τὸ δ' ὥστ' ἠλέκτρινον ὕδωρ	Callimach.
ἱερόν	Οὐδ' Αἴτνας σκοπιάν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.	Theoc. εἰδ. α.

ἐπιδόρπιον	Κὤχεθ' Ὕλας ὁ ξανθὸς ὕδωρ ἐπιδόρπιον οἰσῶν	Idem εἰδ. ιγ.
ἰοειδές	Ἢ ὕδατι νίζειν θολερῷ ἰοειδέϊ πλίνθον.	Id. εἰδ. ιε.
ἄασπετον	Ευδεὺς ἑλκόμενον πολιῆς ἁλὸς ἄασπετον ὕδωρ.	Id. εἰδ. κ.
ἀβλαβές	Θάμα δ' ἐπιρραίνειν ἐρρεμμένον ἀβλαβὲς ὕδωρ.	Idem εἰδ. κα.
στυγνωπόν	Ὅσον ἐπὶ στυγνωπὸν ὕδωρ Ἀθαμαντίδος Ἕλλης.	Dionyſ.
καθάρσιον	Λαϊνέῳ κενεῶνι καθάρσιον ἔβλυεν ὕδωρ.	Nonnus.
ἑτερόχροον	Χιονέῃ ἤμειψε χροιῇ ἑτερόχροον ὕδωρ.	Idem.
νήδυμον	Εἰλαπίνης μεδέουσι κομίσσατε νήδυμον ὕδωρ.	Idem.
ἄφθονον	Κύμασιν ἀενάοις κυμαίνεται ἄφθονον ὕδωρ.	Idem.
ξεινήϊον	Δός μοι διψαλέοντι πιεῖν ξεινήϊον ὕδωρ.	Idem.
μινυώελον	Δός μοι δίψαν ἔχοντι πιεῖν μινυώελον ὕδωρ.	Idem.
φισίζωον	Εἶπε δέ μοι νοέοντα γυνὴ φισίζωον ὕδωρ.	Idem.
μετανάστιον	Χερσὶν ἀμοιβαίοισιν ἄγων μετανάστιον ὕδωρ.	Idem.
πεδοβαφὲς, ὅρκ	Καὶ πίεν ἐξ αὐτοῖο πεδοτραφὲς ὅρκιον ὕδωρ.	Idem.
ζείδωρον	Τοῦτο πόθεν ζείδωρον ἀρυόμενος ξένον ὕδωρ.	Idem.
παλιμφυές	Πηγῆς ἐνδομύχοιο παλιμφυὲς ἔμπεδον ὕδωρ.	Idem.
βιοτήσιον	Δός μοι κοίρανε τοῦτο πιεῖν βιοτήσιον ὕδωρ.	Idem.
ξανθόν	Ξανθὸν ὕδωρ ποίησε, φύσιν χιονωπὸν ἀμεί- ψας.	Idem.
ψυχροσόον	Πηγῆς ἡμετέρης πιέτω ψυχροσόον ὕδωρ.	Idem.
πανδήμιον	Πηγῆς ἀγχιπόροιο ῥέει πανδήμιον ὕδωρ.	Idem.
πηγαῖον	Ὕδασι πηγαίοισι λιπόσκια φάεα νίπτων.	Idem.
φαεσφόρον	Χερσὶ βαθυνομένῃσι φαεσφόρον ἤφυσεν ὕ- δωρ.	Idem.
πόντιον	Πόντιον ἀφροκόμοισιν ὕδωρ λεύκαινον ἐρετμοῖς.	Idem.
ὀρχούμενον	Ἅλμασιν αὐτομάτοισιν ἰδὼν ὀρχούμενον ὕδωρ.	Idem.
ὀδυνήφατον	Φέρτερον ἰητῆρος ἰδὼν ὀδυνήφατον ὕδωρ.	Idem.
μαλακόν	Καὶ μαλακοῖς ναίουσαν ἐν ὕδασι νυκτὶ τε ἠοῖ.	Nazianz.
πολυσμάραγον	Καί με πολυσμαράγων ὑδάτων ἀπελύσαο ὁρ- μῆς. (ρας.	Apolinar.
παναχήρατον	Νιψάμενος καθαρὰς παναχηράτῳ ὕδατι χεῖ-	Idem.
λιμναῖον	Κωπαῖαί τε λιμναῖον ὑπεθρέψαντο παρ' ὕδωρ.	Nicand. Th.
κρυόεν	Εἰς πυρά τε ὕδατα κρυόεντα ὅπως μιν ὀλέσσῃς.	Cyr. Theod.
ἀγλιβές	Πρὸς γὰρ σοὶ κρήνη βλύζουσ' ἢ ἀγλιβὲς ὕδωρ.	Dolſc.
ἰλυόεν, θολερόν	Οἷσι τὸ ἰλυόεν τε θολερὸν μάλ' ὕδωρ.	Idem.

ὀλοόν	Δὴ τόθ' ὑπὸ περφόρης ὀλοὸν περιελέζεεν ὕδωρ.	Orph. Arg.
ἀργυροειδές	Βρύζουσ' ἀργυροειδὲς ὕδωρ κρήνης ἀπὸ μέσσης.	Idem.
μεγαλόβρομον	Ὅς διὰ πολλὴν γαῖαν ἵει μεγαλόβρομον ὕδωρ.	Idem.
βαθύσπορον	Εἴκει δ' ἀκαμάτου πόντου τὸ βαθύσπορον ὕδωρ.	Idem.
πολιόν	Εἰλεῖται πολιοῖο δι' ὕδατος ἑρπύζων.	Opp. ἁλ. β.
σεμνόν	Πρὶν παῖν ἀθρήσωσι λελουμένον ὕδατι σεμνῷ.	Epigr. lib. 1.
ἄστατον	Εκδέχεται δρομέοντα, τί μήσεται ἄστατον ὕδωρ.	Eod.
νόθον	Καὶ γόνιμον ποταμὸν, καὶ νόθον οἶδεν ὕδωρ.	Eod.
στεφανηφόρον	Ἱμερόεις Ἀλφειὲ, Διὸς στεφανηφόρον ὕδωρ.	Eod.
ὀλύμπιον	Κείμενον ἐν κόλποισιν ὀλύμπιον εὔνασεν ὕδωρ.	Eod.
διαυγές	Ἔλθῃς, μήτ' ἐν ὄρει περόσ τι διαυγὲς ὕδωρ.	Epigr. lib. 2.
δινῆεν, ἄβυγετον	Κείνῳ δινήεντι καὶ ἀβυγέτῳ ἔπι κεῖμαι Ὕδατι μαινομένῳ.	Epigr. lib. 3.
πυελθαλπές	Θλιβόμενος, πυελθαλπὲς ἐρεύγεται ἰκμάσιν ὕδωρ.	Epigr. lib. 4.
τελέλικτον	Ἔκτανε Μαιάνδρου πὰρ τελέλικτον ὕδωρ.	Epigr. lib. 6.
ἐρατεινόν	Τᾶς ἐρατεινὸν ὕδωρ πίομαι.	Pind. Olym.
ἀμάχ. ὀρόκτ.	Βρέμει δ' ἀμαχέτου δίκην ὕδατος ὀροκτύπου.	Æsch. ἐπτ. ἐ. Θ.
κυανοειδές	Κυανοειδὲς ἀμφ' ὕδωρ ἔτυχον.	Eurip. Hele.
ὀμβρηγενές	Ῥιπίζων ἰκμάσιν νοτεραῖς ὀμβρηγενὲς ὕδωρ.	Orph. hymn

Nonnus Dionys. ἄψοφον, ναύλοχον, βαρύδουπον, ὑποκόλπιον, φιλοπάρθενον, ὀρεσίδρομον, δίψιον, αἰθαλόεν, μόρμυρον, πολυσχιδὲς, ἀγκύλον, διένιφον, ἐπιμάστιον, ἄκριτον, ἄβροχον, ἐπιλάσομον, ἠέρι σύμπλοκον, μελισταγὲς, ὑστερόποινον, ῥυηφανὲς, ἐχεκτέανον, ὄμβριον, θανατηφόρον, ἀνδροφόνον, ἀμείλιχον, παιδοκτόνον, νυμφήϊον, ὑψίδρομον, ξανθόχροον, εὔγαμον, ἀφειμανὲς, γαιήοχον, ἀντίξοον, ἄφθονον, καρποτόκον, κουροβόφον, θερειγενὲς, εὔοδμον, διϊπετὲς, καμπύλον, πολυβεφὲς, μογοστόκον, πηγαῖον, ἀκτήελον.

υἱός *filius*.

ἡβώων	Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.	Hom. Od. κ.

κυδάλιμος

κυδάλιμος	Ὄλβῳ τε πλούτῳ τε, καὶ υἱάσι κυδαλίμοισι.	Id. Odyſſ. ξ.
καρτερόθυμος	Ἀμφὶ Κρόνῳ βασιλῆϊ, καὶ υἱεῖ καρτεροθύμῳ.	Heſiod. Th.
ἐπήρατος	Οὐ Διὶ τοῖον ἔτικτεν ἐπήρατον υἷα Θυώνη.	Coluth.
ἐρικυδής	Ὃς γόνος ἔσκε Δύμαντος, ἔχεν δ' ἐρικυδέας υἷας.	Calab. lib. 7.
θεόσδοτος	Ἤδη τις φίλον υἷα θεόσδοτον ἤγαγε βωμῷ.	Nazianz.
γηροκόμος	Τί πλέον υἱήεσιν ἀναχλοάζοισι γυναῖκες Γηροκόμοις.	Idem.
νεόχνοος	Καὶ μήτηρ φίλον υἷα νεόχνοον οὐκέτ' ἐόντα.	Idem.
πρωτόγονος	Πρωτογόνοις υἷας, ὃ παρ' ἅπασιν ἐστὶ μέγιστον.	Idem.
λοισθογενέθλος	Σήμερον αὖτε χόρευσον ἐφ' υἱεῖ λοισθογενέθλῳ.	Cyr. Theod.
ἀγλαός	Γήραος ἐν δαπέδῳ γηθυνᾶσθαι ἀγλαὸν υἱόν.	Caſtalio.
ἀρεταῖς μεμηλ	Ἃ τέκε λαγέτας ἐξ ἀρεταῖσι μεμαλότας υἱούς.	Pind. Olym.
ἀκαμαντομάχης	Τάχα δὲ Κρονίδαο Ζηνὸς υἱοὶ τρεῖς ἀκαμαντομάχαι.	Idem Pyth.
νήπιος	Ἔνθ' ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱόν.	Hom. Il. ε.
	Ὕλας *Hylas*.	
χαρίεις	-- ἤρατο παιδὸς Τοῦ χαρίεντος Ὕλα.	Theoc. εἰδ. ιγ.
ξανθός	Κὤχεθ' Ὕλας ὁ ξανθὸς, ὕδωρ ἐπιδόρπιον οἰσῶν	Eod.
κάλλιστος	Οὕτω μὲν κάλλιστος Ὕλας μακάρων ἀριθμεῖται.	Eod.
	ὕλη *hyle, materia*.	
ἄμετρος	Ὅν ῥα γάμον καλέουσ' ὕλης ἀμέτροιο χαλινόν.	Nazianz.
πρωτόκτιτος	Ὡς ποτ' ἔην, ὅτε κόσμος ἔην πρωτόκτιτος ὕλη.	Idem.
	ὕλη *ſylua*.	
ἄσπετος	Ἠΰτε πῦρ ἀΐδηλον ἐπιφλέγει ἄσπετον ὕλην.	Hom. Il. β.
βαθεῖα	Ἐτραφέτην ὑπὸ μητρὶ βαθείης τάρφεσιν ὕλης.	Id. Iliad. ε.
θαλέθουσα	-- ἄλλα δέ θ' ὕλη Θαλέθουσα φύει.	Iliad. ζ.
ἄξυλος	Ὡς δ' ὅτε πῦρ ἀΐδηλον ἐν ἀξύλῳ ἐμπέσῃ ὕλῃ.	Iliad. λ.
δάσκιος	Τὸν μέν τ' ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη.	Iliad. ο.
πυκινή	Ὕλης ἐκ πυκινῆς, ὁ δέ τ' ἄχνυται ὕστερος ἐλθών	Iliad. σ.

μενοεικής	Κάτθεσ', ἀτὰρ δέ οἱ μενοεικέα νήεον ὕλην.	Iliad. ψ.
ἀζαλέη	-- φέρε δ' ὄβριμον ἄχθος Ὕλης ἀζαλέης.	Odyss. ι.
πολυανθής	Ἔνθ' ἀναβὰς ὅθι τε δρυὸς ἦν πολυανθέος ὕλης.	Odyss. ξ.
νεοθηλής	Τῶν τότε συνδήσας νεοθηλέος ἀγκαλὸν ὕλης.	Id. hymn.
ἔρημος	Εὗρεν δ' ἐρήμοις ἐγκαθημένην ὕλαις.	Gabrias.
νήριτος	Ἐμπίπτων, καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.	Hesiod. li. 2.
πανύπρεμνος	Ἔνθα πανυπρέμνοιο δαϊζόμεναι δρύες ὕλης.	Coluth.
βαθύσκιος	Καὶ ποταμοὶ καὶ πᾶσα βαθύσκιος ὕλη.	Calab. lib. 3.
λασία	Εὖτ' ὄρεος λασίῃσιν ἄδην καταειμένον ὕλῃς.	Id. lib. 13.
ἄγριος	Παντοίην ἐν ὄρει θηεύμενοι ἄγριον ὕλην.	Theoc. εἰδ. κζ.
χλωερά	Οὔ πη λίην ἀείσημος ἐν ὕλᾳ χλωρᾷ ἐοῦσα. (λης.	Id. εἰδ. λϐ.
φιλοθρέμμων	Οὐκέτι γὰρ παρὰ σοῖο τὸ τῆς φιλοθρέμμονος ὕ-	Sibyll.
πολύπρεμνος	Κύκλα πολυπρέμνοιο δι' ἐξ ὕλης τετάνυσο.	Apoll. lib. 4.
πολυκλαδής	Ἢ ὅσα φύλλα χαμᾶζε πολυκλαδέος πέσεν ὕ-λης.	Eod.
κελαινή	Ναυτίλοι ἐκ πόντοιο κελαινὴ πάντοθεν ὕλη.	Eod.
ἀγρονόμος	- καὶ ὥρια δόρπα πάσασθαι Ὕλης ἀγρονόμοιο.	Opp. ἁλ. α.
πολυδένδρεος	Νύμφας τ' ἰοφόρους θέλγων πολυδενδρέῳ ὕλῃ.	Politian.
σκιερόκομος	Ἡδομένα βροτῶν ἐρημίαις, σκιαροκόμου τ' ἐν ἔρνεσιν ὕλας.	Eurip. Bacch.
δυσεύρετος	Λαβὼν ἐν ὕλῃ κείμενον δυσευρέτῳ.	Ibid.

Basilius M. Commentar. in 61 Psal.

Εἶδον ἰατροὺς ἐγὼ, μὴ πρότερον διδόντας τὰ σωτήρια φάρμακα, πρὶν ἐμέτοις ἀποκενῶσαι τὴν νοσοποιὸν ὕλην.

Nonnus Dionys. φορβάς, θυιάς, δενδράς, πολύδενδρος, εὔβοτος, ἐρημάς, εὐάμπελος, ὀρειάς, ἀγριάς, Κορυβαντὶς, θηροτρόφος, δάσκιος, καλλίβοτος, ὀρεσίτροφος, πιτυώδης, περίφρων, τανύπορθος, ὑψίκομος, πίων, αἰόλος.

Ὕλλος *Hyllus, Herc. f.*

καρτερός, Ἡρ.	Ἀμφοῖν γὰρ πρόγονός σφιν ὁ καρτερὸς Ἡρακλεί-δης.	Theoc. εἰδ. ιζ.

σθεναρός	-- ἢ ἢ σθεναρὸν τέκεν Ὕλλον.	Apoll. lib. 4.

ὑμέναιος *hymenæus*: ὑμέναιοι *hymenæi*.

θαλασσοπόροι	Καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων.	Musæus.
ἀκοίμητοι	Ἀγγελίην δ' ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων.	Idem.
ἐννύχιοι	Ἐννυχίων ἀκόρητος ἐπιπνείων ὑμεναίων.	Idem.
πολυπλάγκτοι	Ἀλλήλων ἀπόναντο πολυπλάγκτων ὑμεναίων.	Idem.
νυμφίδιοι	Νυμφιδίων Πηλῆος ἀειδομένων ὑμεναίων.	Coluth.
εὐήχης	Ἤτοι Δηλιάδες μὲν ὅτ' εὐήχης ὑμέναιος.	Callimach.
δυσαίνητοι	Αἰνόγαμος Μήδεια δυσαινήτοις ὑμεναίοις.	Orph. Arg.
μεθυσφαλεῖς	Νυμφιδίην μετὰ δαῖτα μεθυσφαλέων ὑμεναίων.	Nonnus.
φιλάκριτοι	Πρεσβύτερον μετὰ θαῦμα φιλακρίτων ὑμεναίων	Idem.
ἱμερόεις	Ἱμερόενθ' ὑμέναιον ἀΰπνιον.	Apoll. lib. 4.
πένθιμος	Πένθιμον ἡνίκα παῖδι Πολυξείνης ὑμέναιον.	Epigr. lib. 1.
περικλυτός	Οὐχ ὑμέναιον ἄεισε περικλυτὸν, οὐ τέκος εἶδεν.	Epigr. lib. 3.
γαμήλιος	Οἱ μὲν γὰρ τοκέες με γαμήλιον εἰς ὑμέναιον.	Eod.
σεμνοί	Αὐτή τοι εὐλεχέος θαλάμου, σεμνῶν θ' ὑμεναίων.	Eod.
χρυσοκόμης	Σοὶ παλαιὸς φίλος ἦν, ᾧ ὁ χρυσοκόμης ὑμέναιος.	Epigr. lib. 4.
εὐχαίτης	Ταῦτα· σὺ δ' εὐχαίταν εἰς ὑμέναιον ἴθι.	Eod.
πάμφωνοι	Οὐδὲ παμφώνων ἰαχὰν ὑμεναίων.	Pind. Pyth.

N.D. βοόκραιροι, ἀδωρόδοκοι, ὀρέσαυλοι, θεόκλητοι, ἄγρυπνοι, ὠκύμοροι, ἀσύλητοι, χοροπλεκεῖς, φλογεροί, εὔπτερυγες, κρύφιοι, ἀμίμητοι, διιπετεῖς, ἀλιβόβιοι, ἀελλόποδες, εὐχαίτης, ἁβροκόμης, μεθυσφαλεῖς, ὑπναλέοι, δυσείκτητοι, πυρίβλητοι, ἀμαλλοτόκοι, παιδογόνοι, αἰνόμοροι, δασύστερνοι, χαρίεις, παιδοτρεφεῖς, βιοζυγεῖς, φιλόσκαρθμοι, φερεσακεῖς, κακόξεινοι, εὔυδροι, ἁβρός, ἀνδροφόνοι, φιλοστέφανοι, ἀμφίγαμοι, ἀπάθαλος, ἀεθλοφόροι, κακόξεινοι, νεόζυγιοι.

Ὑμηττός *Hymettus mons*.

Nonn. Dionys. μηλιοσσεῖς.

ὕμνος *hymnus.*

ἀθέσφατος	Μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν	Hesiod. li. 2.
ἐπιλλώιος	Μέγα τὸν θεὸν κροτοῦντες	Anacr.
	Ἐπιλλωίοισιν ὕμνοις.	
καλός	-- καλοῖς Ὑποπίνοντες ἐν ὕμνοις.	Idem.
ἐφίμερος	Εἴθ' εἴη σ' Ἀκάδημε ἐφίμερον ὕμνον ἀείδειν.	Theogn.
γέρας ἀθανάτ.	Ὑμνήσαιμ', ὕμνοι δὲ θεῶν ἀθανάτων γέρας αὐτῶν.	Theoc. εἰδ. ζ.
βουκολικός	Βουκολικοὺς ὕμνους ἀνέθετο Πανὶ τάδε.	Idem Epigr.
θέσκελος	Ἤειδον δὲ λιγὺ κλάζων διὰ θέσκελον ὕμνον.	Orph.
καθαρός	Ἐκ καθαρῆς κραδίης καθαροῖς μέλποντες ἐν ὕμνοις.	Nazianz.
ἑόρτιος	Γηθόσυνοι μέλπωμεν ἑόρτιον ὕμνον ἄνακτι.	Idem.
χαρίσιος	Ὄφρα κεν ἀμφοτέροισι χαρίσιον ὕμνον ἀείσω.	Idem.
ἐριηχής	Ἀγγελικῶν τε χορῶν μεγάλους ἐριηχέας ὕμνους.	Idem.
ἐπιστέφιος	Ἀγγελικὸς μέλπων ὕμνον ἐπιστέφιον.	Idem.
εὐπλεκής	Οἵους γὰρ βωμοῖσιν εὐπλεκέεσσί τ' ἐν ὕμνοις.	Idem.
ἐπινίκιος	Νικητῇ θανάτου ἐπινίκιον ὕμνον ἀείδει.	Dolsc.
κλυτός	Ἡμέτερον θεὸν ὄντα κλυτοῖς τὸν κύριον ὕμνοις.	Idem.
γλυκύθροος	Ὑμνεῖτε γλυκύθροις λιγέως τὸν κύριον ὕμνοις.	Idem.
μελίθροος	Καί μιν ἐπαινοῖεν μελιθρόοισι διαμπερὲς ὕμνοις.	Idem.
δοξολόγος	Τηνίκα δοξολόγους σοι χείλεσ' ἐρεύξομαι ὕμνους	Idem.
μελιηδής	Ὅστις παμμούσῳ φθόγγῳ μελιηδέας ὕμνους.	Sibyll.
θεουδής	Ποιμένι ποιμένι θεουδέα λέξομεν ὕμνον.	Apolinar.
αἰνετός	Καί οἱ αἰνετὸν ὕμνον ἐπευφήμησαν ἀοιδαῖς.	Idem.
πολύλλιτος	Εἰς δ' ἐλθὼν βασιλῆϊ πολύλλιτον ὕμνον ἀείσω.	Idem.
ἄφθιτος	Δαβίδου κρυφίων, χάριν ἱερὸς ἄφθιτος ὕμνος.	Idem.
ἀλεξίκακος	Τοῖο δὲ πεντηκοστὸς ἀλεξίκακος πέλεν ὕμνος.	Idem.
χαριστήριος	Καί σοι χαριστήριον ὕμνον νῦν πλέκω.	Nazianz.
πολυτερπής	Ὕμνους ἀθανάτων Ἐρατὼ πολυτερπέας εὗρε.	Epigr. lib. 1.
μελιστόκος	Ἄρτι λοχευομένην σε μελισστόκον ἔαρ ὕμνων.	Epigr. ib. 3.
πολύφατος	Ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται.	Pind. Olym.
ἀναξιφόρμιγξ	Ἀναξιφόρμιγγες ὕμνοι, τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν.	Ibid.
ὀλυμπιονίκης	Θήρωνος ὀλυμπιονίκαν ὕμνον ὀρθώσαις.	Ibid.

ποικίλος

ποικίλος	Ἀνδράσιν αἰχματαῖσι πλέκων ποικίλον ὕμνον.	Ibid.
μελίγηρυς	Μελιγάρυες ὕμνοι ὑστέρων ἀρχαὶ λόγων τέλλεται.	ibid.
φίλιος	Ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον.	Idem Pyth.
εὐηχής	Εὐαχέα βασιλεῦσιν ὕμνον ἄποιν' ἀρετᾶς.	Ibid.
ἡδυεπής	Σέθεν ἁδυεπὴς ὕμνος ὁρμᾶται θέμεν αἶνον ἀελλοπόδων μέγαν ἵππων.	Idem Nem.
δόκιμος	Ἄρχε δ' οὐρανῷ πολυνεφέλα κρέοντι, θύγατερ, δόκιμον ὕμνον.	Ibidem.
καλλίνικος	Ὕμνον κελάδησε καλλίνικον &c.	Ibidem.
ἐπικώμιος	Ἦν γε μὰν ἐπικώμιος ὕμνος δὴ πάλαι.	Ibid.
ἡδυμελής	Κώμαζ' ἔπειτ' ἐν ἁδυμελεῖ σὺν ὕμνῳ καὶ Σφε-ψιάδᾳ.	Idem Isthm.
μεγανήφατος	Πρῶτα μὲν ἀρχαίου χάεος μεγανήφατον ὕμνον.	Orph. Arg.

Nonn. Dionys. δολοπλόκος, ἐπίκλοπος, μάγος, φιλοτήσιος, μηλονόμος, θελκτὸς, πολυώνυμος, ἐποίνιος, θρασὺς, θαλαμηπόλος, εὔϊος, μάργος. Semus Delius (citante Scalig. lib. 1 Poëtices, cap. 10) -- ἀλλ' ἀκήρατον (ἀκήρατος) καταρχόμεν τὸν ὕμνον &c. Telestas Selinuntius (citante eodem Scalig. lib. 1, cap. 19) Τοὶ δ' ὀξυφώνοις πηκτίδων ψαλμοῖς κρέκον Λύδιον ὕμνον: (Λύδιος) & paullò antè, Φρύγιον νόμον.

πώγων barba.

Nonn. D. βαθυσμήριγξ, βαθυκνήμις, ἀχάρακτος, ἀχάλινος, φείασουλος, λασίη, αὐίχλος.

ὕπνος somnus.

γλυκύς	Ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι	Hom. Il. α.
νήδυμος	Εὗδον παννύχιοι, Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος.	Id. Iliad. β.
ἀμβρόσιος	Εὗδοντ' ἐν κλισίῃ, περὶ δ' ἀμβρόσιος κέχυθ' ὕπνος.	Eod.
μελίφρων	-- μὴ δέ σε λήθη Αἱρείτω, εὖτ' ἄν σε μελίφρων ὕπνος ἀνήῃ.	Eod.

ἡδύς	Παιδὸς ἐέργει μυῖαν, ὅθ' ἡδέϊ λέξατο ὕπνῳ.	Iliad.δ.
μαλακός	Εὗδον παννύχιοι μαλακῷ δεδμημένοι ὕπνῳ.	Iliad.κ.
πάννυχος	Ἔγρεο Τυδέος υἱέ, τί πάννυχον ὕπνον ἀωτεῖς;	Eod.
χάλκεος	Ὣς ὁ μὲν αὖθι πεσὼν κοιμήσατο χάλκεον ὕπνον.	Iliad.λ.
ἀπήμων, λιαρός	-- τῷ δ' ὕπνον ἀπήμονά τε λιαρόν τε Χεῦεν ἐπὶ βλεφάροισι.	Iliad.ξ.
κασίγν. θανάτου	Ἔνθ' ὕπνῳ ξύμβλητο κασιγνήτῳ θανάτοιο.	Eod.
λύων μελεδήμ.	Οὔτε τὸν ὕπνος ἔμαρπτε λύων μελεδήματα θυμοῦ	Iliad.ψ.
πανδαμάτωρ	-- οὐδέ μιν ὕπνος Ἥρει πανδαμάτωρ.	Iliad.ω.
νηλής	Ἦ με μάλ' εἰς ἄτην κοιμήσατε νηλέϊ ὕπνῳ.	Odyss.μ.
νήγρετος	Καὶ τῷ νήδυμος ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε Νήγρετος.	Odyss.ν.
μελιηδής	Ὣς ἔφατ', αὐτὰρ ἐμὲ μελιηδὴς ὕπνος ἀνῆκε.	Odyss.τ.
ἥδυμος	Δή ῥα νεόλλυτος προκαλεύμενος ἥδυμον ὕπνον.	Id.hymn.
πρᾶος	-- ἡδὺ δ' ἐστὶ πρᾶόν τινα Ὕπνον καθεύδειν.	Menand.
μαλθακός	Θωρηχθέντ' οἴνῳ μαλθακὸς ὕπνος ἕλοι.	Theogn.
λυσίκακος	Ὕπνου λυσικάκου, μνήσομαι οἴκαδ' ἰών.	Idem.
πόνου ἀλκτήρ	Ὕπνον ἐπὶ βλεφάροισι πόνου ἀλκτῆρα χέαντα.	Calab.lib.10
ἄτροπος	Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων.	Theoc.εἰδ.γ.
βαθύς	Ὦ Λάμπουρε κύων, οὕτω βαθὺς ὕπνος ἔχει τύ;	Idem εἰδ.η.
μεσημβρινός	Σῖτον ἀλοιῶντες, φεύγειν τὸ μεσαμβρινὸν ὕπνον.	Idem εἰδ.ι.
ἀτέρμων	Εὕδομες εὖ μάλα μακρὸν, ἀτέρμονα, νήγρετον ὕπνον.	Idem εἰδ.ιθ.
γλυκίων μέλιτος	Ὕπνος ὅτε γλυκίων μέλιτος βλεφάροισιν ἐφίζων.	Idem εἰδ.κ.
ἱερός	Τοῖς μὲν σεῦ ἀνὰ νύκτα τὸν ἱερὸν ὕπνον ἐμόχθει.	Idem εἰδ.κϛ.
βαρύς	-κὰδ δ' ἄρα οἱ βλεφάρων βαρὺς ἔδραμεν ὕπνος	Idem εἰδ.κζ.
γλυκερός, ἐγέρσ.	Εὕδετ' ἐμὰ βρέφεα γλυκερὸν καὶ ἐγέρσιμον ὕπνον	Idem εἰδ.λα.
νεκρός, ἄναυδ.	Εὕδειν νεκρὸν ἄναυδον ἀνήγρετον ὕπνον ὀλέθρου.	Nonnus.
ἄγγελος	-- ἄγγελον ἄλλον Ὕπνον ἄγων &c.	Idem.
ὁμοίϊος	Οὐκέτι γὰρ νεκύεσσιν ὁμοίϊον ὕπνον ἀφυπνοῖ.	Cyr.Theod.
νωθρός	-- νωθρὸν μὲν ἀπὸ ῥέθεος βάλεν ὕπνον.	Nicand.Th.
παυσήελος	Ἐξάπινον κακοεργὸν, ἄγων παυσήελον ὕπνον.	Ibid.
μινυνθάδιος	Τοῖα κατὰ γνώσσουσα μινυνθαδίῳ νέον ὕπνῳ.	Apoll. lib.3.
μαλακαυγητός	Καὶ γονέων, μαλακαυγήτοιο θ' ὕπνου.	Diog.L.li.5.

εὔδιος	Πέζαις ἀμφιπαθεὶς ἀμπαύεται εὔδιον ὕπνον.	Opp. ἁλ. α.
βαρυαής	Αὐτὰρ ὅγ' ἐξ ὕπνου βαρυαέος ἔγρετο δειλός.	Id. κυνηγ. γ.
παγκρατής	Εν δ' ὁ παγκρατὴς ὕπνος λύει πεδήσας.	Soph. Aiace.
ὀδύνας ἀδαὴς, εὐαής	Υ῞πν' ὀδύνας ἀδαὴς, ὕπνε δ' ἀλγέων εὐαὴς ἡμῖν ἔλθοις.	Id. Philoct.
εὐδρακὴς, ἄϋπνος	Ω῾ς πάντων ἐν νόσῳ εὐδρακὴς ὕπνος ἄϋπνος λεύσσειν.	Ibidem.
γλυκύθυμος	Υ῞πνος δ' ἀπέστω γλυκύθυμος ὀμμάτων.	Aristoph. N.
	Υ῞πνε ἄναξ μακάρων πάντων, θνητῶν τ' ἀνθρώπων· σώματα δεσμεύων ἐν ἀχαλκεύτοισι πέδῃσι· λυσιμέριμνε, κόπων ἡδεῖαν ἔχων ἀνάπαυσιν, καὶ πάσης λύπης ἱερὸν παραμύθιον ἔρδων· καὶ θανάτου μελέτην ἐπάγεις, ψυχὰς διασώζων. αὐτοκασίγνητος γὰρ ἔφυς λήθης θανάτου τε.	Orph. hym. ὕπνου.
	Nonn. Dionys. ὄρθριος, ἀλήτης, ὁμόσπολος ἡδέος οἴνου, λοίγιος, ἀκοίμητος, μετρητὸς, βλεφάροισιν ἐνόπλιος, ἐνυάλιος ζοφόεις, ἀλήμων, ἀχλυόεις, μελανόχροος, νοοπλανὴς, ἀπατήλιος, δολόεις, ἑῷος, φθονερὸς, ἐπήρατος: Υ῞πνου ἔχων πομπῆα μεθυσφαλέων ὑμεναίων, θαλαμηπόλος, ἀϊδώνιος, ἄμπελος.	

ὑσμίνη pugna.

κρατερή	Τρωσί τε καὶ Δαναοῖσι διὰ κρατερὰς ὑσμίνας.	Hom. Il. ζ.
σταδίη	Τοξοσύνῃ, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ.	Id. Iliad. ν.
	- τέταται κρατερὴ ὑσμίνη	Iliad. ρ.
ἀργαλέη, πολύδακρυς	Αργαλέη πολύδακρυς.	
τρηχεῖα	-- οὐκέτι τηλοῦ	Hesiod. Scu.
	Υ῾σμίνη τρηχεῖα.	
αἰνόμορος	Λαοὺς ἐν κονίῃ τε καὶ αἰνομόρῳ ὑσμίνῃ.	Calab. lib. 2.
ἀνδροφόνος	Αἵματος ἐξ ὀλοοῖο, καὶ ἀνδροφόνου ὑσμίνης.	Idem lib. 4.
ὀλοή	-- δοῖεν δὲ καὶ ἄλλοις Αργείοισι Υ῾σμίνας ὀλοάς.	Id. lib. 5.
δυσηχής	Υ῾σμῖναι ἐκέχυντο δυσηχέες, ὧν πέρι πάντα.	Eod.

οὐλομένη	Αὐτὴ ἀπὸ πολέμοιο, καὶ οὐλομένης ὑσμίνης.	Idem lib. 11.
αἰνή	-- ἔπλετο δ' αἰνὴ	Eod.
	Ὑσμίνη, νιφάδεσσι δ' ἐοικότα πῖπτε βέλεμνα.	
ὀϊζυρή	Ὑσμίνης γὰρ ἔτ' ἔσκον ὀϊζυρῆς ἀκόρητοι.	Idem lib. 12.
ἀλεγεινή	Αὐτὰρ ἐπεὶ σάλπιγξαν ἐφ' ὑσμίνην ἀλεγεινήν.	Opp. κυνηγ. β.

Nonn. Dionyſ. φλογόεσσα, ταρβαλέη, ἐ-ρισβαρέα, ἀσίδηρος, πόντιος, Ποσιδήϊος.

ξ: ſupra σῦς.

Ὑψιπύλη *Hypſipyle.*

κλυτή, εἶδος ἀ-είση	-- καὶ ἡ κλυτὴ Ὑψιπύλεια	Orph.
	Ελδομέναις κραίνεσκε, γυναικῶν εἶδος ἀείση,	
Θοαντιάς	Κούρη τοί μ' ἐφέηκε Θοαντιὰς ἐνθάδ' ἰοῦσαν Ὑψιπύλη.	Apoll. lib. 1.
Λημνιάς	-- τὸ μέν οἱ πάρος ἐγγυάλιξε	Id. lib. 3.
	Λημνιὰς Ὑψιπύλη.	

ὕψος *altitudo.*

εὔσκιον	Κλῶνες ἀπηόρεοι τανάης δρυός, εὔσκιον ὕψος.	Epigr. lib. 1.

Φ

Φαέθων *Phaethon.*

ἴφθιμος	Ἴφθιμον Φαέθοντα, θεοῖς ἐπιείκελον ἄνδρα.	Heſiod. Th.
ἡμιδαής	Ἡμιδαὴς Φαέθων πέσεν ἅρματος ἠελίοιο.	Apoll. lib. 4.

Nonn. Dionyſ. αὐτόπορος, φαεσίμβροτος, αὐνέφελος, Ἀστύελος, πυρώδης ἡνιοχεύς, φεραυγής, ἐελφλεγής, πυραυγής, πανεπόψιος, ταχύδρομος, ἀσαθής, παλινδίνητος, πολυώνυμος, τερψίμβροτος.

Φαίηκες *Phæaces pop.*

φιλήρετμοι	Εἵως ὅ γε Φαιήκεσσι φιληρέτμοισι μιγείη.	Hom. Od. ε.
ἀγαυοί	Ἐς βουλήν, ἵνα μιν κάλεον Φαίηκες ἀγαυοί.	Id. Odyſs. ζ.
ἀντίθεοι	Φαιήκεσσ' ὅδ' ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισι.	Eod.
μεγάθυμοι	Μή τις Φαιήκων μεγαθύμων ἀντιβολήσας.	Odyſs. η.
ναυσικλυτοί	Τὸν δ' ἄρα Φαίηκες ναυσικλυτοὶ οὐκ ἐνόησαν.	Eod.

ἀμύμονες	Δῶρα, τά οἱ Φαίηκες ἀμύμονες ἐνθάδ' ἔνεικαν	Odyſs. θ.
	φάλαγξ *phalanx*.	
πυκινή	Δηΐους ἐς πόλεμον πυκιναὶ κίνυντο φάλαγγες.	Hom. Il. δ.
κρατερή	Ῥεῖα μεταστάμενος κρατερὰς ὤρινε φάλαγγας.	Id. Iliad. ν.
δολιχή	Αἶψα δ' ἀμφοτέρων δολιχαὶ πονέοντο φάλαγγες.	Calab. lib. 2.
θοή	-ὀλοαὶ δὲ θοὰς ἑκάτερθε φάλαγγας Κῆρες ἐποτρυνέσκον.	Eod.
στιβαρή	Αἰζηοί, στιβαραὶ δὲ περιστενάχοντο φάλαγγες.	Id. lib. 12.
θαμινή	Καί οἱ ἐπισπομένη θαμινὰς ἐκέδασσε φάλαγγας.	Orph. Arg.
ἔνοπλος	Πολλὴ φάλαγξ ἔνοπλος εἰς τάφον μολεῖ.	Nazianz.
πολυαστερής	Ἔθνεα τοι πόντοιο, πολυαστερέας τε φάλαγγας.	Opp. ἁλ. α.
στυγερή	Ἑσμὸς ἀπειρεσίων ὀφίων, στυγεραί τε φάλαγγες.	Id. κυνηγ. β.
θουρία	Ἔγχος πεφελκὼς καὶ φάλαγγα θουρίαν.	Lycophr.
δουρατέη	Δουρατέῃσι φάλαγξι, καὶ εὐστρέπτοισι κάλωσι.	Orph. Arg.
	Nonn. D. εὐπάλαμος, φιλεύϊος, βακχείη.	
	φάλαρα *phaleræ*.	
νεοζυγῆ,	Ὅστε νεοζυγέεσσιν ἀγαλλόμενος φαλάροισι.	Tryphiod.
	φάλης *priapus*.	
παιδογόνος	-- ἀλλὰ φάλητι Παιδογόνῳ δυνατὸν Κύπριδος ἔργα τελεῖν.	Theocr. Epi- gram.
	φάος *lumen, oculus*: infra φῶς.	
λαμπρόν	Αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο.	Hom. Il. α.
ὀξύ	Οὔτε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι.	Id. Iliad. ξ.
ἀσπαστόν	Ὡς Ὀδυσῆ' ἀσπαστὸν ἔδυ φάος ἠελίοιο.	Odyſs. ν.
γλυκερόν	Ἦλθες Τηλέμαχε γλυκερὸν φάος.	Odyſs. π.
περικαλλές	Χρύσεον λύχνον ἔχουσα, φάος περικαλλὲς ἐποίει.	Odyſs. τ.
ἱερόν	Ἥ μὲν ὅτ' εὐνάζῃ, καὶ ὅταν φάος ἱερὸν ἔλθῃ.	Heſiod. li. 1.
πολυδερκές	Ἥ μὲν ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα.	Id. Theog.
ἐρατόν	-- λείψω δ' ἐρατὸν φάος ἠελίοιο.	Theogn.
θοόν	Δέγμεναι ἠελίοιο θοὸν φάος· ἔγρετο δ' ἠώς.	Calab. lib. 4.
μαρμαῖρον	Κῦσε δέ οἱ δειρήν, καὶ φάεα μαρμαίροντα.	Idem lib. 14.
μουνόγληνον	Φάεα μουνόγληνα σάκει ἶσα τετραβοείῳ.	Callimach.
ἄσβεστον	-- φάεος δ' ἀνένηκας ἀϋτμὴν Ἀσβέστου.	Idem.

καθαρόν	Ἦμος δ᾽ ἀστερόθεν καθαρὸν φάος ἀμβλύνηται.	Aratus.
σκόπιον	Ὅτ᾽ ἐπαύσατο μὲν σκόπιον φάος.	Lucianus.
ἡδύ	Ἡδὺ φάος θνητοῖσι καὶ ἀθανάτοισι φέρουσα.	Orph. Arg.
οὐράνιον	Οὐρανὸς οὐρανίοισιν ἀγαλλόμενος φαέεσσι.	Nazianz.
ἀκοίμητον	Παρθένοι ἐγρήσσουσιν ἀκοιμήτοις φαέεσσι.	Idem.
ἀείζωον	Ἔνθα σε σῶν φαέεσσιν ἀειζώοισι γεραίρων.	Idem.
νοερόν	Οὐ μὴν κεῖνος ἔην νοερὸν φάος &c.	Nonnus.
λιπόσκιον	Ὕδασι πηγαίοισι λιπόσκια φάεα νίπτον.	Idem.
θεῖον	Ἔμυσεν οὐκοῦν ὄμμα πρὸς θεῖον φάος.	Rhetor.
ἡλιακόν	Τὸ φάος ἡλιακὸν τεκτήναο, ἄστρα τε λαμπρά.	Dolsc.
γλυκυδερκές	Ηελίου γλυκυδερκὲς ἰδοὺ φάος ἔξοχα λάμπει.	Sibyll.
ἐλευθέριον	Σὰρξ τότε πᾶσα βροτῶν ἐπ᾽ ἐλευθέριον φάος ἥξει.	Ibidem.
ἠῷον	Τήκεται ἠῴοισιν ἰαινομένη φαέεσσι.	Apoll. lib. 3.
ὄλβιον	Ὄλβιον ἀνθρώποισιν ἔχει φάος ἄμβροτος αἰών.	Epigr. lib. 1.
τηλαυγές	Ἀστέρος οὐρανίου φαμὶ τηλαυγέστερον κείνῳ φάος.	Pind. Pyth.
λευκόν, εὐήμερον	Παρὰ λευκὸν εὐήμερον πελάσαι φάος θοῶν ὠκυάλων νεῶν.	Soph. Aiace.
ἁγνόν	Ὦ φάος ἁγνόν, καὶ γῆς ἰσόμοιρος ἀήρ.	Idem Electr.
πολύολβον	Ψυχῇ μὲν φάος ἁγνὸν ἐμῇ πολύολβον ὀπάζοις.	Proclus Lyc.

Φάραγξ vallis.

ἠερίη	Ἠέριαι δὲ φάραγγες ἐν οὔρεσιν ὑψηλοῖσι.	Sibyll.
κοίλη	Φοινὰ δάκη, κοίλη τε φάραγξ, καὶ τρηχέες ἀγμοί.	Nicand. Th.
πολύκλυστος	Κεῖθεν δ᾽ εὐρυμένας τε πολυκλύστους τε φάραγγας.	Apoll. lib. 1.
δενδροφόρος	Ἐκ δενδροφόρου φάραγγος ἐξέωσε βροντήν.	Sotades.

Φαραώ Pharao.

κακόμηνις	Τίς Φαραὼ κακόμηνιν, Ἀχαὰβ θράσος &c.	Nazianz.
βρεφώλεθρος	Ὅς παλάμην προφύγῃσι βρεφωλέθροιο ἄνακτος.	Cyr. Theod.
σκληροτράχηλος	Σκληροτράχηλε γῆς ἄναξ Αἰγυπτίων.	Idem.

Φαρέτρα pharetra.

ἀμφηρεφής	Τόξ᾽ ὤμοισιν ἔχων, ἀμφηρεφέα τε φαρέτρην.	Hom. Iliad. α.
ἰοδόκος	Τόξον ἔχων ἐν χερσὶ παλίντονον, ἠδὲ φαρέτρην ἰοδόκον.	Idem Iliad. ο.

κοίλη	-- ποὶ δ' ἄλλοι κοίλης ἔντοσθε φαρέτρης.	Odyſs. φ.
φλογερή	Μητρὶ σὺν οὐρανίῃ φλογερὴν ἠρτημένος φαρέτρην.	Muſæus.
δεινή	Ἐμαίνετ' Ἡρακλῆς πρίν, Δεινὴν κλονῶν φαρέτρην.	Anacr.
ὑπωλένιος	Τῷ μὲν τόξον ἔδωκεν, ὑπωλένιόν τε φαρέτρην	Theoc. εἰδ. ιζ.
εὔπλερος	Ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' εὔπλερον ἄγε φαρέτρην.	Idem εἰδ. κγ.
πολύρραπτος	Ῥίψας τόξον ἔραζε, πολύρραπτόν τε φαρέτρην.	Idem εἰδ. λβ.
οἰστοδόκη	Ῥίμφα δ' οἰστοδόκην μὲν ἐπὶ χθονὶ θῆκε φαρέτρην.	Apoll. lib. I.
εὔτοξος	Φοίβου δ' εὔτοξον φαρέτρην, ἀλίου ἢ σελαίνας.	Epigr. lib. 4.
ἀμφικρεμής	Συλήσω δ' ὤμων ἀμφικρεμῆ φαρέτρην.	Eod.
παραυχενίη	Ἄρτεμι, σοὶ τόξα, παραυχενίη τε φαρέτρα.	Eod.
ἰοχέαιρα	Σοὶ μὲν καμπύλα τόξα, καὶ ἰοχέαιρα φαρέτρα.	Epigr. lib. 6.
Σκυθική	Τόξα τε, καὶ Σκυθικὴν ἰοδόκον φαρέτρην.	Idem lib. 7.
ἀνίκητος	Ἐξ ἀνικάτου φαρέτρας ὀρνύμενον.	Pind. Pyth.
	Nonnus Dionyſ. ποθόβλητος, ἐρωτοτόκος, ῥιγεδανή, ἄπνευστος, ἰοβόλος, ἔμπυρος, πανδαμάτειρα, ἀκοίμητος, Ἀμαζονίη, δαφοινήεσσα, οἰστοκόμος, φονίη.	

Φαρισαῖοι *Phariſæi.*

ἀμβλύνοοι	Καὶ χορὸς ἄλλος ἄπιστος ἀμβλυνόων Φαρισαίων	Nonnus.
γοοπλανεῖς	Ἦν δέ τις ἱερὸν αἷμα γοοπλανέων Φαρισαίων.	Idem.
βαρύζηλοι	Δίμαχος ἑσμὸς ἄκουσε βαρυζήλων Φαρισαίων	Idem.
ἀκήλητοι	Φεύγων λύσσαν ἄπιστον ἀκηλήτων Φαρισαίων.	Idem.
ἀγχίνοοι	Ἡγεμόνων πίστευσεν ἢ ἀγχινόων Φαρισαίων.	Idem.
θεμισοπόλοι	Καὶ χορὸς αἰπάχησε θεμισοπόλων Φαρισαίων.	Idem.
ἀπιστότατοι	Καί μιν ἀνείρετο λαὸς ἀπιστοτάτων Φαρισαίων.	Idem.
ἀσίγητοι	Καὶ φθονεροί τινες εἶπον ἀσιγήτων Φαρισαίων.	Idem.
ὑπερφίαλοι	Καὶ χορὸς ἀσκυλόμηνις ὑπερφιάλων Φαρισαίων	Idem.
πολυρραφεῖς	Πληθυΐ κηρύξειε πολυρραφέων Φαρισαίων.	Idem.
ἀρχέκακοι	Καὶ πολὺν οἰστρήεντα παρ' ἀρχεκάκων Φαρισαίων.	Idem.
μέγα πνείοντες	Πυνθάνομ' ὡς δύο φῶτε, μέγα πνείων Φαρισαῖος.	Nazianz.

φάρμακον pharmacum.

ἤπιον	Αἷμ' ἐκμυζήσας, ἐπ' ἄρ' ἤπια φάρμακα εἰδὼς Πάσσε.	Hom. Iliad. δ
ὀδυνήφατα	Τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων.	Idem Iliad. ε.
ἀνδροφόνον	Φάρμακον ἀνδροφόνον διζήμενος.	Idem Od. α.
θυμοφθόρον	Ἐλθεῖν ὄφρ' ἔνθεν θυμοφθόρα φάρμακ' ἐνείκῃ.	Odyss. β.
μητιόεν	Τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα.	Odyss. δ.
λυγρόν	Φάρμακα λυγρ', ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.	Odyss. κ.
οὐλόμενον	Φάρμακον οὐλόμενον, τό σφιν πόρε πότνια Κίρκη	Eod.
αἰνόν	Δίζετο φάρμακον αἰνόν. ἑοὶ δέ μιν εἶργον ἑταῖροι	Calab. lib. 7.
λοίγιον	-- τοῖς ἄμπεχε λοίγιον ὕδρου	Idem lib. 9.
	Φάρμακον αἰνομόροιο.	
λευγαλέον	Οὐδὲ παρειάων φάρμακα λευγαλέα.	Nazianz.
πολύτροπον	Τόσσα δὲ οἱ τελέσειε πολύτροπα φάρμακα νούσων.	Nonnus.
ἐχέφρον	Ἰητὴρ ἀσίδηρος ἐχέφρονα φάρμακα πάσσων.	Idem.
νηπενθές	Νηπενθὲς λυπῶν φάρμακον ὄντα, λόγον.	Dolsc.
δηλητήριον	Καὶ φαρμάκῳ πέφθαρτο δηλητηρίῳ.	Nicephor.
ῥαιστήριον	Ἢ καὶ πασσαμένη ῥαιστήρια φάρμακα θυμοῦ.	Apoll. lib. 3.
θελκτήριον	-- ἵνα οἱ θελκτήρια δοίη	Eod.
	Φάρμακα συνθεσίῃσι.	
μενοεικές	Αὐτοκασιγνήτῃ μενοεικέα φάρμακα δώσειν.	Eod.
ἀκήεστον	Βάπτουσ' ἐκ κυκεῶνος ἀκήεστα φάρμακ' ἀοιδαῖς. (λέθρου	Idem lib. 4.
ἀπεριπόπλον	Φάρμακον ἀπεριπόπλον, ὅτε σφίσιν ἦκαρ ὀ-	Opp. ἁλ. γ.
δυσαές	Κοιλάσι καὶ θαλάμῃσι δυσαέα φάρμακ' ἀλύξει.	Idem ἁλ. δ.
γλυκύ	Εὗρε δ' ὑπὸ κρυμοῦ γλυκὺ φάρμακον.	Epigr. lib. 2.
αὐστηρόν	Οἱ ἰατροὶ σοφοί, τῶν φαρμάκων τὰ αὐστηρότερα πίνειν διδόντες τοῖς κακοσίτοις, μέλιτι πολλάκις τὴν κύλικα περιχρίουσι.	Basilius M. εἰς ψαλ. α.

Nonnus Dionys. βιοσσόον, φερέσβιον, πολύτροπον, σωτήριον, πικρόν.

φᾶρος

Φᾶρος palla, pallium.

πορφύρεον	Πορφύρεον μέγα φᾶρος ἔχων ἐν χερὶ παχείῃ.	Hom. Il. θ.
ἀργύφεον, λεπτὸν, χαρίεν	Αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἕννυτο νύμφη Λεπτὸν καὶ χαρίεν.	Id. Odyss. ε.
ἐΰπλυνές	Τῶν οἱ φᾶρος ἕκαστος ἐΰπλυνὲς ἠδὲ χιτῶνα.	Odyss. θ.
ἁλιπόρφυρον	Φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι.	Odyss. ν.
λευκόν	Λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλόν.	Hesiod. li. 1.
εὐποίητον	Φαρέα τ' εὐποίητα, βοῶν τ' ἑλικώδεα φῦλα.	Calab. lib. 5.
μαλακόν	Κάτθετο δὲ μαλακοῖς ἐνὶ φάρεσιν οἷς ἐνίαυεν.	Theoc. εἰδ. κε.
εὔνητον	Ὅσσον εὐνήτων φαίνεθ' ὑπ' ἐκ φαρέων.	Nazianz.
ἐΰστιπτον	Ἔνθ' αὖ Τυνδαρίδης μὲν ἐΰστιπτον θέτο φᾶρος.	Apoll. lib. 1.
ὀρφναῖον	Λυγαίῃ ἐνὶ νυκτὶ σὺν ὀρφναίοις φαρέεσσι.	Id. lib. 3.
λεπτόμιτον	Ἔρρ' αἰθέριον πλοκάμων ἐμῶν ἄπο λεπτόμιτον φᾶρος. (μένα.	Eurip. Andr.
πολυποίκιλον	Πολυποίκιλα φάρεα καὶ πλοκάμους περιβαλλό-	Id. Iph. Taur
χρυσεόστολον	-- κόρας Ἀρείας χρυσεόστολον φᾶρος.	Id. Herc. Fur.
νεόπλυτον	Αὐτὰρ ἔπειτα λίνοιο νεόπλυτα φάρεα κοῦροι Ἑσσάμενοι.	Orph. λίθ.

Nonn. Dionys. ἁλίχλαινον, πορφυρόνωτον.

Φάσγανον ensis.

ὀξύ	Ἢ ὅγε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ.	Hom. Il. α.
ἄμφηκες	Φάσγανον ἄμφηκες· τὸ δ' ἑὸν παρὰ νηυσὶ λέλειπτο	Id. Iliad. κ.
ἀργυρόηλον	Ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου.	Iliad. ξ.
μελάνδετον, κωπήεντα	Πολλὰ δὲ φάσγανα καλὰ, μελάνδετα, κωπήεντα.	Iliad. ο.
καλὸν, Θρηΐκιον	-- δώσω τόδε φάσγανον ἀργυρόηλον Καλὸν, Θρηΐκιον.	Iliad. ψ.
πλατύ	Ἀλλὰ μεταΐξας πλατὺ φάσγανον, ὥστε διαπρό.	Theoc. εἰδ. κζ.
θηκτόν	Μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος. (βρῳ.	Nazianz.
ἐχθρόν	Φάσγανον ἐχθρὸν ἔλυσε μεμηνότος αἵματος ὄμ-	Tryphiod.
ἀμφίτομον	Πῆξα κατὰ κραδίης φάσγανον ἀμφίτομον.	Epigr. lib. 4.
τριπάτορον	Ῥαισθεὶς τριπάτρῳ φασγάνῳ Κανδάονος.	Lycophr.
κελαινόν, ταυροκτόνον	Ἢ φάσγανον κελαινὸν, ἢ ταυροκτόνον.	Idem.
ὀξύθηκτον	Οἱ δ' ὀξυθήκτοις φασγάνοις ὡπλισμένοι.	Eurip. Andr.

Nonnus Dionys. σελασφόρον.

Φᾶσις Phasis, fl. Colch.

βαθύς	Ἀλλὰ διεξάιξε, βαθὺν δ᾽ εἰσέδραμε Φᾶσιν.	Theoc. εἰδ. ιγ.
ἄξενος	Πεζὸς δ᾽ ἐς Κόλχως τε καὶ ἄξενον ἵκετο Φᾶσιν.	Eod.
ἐρυμνός	Ἀξείνου πόντοιο μυχούς, καὶ Φᾶσιν ἐρυμνόν.	Orph. Arg.
καλλίροος	Φᾶσιν καλλίροον, μένος ὄβριμον Ἡρακλῆος.	Idem.
καλλιρέεθρος	Ἔσπερ ἐπ᾽ ἀξείνου Φᾶσιν κατὰ καλλιρέεθρον.	Idem.
δινήεις	Φᾶσιν δινήεντα σὺν ἐνδαπίαις μέγα Νύμφαις.	Idem.
εὐρυμενής	Φᾶσίς τ᾽ εὐρυμενὴς, ἀκαλαῤῥείτης τε Σαράγγης. & alio loco:	Idem.
ἐϋῤῥείτης	Ἦκε φέρουσ᾽ εἰς χεῦμα ἐϋῤῥείτου ποταμοῖο.	
εὐρυρέων	Φᾶσίν τ᾽ εὐρυρέοντα, καὶ ἔσχατα πείρατα γαίης.	Apoll. lib. 2.
ἀμδραίπος	Φάσιδος εἱαμενῇ ἀμδραντοῦ εἰλίσσονται.	Idem libr. 3.

Φάτνη præsepe.

Nonn. Dionys. ὑποβρυχίη, ὀρέσαυλος, χροπὴ, ὀργηλὴ, εὐρύβατος, ἀλίβρεκτος.

Φαῦνος Faunus.

Nonn. Dionys. ἀμφίθεμις, ἐρημονόμος, ἱππομανὴς, Φαεθοντίδος αἷμα γενέθλης.

Φάσμα visio, spectrum.

μελανόπτερον	Οὔ με παρέβα φάσμα μελανόπτερον.	Eurip. Heca.

Nonn. Dionys. ἑτερόχροον, ἀντίτυπον, σκιοειδὲς, ποικιλόμορφον, πολυδαίδαλον, ἑτερότροπον, ἀπατήλιον.

Φέγγος splendor, iubar.

γλυκύ	Ναὶ γὰρ ἐμὸν γλυκὺ φέγγος ἀποιχόμενον πάλαι ὄσσων.	Theoc. εἰδ. λα
ἀστράπτον	Φέγγεος ἀστράπτοντος ἐφίλατο μᾶλλον ὀμίχλην	Nonnus.
ἀσπάσιον	--τῇ δ᾽ ἀσπάσιον βάλε φέγγος Ἠριγενής.	Apoll. lib. 3.
νόστιμον	Νόστιμον ἀστράψῃ φέγγος ἐλευθερίης.	M. Musurus.
ἀλεξίκακον	Οὕνεκα φέγγος ἄειρας ἀλεξίκακον βασιλῆος.	Apolinar.
θεοτερπές	Ἐν γὰρ σοὶ θεοτερπὲς ἰδοίμεθα φέγγεϊ φέγγος.	Idem.
θεσπέσιον	Θεσπεσίῳ δ᾽ οὐ πάμπαν ἔχον περὶ φέγγεϊ βουλήν.	Idem.

ἀγήραον	Τὰν ἤτοι σέο φέγγος ἀγήραον ἡγεμονεύσει.	Idem.
ἀκηράσιον	Ἀμφιβόλων ἄπε φέγγος ἀκηράσιον μέγα φέγγος	Idem.
ἄσβεστον	Φέγγος ὑπὸ κραδίην σοφίης ἄσβεστον ἀείρων.	Christod.
ἀκουσίθεον	Εὔξηται, λάμψω φέγγος ἀκουσίθεον.	Epigr. lib. 6.
καθαρόν	Χαρίτων κελαδεινᾶν μή με λίποι καθαρὸν φέγγος.	Pind. Pyth.
τηλαυγές	Τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν.	Id. Nem.
χρυσεόκυκλον	Ὦ λιπαροζώνου θύγατερ ἀελίου Σελαναία χρυσεόκυκλον φέγγος.	Eurip. Phœn.

Nonnus Dionys. λαχνῆεν, cometam significans.

Φεραὶ *Pheræ, op. Theß.*

ἐϋρρεῖται	Οὐδὲ Φεραῖς Ἄδμητος ἐϋρρείτῃσιν ἀνάσσων.	Apoll. lib. 1.

Φέρεκλος *Phereclus, faber.*

ἀρχέκακος	Ἤ εἶπον ἀρχεκάκοιο περιφροσύνῃσι Φερέκλου.	Coluth.

Φερσεφόνη: supra Περσεφόνη.

Φηγὸς *fagus.*

περικαλλής	Εἶσαν ὑπ' αἰγιόχοιο Διὸς περικαλλέϊ φηγῷ.	Hom. Il. ε.
ὑψηλή	Φηγῷ ἐφ' ὑψηλῇ πατρὸς Διὸς αἰγιόχοιο.	Id. Iliad. η.
σκιερά	-- σκιερὰν δ' ὑπὸ φαγὸν ἀελίου φρύγοντος.	Theoc. εἰδ. ιβ.
Χαονική	Χαονικὴν ὑπὸ φηγὸν ἀρηγόνις ἐξελόχευσε.	Orph. Arg.
χαλαζαίη	Χρύσεον ἠώρητο χαλαζαίῃ ἐπὶ φηγῷ.	Idem.
ἱερή	Ἀμφ' ἱερῆς φηγοῖο δέρας χρύσειον ἕλωμεν.	Idem.
ἐραννή	Ἀλλ' ὅτε δὴ σχεδόθεν κατεφαίνετο φηγὸς ἐραννή.	Idem.
ὑψίκομος	Ὑψίκομον ποτὶ φηγὸν ἐπεσσύμενον προϊδόντες	Idem.
λασία	Ὅν ποτε Γαιήων λασίῃ ἐνὶ θρέψατο φηγῷ.	Nicand. Th.
ἀγελιάς	Φηγοὶ δ' ἀγελιάδες, κείνης ἔτι σήματα μολπῆς.	Apoll. lib. 1.
Δωδωνίς	Στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.	Eod.
κελαινή	Φηγοῦ κελαινῆς διπτύχων ἕνα φθερεῖ.	Lycophr.

Φήμη (poet. φῆμις) *fama.*

ἀδευκής	Τὰν δ' ἐκείνῳ φῆμιν ἀδευκέα &c.	Hom. Od. ζ.
δεινή	Ὧδ' ἔρδειν, δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.	Hesiod. li. 2.
πολύθροος	Ὄρθρον ὑπὸ σκιόεντα πολύθροος ἤλυθε φήμη.	Tryphiod.

συγερὴ, ἀεικής	Καὶ μέγα αἰδομένη συγερὴν τε ἀεικέα φήμην.	Calab.lib.1.
πικρὴ, δυσηχ.	Κλῦθι πικρᾶς φήμης δυσηχέος, ἀνδράσι πῆμα	Sibyll.
ἀθέσμιος	Οὔποθ' ὑποδδείσειεν ἀθέσμιον οὔασι φήμην.	Apolinar.
φιλοφόρμιγξ	Ἀγνῶν ἐκ στομάτων φερέσθω φάμα φιλοφόρ-	Æſch.Suppl.
δυσκέλαδος	Οὐκέτι δυσκέλαδος φάμα γυναῖκας ἕξει. (μιγξ	Eur. Medea.
	Nonn. Dionyſ. αὐτοδίδακτος, ὀρεστιὰς, πολεμητόκος, ἀελλήεσσα, πτερόεσσα, πολύστομος, ἀμφιβόητος.	
	Φηρεὺς *Pheres.*	
ὀμβριμόθυμος	Φηρεὺς ὀμβριμόθυμος· ὁ δ' ἔκτανε Λαομέδοντα	Calab.lib.2.
	Nonn.Dionyſ. ἀκροπότης, φιλέψιος.	
	Φήρ: ſupra θήρ.	
	Φηρή *Phere, op.*	
ἐϋκτιμένη	Τῶν ῥα πατὴρ μὲν ἔναιεν ἐϋκτιμένῃ ἐνὶ Φηρῇ.	Hom.Il.ε.
	Φθία *Phthia, op. Theſſ.*	
ἐριβῶλαξ, βωτ	Οὐδέ ποτ' ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ.	Hom.Il.α.
μήτηρ θηρῶν	Φθίην ἐξικόμην ἐριβώλακα, μητέρα θηρῶν.	Id. Iliad.ι.
χαρίεσσα, τρ. ἀρ.	Οὐ Φθίην χαρίεσσαν, ἀριστήων τροφὸν ἀνδρῶν.	Coluth.
εὔπωλος	-- τε οὐκ ἄγε δῖαν ἄκοιτιν Φθίην εἰς εὔπωλον.	Calab. lib.1.
εὐρύπεδος	Κάτθανες ἐς Τροίην, Φθίης ἑκὰς εὐρυπέδοιο.	Idem libr. 3.
	Φθιάς *Phthias.*	
εὐπολέμεια	Μυρμιδόνος κούρη Φθιὰς τέκεν εὐπολέμεια.	Apoll. lib. 1.
	Φθινόπωρος: ſupra ὀπώρη.	
	Φθόγγος *ſonus.*	
βαρύς	Δεισάντων φθόγγον τε βαρὺν, αὐτόν τε πέλωρον.	Hom. Od. ι.
πάμμουσος	Ὅστις παμμούσῳ φθόγγῳ μελιηδέας ὕμνοις.	Sibyll.
ἐρωτοπλανός	Ἀκρὶ μιτωσαμένη φθόγγον ἐρωτοπλανόν.	Epigr. lib. 3.
	Nonn. Dionyſ. ἠερόφοιτος, μαλακός.	
	Φθόνος *inuidia.*	
δαϊκτός	Φθόνον οὐκ οἶδ' ἐμὸν ἦτορ,	Anacr.
	Φθόνον οὐκ οἶδα δαϊκτόν.	

λάθριος	Ὁ φθόνος Ἀπόλλωνος ἐπ᾽ οὔατα λάθριος εἶπεν.	Callimach.
αἰνὸς, τηκεδανός	-- ἢ φθόνος αἰνὸς Τηκεδανὸς, κακόχαρτος &c.	Nazianz.
κρυπτὸν κακόν	Τοῖς φθόνος οὐ πελάει κρυπτὸν κακὸν, εἰ θέμις εἰ-	Idem.
μογερός	Δώσω γε τόδε σοὶ μογερὲ φθόνε. (πεῖν.	Idem.
ἄμαχον κακόν	Ὦ φθόνε κακὸν ἄμαχον ἀπείριτον, ἄχθος ἀρού-	Cyr. Theod.
ἀργαλέη νόσος	ρης, Νοῦσε μέγ᾽ ἀργαλέη. (κνον ἐχίδνης.	
πῦρ ὀλοὸν, π.	Id. φθόνον vocat πῦρ ὀλοὸν, πολέμου στόμα, τέ-	
βαρύς	Καί σε τόσον νίκησε βαρὺς φθόνος.	Epigr. lib. 1.

φιάλη *phiala*.

ἀμφιθέτη, ἄπυ.	Πέμπτῳ δ᾽ ἀμφιθέτην φιάλην ἀπύρωτον ἔθηκεν.	Hom. Il. ψ.
ἐραννή	Φιάλην προέπινε παισὶ, Φιάλην λόγων ἐραννήν.	Anacr.
πολυχανδής	Τοὔνεκά οἱ φιάλην πολυχανδέα δῶκε φέρεσθαι.	Calab. lib. 9.
ἐπιλοίβιος	-- τὴν μετ᾽ ἀείρων Δεξιτερῇ φιάλην ἐπιλοίβιον.	Christod.
οἰνηρή	Σικυωνόθεν δ᾽ ἀργυρωθέντες σὺν οἰνηραῖς φι- άλαις ἐπέβαν.	Pind. Nem.
οἰνοδόκος	Ἄνδωκε δ᾽ αὐτῷ φέρτατος οἰνοδόκον φιάλαν.	Idem Isthm.
	Nonn. D. εὔθηκτος, βρόμιος, θυασώδης.	

φιλία *amicitia*.

ἀρραγής	Ἀρραγέος φιλίης ἀλύτῳ ξυνώσατε θεσμῷ.	Nonnus.
ἄλυτος	Δεσμὸν ἐς ἀλλήλοις φιλίης ἀλύτοιο φυλάσσειν.	Idem.
καθαρά	Ἀνθρώπου καθαρὰν ψευδομένου φιλίαν.	Epigr. lib. 1.
δολερή	Τὴν φανερὰν ἔχθραν τῆς δολερῆς φιλίης.	Epigr. lib. 2.
	Nonn. Dionyſ. ἀμφιβάπτεζα.	

Φιλοκτήτης *Philoctetes*.

ἑκηβόλος	Ὤικτειραν μάλα πάντες ἑκηβόλον ἀνέρα λυγρῷ Ἕλκει τειρόμενον.	Calab. lib. 9.
Ποιάντιος	Πάντες ὁμῶς οἱ ἄριστον ἄγον Ποιάντιον υἷα.	Eod.
φιλοπτόλεμος	-- οἱ δ᾽ αἶψα φιλοπτολέμῳ βασιλῆϊ Εὐνὴν ἐντύνοντο.	Eod.
αἰθοπλίτης	Πρὸς αἰθοπλίτου ξυνὸν ὀρχήστου μόρον.	Lycophr.
μιαιφόνος	Κείμισσα φιτρὸν δέξεται μιαιφόνον.	Idem.
τοξότης	Ποιάντος υἱὸν τοξόταν, ὃς Πριάμοιο πόλιν πέρσε.	Pind. Pyth.
κλεινός	Ὅδ᾽ ἔσθ᾽ ὁ κλεινὸς σοι Φιλοκτήτης ξένε.	Soph. Phil.

Φιλομήλη *Philomela.*

Θρηϊκίη	Ἀτθίδα καὶ Πρόκνην, καὶ Θρηϊκίην Φιλομήλην.	Opp. κυνηγ. γ.
	Nonn. Dionys. δισηλάκατος, φυγόδεμνος, ἰσοπόνος, ἀνδροφόνος.	

φίλος *amicus.*

γενναῖος	Μακάριος ὅστις ἔτυχε γενναίου φίλου.	Menand.
ἐμφανής	Πολλὸν δὲ κρεῖττόν ἐστιν ἐμφανὴς φίλος.	Idem.
βέβαιος	Φίλον βέβαιον ἐν κακοῖσι μὴ φοβοῦ.	Idem.
εὐμενέων	Βέλτερον ἀντ' ἐχθροῦ τυχεῖν φίλου εὐμενέοντος.	Phocyl.
γνήσιος	Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα.	Epigr. lib. 1.
καιρόθεος	Βῆμα τόδ' οὐχ ὁσίως καιροθέοισι φίλοις.	Nazianz.
ἄφιλα φρονέων	Τηκεδανή τε μέριμνα, φίλοι τ' ἄφιλα φρονέοντες. sicut Plato quoque τὸν φίλον esse dicit φύσει εὐμετάβολον ζῶον.	Idem.

φιλόσοφοι *Philosophi.*

Ὀφρυανασπασίδαι, ῥινεγκαταπηξογένειοι,
σακκογενειοτρόφοι, καὶ λοπαδαρπαγίδαι·
εἱματανωπερίβαλλοι, νηλιποκαιβλεπάλαιοι,
νυκτιλαθραιοφάγοι, νυκτιπαταιπλάγιοι·
μειρακιεξαπάται, καὶ συλλαβοπευσιλαβῆται,
δοξοματαιόσοφοι, ζηταρετησιάδαι.

Ex Hegesandri Commentariorum libro VIII epigramma hoc citat Iulius Scaliger Poetices lib. 1. Apud Gellium vero, lib. 1, cap. 2, φιλόσοφος Epicteto dicitur ἀκώλυτος, ἀνεκβίαστος, ἀπαρεμπόδιστος, ἐλεύθερος, εὔπορος, εὐδαίμων.

φιλότης *amicitia, amor.*

κρυπταδία	Κρυπταδίῃ φιλότητι μιγήμεναι.	Hom. Il. ζ.
ἐρατεινή	Τὼ δ' ἐπεὶ οὖν φιλότητος ἐταρπήτην ἐρατεινῆς	Id. Odyss. ψ.
ἑταιρείη	Ὃν πάρος ὠρίζεσκον ἑταιρείῃ φιλότητι.	Idem hymn.
νυχίη	Καὶ νυχίην φιλότητα, καὶ ἀγγελίην ὑμεναίων.	Musæus.

ἐφίμερος	Νόσφιν ἄτερ φιλότητος ἐφιμέρου.	Hesiod. Scu.
ἐνηής	Μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες.	Id. Theog.
κουριδία	Πρός τε τεῶν λεχέων, καὶ κουριδίης φιλότητος.	Calab. li. 10.
λευγαλέη	Ῥηΐδίη δ' ὁδὸς ἠδὲ διακρῖναι φιλότητα	Naumach.
	Λευγαλέην.	
ἐραννή	Ζηνὸς ἐφημοσύνῃσιν. ὁ γὰρ φιλότητος ἐραννῆς.	Dionyſ.
ἀζυγής	Ῥήξειεν μερόπων ἱερὸν γένος ἐκ φιλότητος	Nazianz.
	Ἀζυγέος.	
μοιχιδίη	Μὴ δέ σε μοιχιδίην κλέπτειν φιλότητα βίοιο.	Idem.
ἀναιδής	Ἀρχὴ γὰρ φιλότητος ἀναιδέος, ὄψις ἀναιδής.	Idem.
ἀναγκαία	Νικήσας ζεύξῃ μιν ἀναγκαίῃ φιλότητι.	Opp. ἁλ. α.
ἀμοιβαία	Ὡς οἵγ' ἀλλήλοισιν ἀμοιβαίῃ φιλότητι.	Id. ἁλ. δ.
	Nonn. Dionyſ. ζυγίη, οἰνοβαρής.	
	φιλοχρημοσύνη auaritia.	
χρυσομανής	Οὐκ ἔστι χρυσομανῆ τὴν φιλοχρημοσύνην.	Dolſc.
αἰσχρόβιος	Αἰσχροβίῳ φιλοχρημοσύνῃ κακοκερδέϊ πλούτῳ.	Sibyll.
	φίλτρον philtrum.	
ἁπαλόν	Ἁπαλὸν βροτοῖσι φίλτρον	Anacr.
	Ποτὸν ἄστονον κομίζων.	
γλυκύ	-- τὸ δὲ σεῦ γλυκὺ φίλτρον ἀμέλξω.	Theoc. εἰδ. κδ.
ἐρατόν	Φίλτροις Ὑψιπύλην ἐρατοῖς ἐδάμασσεν Ἰήσων.	Orph. Arg.
παρθένιον	Ἡ δ' ὡς παρθενίοις αὐτοῦ φίλτροις ἐδαμάσθη.	Idem.
ἄπιστον	Κάλλος φίλτρον ἄπιστον, ἀτάρβητον κακὸν αἰσχρος. (σμοῖς.	Nazianz.
ἀκέαστον	Φίλτρον ἔχων ἀκέαστον ὁμοφροσύνης ὑπὸ δε-	Idem.
ἀμβρόσιον	Φίλτρῳ ὑπ' ἀμβροσίῳ θυμὸν ἁλισκόμενος.	Cyr. Theod.
θελξίνοον	Ὡς αὖ θελξινόοισιν ἀεὶ φίλτροισι δαμάζῃς.	Epigr. lib. 6.
νήπιον	Εἶπον ἐγὼ καὶ πρόσθεν ὅτ' ἦν ἔτι φίλτρα τερείνης	Epigr. lib. 7.
	Νήπια.	
	Nonn. Dionyſ. φυσίζοον.	
	Φίλυρα Philyra, nympha.	
Ὠκεανίς	Ἡ δ' αἰδοῖ χῶρόν τε καὶ ἤθεα κεῖνα λιποῦσα	Apoll. lib. 2.
	Ὠκεανὶς Φιλύρη.	

	Φινεὺς *Phineus.*	
αἰνόγαμος	Ἔνθα ποτ' αἰνόγαμος Φινεὺς ὑπερβιώσει θυμῷ.	Orph. Arg.
Ἀγηνοείδης	Αὐτὰρ ἔπειτα Φινῆος Ἀγηνοείδαο λιπόντες Αὖλιν.	Idem.
	Nonn. Dionys. λιπόπτολις.	
	Φλοῖσβος *strepitus aquæ.*	
ἰλυόεις	Ἄλλαι δ' ἰλυόεντος ὑπ' ἐκ φλοίσβοιο φύονται.	Opp. ἁλ. α.
βλοσυρός	Φημὶ κατ' βλοσυρὸν φλοῖσβον ἐνυαλίου.	Epigr. lib. 6.
	Φλὸξ *flamma.*	
δεινή	Δεινὴ δὲ φλὸξ ὦρτο θεείου καιομένοιο.	Hom. Il. θ.
κελαινή	Ὣς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθών.	Iliad. π.

εὐρυόδεια

εὐρυόδεια	Ὡς τ' ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης.	Eod.
δῖα	Καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει.	Iliad.ω.
τρηχεῖα	Χθὲς γινόμην, ἁπαλοὶ δὲ πόδες, τρηχεῖα δ' ὑπὸ χθών.	Id.hymn.
βωτιάνειρα	Γεινομένησιν ἔφυσαν ἐπὶ χθονὶ βωτιανείρῃ.	Ibid.
βαθύκληρος	Τῷ δὲ βαθυκλήροιο διὰ χθονὸς Αἱμονιήων.	Coluth.
ἀκάματος	Ἠδὲ καὶ ἀκαμάτου πείρατα χθονός.	Calab.lib.2.
εὐρύπεδος	Ὡς νέφος, ἢ πολὺς ὄμβρος ὑπὲρ χθονὸς εὐρυπέδοιο. (λα.	Eod.
κοίλη	Ὁππότε περ πάντα θάνωμες ἀνάκοοι ἐν χθονὶ κοί-	Theoc.εἰδ.ιθ.
ἀοίκητος	-- ἔνθα δὲ πολλὸς ἀοικήτου χθονὸς αὐλών.	Dionys.
λιπαρή	Ἄγχι δὲ Βιθυνοὶ λιπαρὴν χθόνα ναιετάουσι.	Idem.
δυσζώεμος	- περὶ δέ σφι δυσζώεμος ἐκτέταται χθών.	Idem.
ἀγχίαλος	Ἀγχιάλου γεγαῶτες ἐπὶ χθονός, ἧς διὰ μέσσης.	Idem.
ἠχήεσσα	Αἰεὶ δ' ἠχήεσσαν ἀνὰ χθόνα δοῦπος ἀκόντων.	Idem.
μήτηρ λαῶν	Σὺν μήδεσιν θεσφάτοισιν ἐπὶ χθονὶ μητέρι λαῶν.	Sibyll.
μεγάλη, εὐρυάγ.	Ἰουδαίων δ' ὀλέσει μεγάλην χθόνα εὐρυάγυιαν.	Ibid.
ζοφερή	Ἐς χθόνα νῦν ζοφερὴν καταπέμπεται.	Cyr.Theod.
εὐρύχορος	-- ὅσ' εὐρύχορος χθὼν τὰ μέγιστα φορεῖ.	Dolsc.
ἀκίνητος	Καί περ ἀκινήτου χθονὸς ἔσχατα νειόθ' ἐσείσθη.	Idem.
τρυφερή, πολύκαρπος	Ἵλαθι παγγενέτωρ τρυφερῇ χθονὶ τῇ πολυκάρπῳ.	Sibyll.
σιδηροφόρος, ς.	Ἀλλὰ σιδηροφόρον στυφελὴν χθόνα γατομέοντες	Apoll.lib.2.
αἰθοκόμος	Ῥιζόθεν αἰθοκόμος περισείετο κινυμένη χθών.	Apolinar.
καρποτόκος	Καὶ χθὼν καρποτόκος γε φυσίζοον εἶδαρ ὀπάσσοι.	Idem.
ἱερή	Χθὼν ἱερὴ βεβέληθεν ἀμεμβρήτων σέθεν ἔργον.	Idem.
εὔφορβος	Οὐ ποσὶν εὐφόρβοιο κατὰ χθονὸς ἴχνος ἐρεῖσαι.	Idem.
δύσχιμος	Βάρβαρα τείχη, τήνδε δύσχιμον χθόνα.	Nazianz.
παμβασίλεια	Οὐρανὸν ἠδὲ θάλασσαν, ἰδὲ χθόνα παμβασίλειαν.	Orph.hymn
γλαφυρή	Τύμβος ἔχει. γλαφυρῆς γὰρ ἀπὸ χθονὸς ἔκτανε δεινὸς Σκορπίος.	Epigr. lib.3.
σηματόεσσα	Ὦ χθὼν σηματόεσσα, καὶ ἡ περὶ θινὶ θάλασσα.	Eod.
δύσβωλος	Τὴν δ' ὑπὸ δύσβωλον θλίβει χθόνα φωτὸς ἀλιβροῦ	Eod.
εὐδείελος	Ἐς εὐδείελον χθόνα μόλῃ κλειτᾶς Ἰωλκοῦ.	Pind.Pyth.

ἐρίβρομος	Ἠ' χαρίτων ἀναπολίζομεν ὀμφαλὸν ἐριβρόμου χθονός. (ἄποιναν χθονός.	Ibid.
πολύμηλος, πολ. εὔκαρπος	Τόθι νιν πολυμήλου καὶ πολυκαρποτάτας θῆκε δε- Ἀριστεύοισαν εὐκάρπου χθονός.	Ibid. Id. Nem.
εὐρύκολπος	Τοὶ γὰρ μέγαν ὀμφαλὸν εὐρυκόλπου ἔμολε χθονός	Ibid.
βαθύστερνος	Ὁ δ' Ἀμφιαρῆϊ σχίσεν κεραυνῷ παμβία Ζεὺς τὰν βαθύστερνον χθόνα.	Ibid.
στερνοῦχος	Ἀκηράτῳ σὺν ὄμβρῳ στερνούχου χθονός.	Soph. O.C.
βαθύπλουτος	Ποταμοῖς δ' ἀενάοις, καὶ βαθυπλούτου χθόνα.	Æsch. Suppl.
ζαθέα, ὀλβιόδωρος	Ἵν' ὀλβιόδωρος αὔξει ζαθέα χθὼν εὐδαιμονίαν θεοῖς.	Eurip. Hipp.
πίειρα, παντ. τρ.	Καὶ χθόνα πίειραν, πάντων τροφὸν οὐθατόεσσαν.	Orph. λιθ.
	Nonn. Dionys. ἀρπιχάρακτος, Βακχείη, σταφυληκόμος.	

Χίμαιρα Chimæra.

ἀμαιμακέτη	Πρῶτον μέν ῥα χίμαιραν ἀμαιμακέτην ἐκέλευσε.	Hom. Il. ζ.
δισώνυμος	- οὔτε Τυφωεὺς Ἀρκέσει, οὐδὲ χίμαιρα δισώνυμος	Idem hymn.
δεινή, μεγ. ποδ.	Δεινήν τε, μεγάλην τε, ποδώκεά τε, κρατερήν τε.	Hes. Theog.
πῦρ πνέουσα	Καὶ Χίμαιραν πῦρ πνέοισαν, καὶ Σολύμοις ἔπεφνεν.	Pind. Olym.
τρισώματος	Τὰν πυρπνέουσαν ἐναίρει τρισώματον ἀλκάν.	Eurip. Ione.

Χίος Chios ins.

παιπαλόεσσα	Ἠ' καθύπερθε Χίοιο νεοίμεθα παιπαλοέσσης.	Hom. Od. γ.
ἀμφιρύτη	Ἤμβροτες, οὐδ' ἵκευ Χίον ἐς ἀμφιρύτην.	Epigr. lib. 3.

χιτὼν tunica, sagum.

μαλακός	Ἕζετο δ' ὀρθωθείς, μαλακὸν δ' ἔνδυνε χιτῶνα.	Hom. Il. β.
καλός, νηγάτεος	Καλόν, νηγάτεον· περὶ δ' αὖ μέγα βάλλετο φᾶρος	Eod.
λάϊνος	Λάϊνον ἕσσο χιτῶνα, κακῶν ἕνεχ' ὅσσα ἔοργας.	Id. Iliad. γ.
στρεπτός	Αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος.	Iliad. ε.
χάλκεος	-- ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα Χάλκεον.	Iliad. ν.
νεκτάρεος	Νεκταρέῳ δὲ χιτῶνι μάλιστ' ἀμφίζανε τέφρη.	Iliad. σ.
εὔνητος	-- οἱ δὲ χιτῶνας Εἵατο εὐνήτους.	Eod.

ἐπημοιβός	Οὐ γὰρ πολλαὶ χλαῖναι ἐπημοιβοί τε χιτῶνες.	Odyſſ. ξ.
σιγαλόεις	-- χιτῶνα περὶ χροῒ σιγαλόεντα Δῶκεν.	Odyſſ. ο.
τερμιόεις	Καλὴν πορφυρέην, καὶ τερμιόεντα χιτῶνα.	Odyſſ. τ.
εὔκλωστος	Μαρμαρυγαί τε ποδῶν καὶ εὐκλώστοιο χιτῶνος.	Id. hymn.
πολυδαίδαλος	Θαρσαλέως παλάμῃ πολυδαίδαλον ἕλκε χι- (τῶνα.	Muſæus.
λεγνωτός	-- καὶ ἐς γόνυ μέχρι χιτῶνα Ζώννυσθαι λεγνωτόν.	Callimach.
εὔμιτρος	Γυμνὸς ἄνευ χλαίνης τε καὶ εὐμίτροιο χιτῶνος.	Theoc. εἰδ. κε
τρυφερός	Οὐδ᾽ ἐν χιτῶσι τρυφεροῖς ἐσκείμενοι.	Nazianz.
εὐρύκολπος	Ὁ δὲ χιτῶνα περιδὺς εὐρύκολπον εἰςάγαν.	Tzetzes.
ἱμερτός	Ἱμερτοὺς δονέουσιν ἐπὶ στήθεσι χιτῶνας.	Dionyſ.
εὔνητος	Χλαίνας τ᾽ ἠδὲ τάπητας, ἐϋννήτους τε χιτῶνας.	Orph.
λίνεος	Σύζυγας ἀλλήλοις λινέοις ἐνόησε χιτῶνας.	Nonnus.
αἰγλήεις	Ἱσάμενοι δάσαντο καὶ αἰγλήεντα χιτῶνα.	Idem.
πετρήεις	Ὄφρα σε πετρήεντι κατακρύψωσι χιτῶνι.	Idem.
λεπτοφυής, λάσ.	Λεπτοφυεῖ λασίῳ πεπυκασμένον ἄνδρα χιτῶνι.	Idem.
ποικιλόνωτος	Καὶ χροῒ ποικιλόνωτον ἐπὶ σφίγξασα χιτῶνα.	Idem.
δερμάτινος	Δερματίνοισι χιτῶσιν ἑλὼν ἔβαλσ᾽ ἐπὶ γαῖαν.	Nazianz.
παρθένιος	Παρθένιον λεγνωτὸν ἀναζωσθεῖσα χιτῶνα.	Chriſtod.
ἀλεξιβέλεμνος	Καὶ τὸν ἀλεξιβέλεμνον ἀπὸ στέρνοιο χιτῶνα.	Epigr. lib. 6.

Nonn. Dionyſ. πολύπλεκτος, λαχνήεις, αἰολόνωτος, βαθύκολπος, χαλκοβαρής, σιδήρειος, ἄρρηκτος, εὔοδμος, ἀμβροσίη, ῥωγαλέος, ἀστραῖος, ἀκόμιστος, λάσιος, νεόκλωστος.

χιὼν *nix.*

ψυχρή	Ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυστάλλῳ.	Hom. Il. χ.
λευκή	Λευκᾶς ἐκ χιόνος ποτὸν ἀμβρόσιον προΐητι.	Theoc. εἰδ. ια
ἁπαλή	Στίλβε γὰρ ὥσπερ ἁπαλὴ χιὼν νέα.	Nazianz.
κρυόεσσα	Ἐκ νεφέων περιχυθεῖσα χιὼν κρυόεσσα καλύψῃ.	Opp. κυνηγ. γ.
ὀξεῖα	Νιφόεσσ᾽ Αἴτνα πάνετες χιόνος ὀξείας τιθήνα.	Pind. Pyth.

χλαῖνα *læna.*

φοινικόεσσα	Ἀμφὶ δ᾽ ἄρα χλαῖναν περονήσατο φοινικόεσσαν.	Hom. Il. κ.

ἀνεμοσκεπής	Χλαινάων τ' ἀνεμοσκεπέων, οὔλων τε ταπήτων.	Id. Iliad. π.
οὔλη	Χλαίνας τ' ἀνθέμεναι οὔλας &c.	Id. Iliad. ω.
πορφυρέη	Χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖιν ἀνασχών.	Odyss. δ.
πυκνή, μαλακή	-- ἐπὶ δὲ χλαῖναν βάλεν αὐτῷ Πυκνὴν καὶ μαλακήν.	Odyss. ξ.
ἀλεξάνεμος	Ἀμφὶ δὲ χλαῖναν ἕεσσατ' ἀλεξάνεμον μάλα πυκνήν.	Eod.
ἀμνεία	Ἀμφιτρύων δὲ τὸν ἄλλον ὑπ' ἀμνείαν θέτο χλαῖναν.	Theoc. εἰδ. λα
φοινικ. πολυδ.	Χλαῖναν φοινικέην πολυδαίδαλον, ἔργον Ἀθήνης	Orph. Arg.
πενθήρης	-- πενθήρεα χλαῖναν ἑσσάμενος.	Dolsc.
τερμιόεσσα	Τῷ ῥα καθὼς χλαίνη ἡ τερμιόεσσα γλυέσθω.	Idem.
	χλόη planta virens.	
ἡδύπνοος, πολ.	Ἡδυπνόοις χαίρουσα χλόαις πολυανθέσι δαῖμον	Orph. hym.
	χλούνης aper, verres.	
ὀρείτροφος	Δαιμόνιοι χλούνην μὲν ὀρείτροφον, ἠδὲ καὶ ἄρκτον.	Opp. κυν. α.
	χόανος furnus fusorius.	
εὔτρητος	Τέχνη ὑπ' αἰζηῶν, ὑπό τ' εὐτρήτου χοάνοιο.	Hes. Theog.
τρητός, εὔρρινος	Ὡς δ' ὅτ' ἐνὶ τρητοῖσιν εὐρρίνοις χοάνοισι.	Apoll. lib. 3.
	Χοάσπης Choaspes, fl.	
πολύφλοισβος	Ὅσσα θ' ὑπ' Ἰνδὸν χεῦμα πολυφλοίσβοιο Χοάσπου.	Nicand. Th.
	χολή fel, bilis, ira.	
αἰνή	Ἔζεσε φοίνιον αἷμα, χολὴ δ' ὑπερέβλυσεν αἰνή.	Calab. lib. 5.
δριμεῖα	Καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.	Theoc. εἰδ. α.
φλογερή	Οὔθ' ἧψεν φλογερῆς πῦρ ὅλον εἷο χολῆς.	Dolsc.
δεινή, οὐλομένη	Ὤλεσαν δεινὴν οὐλομένην τε χολήν.	Idem.
ἀγρία	Πλήσει γέμοντα θυμὸν ἀγρίας χολῆς.	Lycophr.
	χόλος ira, bilis, fel.	
ἄγριος	Σκυζομένη Διῒ πατρί, χόλος δέ μιν ἄγριος ᾕρει.	Hom. Il. δ.
θυμαλγής	Μάρναται, ἀλλ' ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει	Eod.

ἐπιζάφελος	Ἡρώων, ὅτε κέν τιν' ἐπιζάφελος χόλος ἵκοι.	Id. Iliad. ι.
ἀργαλέος	Ἐκ χόλου ἀργαλέοιο μεταστρέψῃ φίλον ἦτορ.	Iliad. κ.
ἀνήκεστος	Ἴστω τοῦθ' ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται.	Iliad. ο.
αἰπύς	Οἴχεται εἰς ἅλα δῖαν ἀλευάμενος χόλον αἰ-πύν.	Eod.
δριμύς	Εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ.	Iliad. σ.
αἰνός	Βεβρωκὼς κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλος αἰνός.	Iliad. χ.
δεινός	Ὥς τὴν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο.	Odyss. γ.
χαλεπός	Μνηστῆρες, καὶ δὴ μεθίεν χαλεποῖο χόλοιο.	Odyss. φ.
ὀλοός	Ἀλλ' ἡ μὲν μακάρων ὀλοὸν χόλον ἐκτελέουσα.	Calab. lib. 1.
ἀλγινόεις	-- ὥς κεν χόλου ἀλγινόεντος Ἐσσυμένως λελάθωνται.	Idem lib. 4.
στονόεις	Εἰ μή οἱ στονόεντα χόλον διέχευεν Ἀθήνη.	Id. lib. 9.
ἀνιηρός	Ῥηϊδίως κατέπαυσεν ἀνιηροῖο χόλοιο.	Eod.
ὀϊζυρός	Παύσατ' ὀϊζυροῖο χόλου, κατέρυξε δὲ κῦμα.	Idem lib. 14.
πυρόεις	Λυγρὸς ἔχις πυρόεντι χόλῳ ἐνομόρξατο λοιγόν.	Nazianz.
μαινόμενος	-- ἠδὲ χόλοιο Μαινομένοιο χαλινά.	Idem.
ζείων	Τηκόμενος φθινύθων τε χόλου ζείοντος ἐρωαῖς.	Idem.
ἀδάμαστος	Ὧ δὲ χόλον ἀδάμαστον ἐνὶ φρεσὶ σῇσιν ἀέξεις.	Idem.
δυσαής	Πολλάκι δ' αὖτε χόλοιο δυσαέος ἄγριον ἀφρόν.	Idem.
γυιοκόρος	Λῆγε χόλου τοῦ γυιοκόρου, καὶ ἀφκέα θυμὸν Λεῖπε.	Dolsc.
φοβερός	Σοῦ καταπλησσόμενος πρὸς φοβεροῖο χόλου.	Idem.
παντώλης	Σφᾶς ἐφ' ὁ παντώλης αἶψ' ἀνόρουσε χόλος.	Idem.
οἰστρομανής	Ἀλλ' ὅταν Ἑβραίοις ἥξῃ χόλος ὑψίστοιο Οἰστρομανής.	Sibyll.
ἀπαραίτητος	Πρῶτα δὲ Ῥωμαίων ἀπαραίτητος χόλος ἔσται.	Ibid.
πικρός	Ὕδρης Λερναίης χόλον αἵματι πικρὸν ὀϊστῶν.	Apoll. lib. 4.
λευγαλέος	Λευγαλέον δ' ἐπί οἱ περίεν χόλον.	Eod.
ὑλακόεις	Χάσσατο ταρβήσας μητρὸς χόλον ὑλακόεντα.	Opp. ἁλ. α.
πευκεδαν. ζαμ.	Ἔπλυσε πευκεδανὸν ζαμενῆ χόλον.	Eod.
θυμαίνων	Ἄγρια θυμαίνοντι χόλῳ μέγα παιφάσσουσι.	Id. κυνηγ. β.
διέμπεως	Μητρυιῆς διέμπεως ἀεὶ χόλος, οὐδ' ἐν ἔρωτι Ἤπιος.	Epigr. lib. 1.
ἐχιδναῖος	Μοῦσαν ἐχιδναίῳ πρῶτος ἔβαψε χόλῳ.	Epigr. lib. 3.

βαρυπάλαμος	Ἔκνισε βαρυπάλαμον ὄρσαι χόλον.	Pind. Pyth.
ἀστεργής	-- ἀστεργῆ χόλον Ἀστῶν φυγοῦσαι.	Lycophr.
ἀνδροφόνος	Καὶ χόλον ἀνδροφόνον φεύγειν ἀπὸ ληϊστήρων.	Orph. λιθ.
	Nonn. Dionyſ. γελόων, δασπλής, φθονερός, δολόεις, ὑβριστήρ, παλίγκοτος.	

χορδή chorda, fides.

λιπαρή	Χορδῇσι λιπαρῇσί τε πορνύμενος λαγόνεσσιν.	Hom. Batr.
σύμφωνος	Ἑπτὰ δὲ συμφώνους οἴων ἐτανύσσατο χορδάς.	Idem Hym.
φονία	Δότε μοι λύρην Ὁμήρου, Φονίης ἄνευθε χορδῆς.	Anacr.
εὔφθογγος	Κρούετ' εὐφθόγγοις ψαλτῆρι ἐρηρότα χορδαῖς.	Dolſc.
λιγεία	Μέλψατέ μιν κιθάρῃ τε, καὶ ἐν χορδῇσι λιγείαις.	Apolinar.
νευρολάλος	Νευρολάλον Φοίβου χορδὴν θρίσεν &c.	Epigr. lib. 1.
εὐκέλαδος	Δώελον εὐκελάδοισι μέλος χορδῇσιν ὑφαίνων.	Chriſtod.
	Nonnus Dionyſ. ὄρθιος.	

χορεία, χοροστασία chorea, tripudium.

πολύσκαρθμος	Οὐδὲ πολυσκάρθμῳ ἐπεσκίρτησε χορείῃ.	Muſæus.
ἐρατεινή	Ἄζυγες, ὑμνοπόλοι τε, χοροστασίαι τ' ἐρατειναί.	Nazianz.
ἄληκτος, ἀκάμ.	Αἰὲν ὑπ' ἀλήκτοισι καὶ ἀκαμάτοισι χορείαις.	Proclus.
	Nonnus Dionyſ. ἑλισμάραγος, ἀκοίμητος, εὔκυκλος, τροχαλή, ἀβάκχευτος, παιδοκόμος, εὐάροτος: οἴνου μὴ παρεόντος, ἀθελγέες εἰσὶ χορεῖαι: φερεδακέες: μιμηλὴ Σατύρων, ὁμόπλεκτος, πολυκαμπής, παλίννοστος, Βακχιάς, Βακχείη, ἀναίμακτος, ἀθώρηκτος, τερψίνοος, πουλυέλικτος, σακέσπαλος, φελκτή, ὀείδρομος, φοιτάς, ἄγρυπνος, ταχυστροφάλιγξ, ὁμόζηλος: item Δώρειος apud Pratinam Phliaſium, citante Cæſ. Scaligero lib. 1 Poëtices, cap. 47.	

χορός

χορός chorus.

ἱμερόεις	Πολλὸς δ' ἱμερόεντα χορὸν περιΐσταθ' ὅμιλος.	Hom. Il. σ.
ἐρόεις	Χρίεται εὖτ' ἂν ἴῃ Χαρίτων χορὸν εἰς ἐρόεντα.	Id. Odyss. σ.
καλός	Καί τε μετ' ἀθανάτοισι καλὸν χορὸν ἐῤῥώσαντο.	Id. hymn.
χαρίεις	Οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης.	Musæus.
ἱερός	Ἐν δ' ἦν ἀθανάτων ἱερὸς χορός.	Hesiod. Scu.
λιπαρός	Ἔνθά σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά.	Id. Theogn.
κυρτός	Χορὸς ἰχθύων τε κυρτὸς, Ἐπὶ κυμάτων κυβιστῶν.	Anacr.
Διονύσιος	Καί με καλοὶ παῖδες φοροῖεν Διονύσιον ἐς χορόν.	Alcæus.
λιγύφωνος	Μουσάων λιγύφωνον ἄγων χορὸν ἦλθεν Ἀπόλλων.	Coluth.
πολύξεινος	Ἥ τε πολυξείνοιο χορὸν πολέμοιο μολοῦσα.	Tryphiod.
ἀμφιλαφής	Καὶ χορὸς ἀμφιλαφὴς, καὶ ἐν οὔρεσιν ἑψιάασθαι.	Callimach.
εὐρύς	Στησάμεναι χορὸν εὐρύν· ὑπήεσαν δὲ λίγειαι.	Idem.
κωμαστής	Τίνα δαιμόνων ἄγουσι κωμαστὴν χορόν.	Lucian.
ἀγγελικός	Ἀγγελικοί τε χοροὶ, ψαλμοῖς θεὸν οἵγ' ἐρέθουσι.	Nazianz.
ἀμεμφής	Καὶ χορὸς ἀμφὶ ἄνακτα φαεσφόρον ἵστατ' ἀμεμφής.	Idem.
ὑμνητήρ	Τίς χορὸν ὑμνητῆρα θυώδεϊ πήξατο νηῷ;	Idem.
ὑμνοπόλος	Ὦ μεγάλοισι χοροῖσι παρισταμένη μεδέοντος Ὑμνοπόλοις.	Idem.
ἀσκυλόμητις	Καὶ χορὸς ἀσκυλόμητις ἀπιστοτάτων Φαρισαίων	Nonnus.
ζαμενής	Καὶ ζαμενὴς Φαρισαῖος ὅλος χορός.	Idem.
σύμφωνος	Ὡς ἐνὶ συμφώνοις ᾄσματα δῖα χοροῖς.	Dolsc.
ὑμνῳδός	Ἐν χορῷ ὑμνῳδῷ κλείοιτο τὸ οὔνομα κείνου.	Idem.
ὑψιπετής	Ὑψιπετὴς γεράνων χορὸς ἔρχεται ἠεροφώνων.	Opp. ἁλ. α.
εὔφημος	Μέλψατέ μιν τυπάνοισι καὶ εὐφήμοισι χοροῖσι.	Apolinar.
καλλίτεκνος	Καλλιτέκνοισι χοροῖς Νηρεῦ μεγαλώνυμε δαῖμον.	Orph. hym.
τραγικός	Εὐτέρπη τραγικοῖο χοροῦ πολυηχέα φωνήν.	Epigr. lib. 1.
ἀρσενόπαις	Γειναμένα τόξοις ἀρσενόπαιδα χορόν.	Epigr. lib. 4.

καλλίμορφος	Χορὸς δὲ καλλίμορφος εἰσήκει πέπλων.	Eur. Herc. F.
εὐκέλαδος	Εὐκελάδων τε χορῶν ἐρεθίσματα.	Aristoph. N.
ὁμόσπονδος	Ἤτοι ἐγὼ μου ὁμόσπονδον χορὸν ἄμμιγ' ἔχουσα. (θής.	ἄδηλον.
πολυγηθής	Σύντροφε Βάκχε χοροῖο Διωνύσοιο πολυγη-	Orph. hym.
	Nonn. Dionys. ἀμπελόεις, ἀπρήϋντος, γαμήλιος, αὐτοέλικτος, ἀσυφέλικτος, ἡδύς.	
	χόρτος gramen, fœnum.	
μαλακός	Καὶ μαλακῷ χόρτοιο καλὰν κώμυθα δίδωμι.	Theoc. εἰδ. δ.
χλοερός	-- ἀπὸ χλοεροῖο δὲ χόρτου Ῥωγαλέης συνάγειρε &c.	Nonnus.
ὀλιγηρός	Χόρτον τετραπόδεσσιν ἐπαντέλλουσα ὀλιγηρόν.	Apolinar.
εὔδενδρος	Χόρτων τ' εὐδένδρων ἐξαλλάξασ' Εὐρώπαν.	Eur. Iphi. T.
	χρέος opus.	
θεόδματον	Πράσσοντί με τοῦτο θεόδματον χρέος, φόρμιγγά τε ποικιλόγαρυν.	Pind. Olym.
	χρῆμα res: χρήματα pecuniæ.	
θυμηδέα	Μή οἱ χρήματ' ἔπειτα ἅλις θυμηδέ' ἔδωμεν.	Hom. Od. π.
ἁρπακτά, θεόσδ.	Χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω.	Hesiod. li. 1.
	Nonn. Dionys. δαιμόνιον.	
	χρησμός oraculum.	
ἄρρητος	Χρησμούς τ' ἀρρήτοις νυκτὸς περὶ Βάκχου ἄνακτος.	Orph. Arg.
	χρηστότης benignitas, bonitas.	
αὐτάγαθος	Ἡ τοῦ Θεοῦ μὲν αὐτάγαθος χρηστότης.	Cyr. Theod.
μεμιγμένη συν.	Ὡς ἡδὺ συνέσει χρηστότης μεμιγμένη.	Menand.
	χρῖσμα unguentum.	
θηροτόκον	Εἰρχθέντες Κίρκης χρίσμασι θηροτόκοις.	Nazianz.

Χριστιανοί Christiani.

	Εἱμαπροσηκοφόροι, ἀνυποκριταλυποπρόσωποι,	ἀδηλ.
	δουλαχριστολόγοι, ἱεραμισθοδόται·	
	αὐτοκαθηματιοσαυροὶ, θεομοιωσεβασαὶ,	
	ἐννομακοιτιλάβοι, πορνακαθαρτόφυγοι·	
	ἀσκυλομισηταὶ, κοσμουσωτηριοδίψαι,	
	πνευμαπευητόφρονες, κερματατιμηδέες·	
	καρδιαληθάγιοι, κοινωφελιμεργομηνηταὶ,	
	εἰρηναιόφιλοι, ἁπλοϊκοφρόνιμοι·	
	βομβαρδοξιφεσιχοινεγχεσιπυρσοδίωκτοι,	
	βιβλοθεοτριβέες, δογματοθεόσοφοι·	
	ὑψιθεοπρεπέες, καθαρουφωτεργοδίωκτοι,	
	ὀρθοφρενίζωοι, οὐρανοκληρονόμοι.	
	Vide & Παπισταί.	

ΧΡΙΣΤΟΣ CHRISTVS.

ἄναξ	Χριστὲ ἄναξ, ὃς ἁγναῖς ποτ' ἀειρομέναις παλάμησι. (φθίω.	Nazianz.
βασιλεύς	Σοὶ δ' ἄρ' ἐγὼ μύνῳ βασιλεύτατε μοῦνος ἐλεί-	Idem.
υἱὸς θεοῦ, σοφία, λόγος, ἀτρεκία, εἰκὼν, φύσις γεννήτορος ἴση, &c.	Υἱὲ Θεοῦ, σοφίη, βασιλεῦ, λόγε, ἀτρεκίη τε· Εἰκὼν ἀρχετύποιο, φύσις γεννήτορος ἴση· Ποιμὴν, ἀμνὲ, θύος τε &c. Vide Nazianz. ἐν τῷ καθ' ἑαυτὸν ἐπιγράμματι.	
ἐπιτάῤῥοθος	-- Ὥς ἂν κακότηθ' ὑπαλύξαι Ῥηϊδίως, μὴ Χριστὸν ἔχων ἐπιτάῤῥοθον αἰεί;	Idem.
μεγακλεής	Τοῖος γὰρ Χριστοῖο μεγακλέος ἀρητῆρσι.	Idem.
ζωοδότης	-- τὰ δ' ἔπειτα μελήσει Χριστῷ ζωοδότῃ.	Idem.
εὐμενέων	Εὐμενέων Χριστὸς ἀμφὶς ἔχει μεγάλαις.	Idem.
πατροφαὴς λόγος, φωτὸς &c.	Πατροφαὲς μεγάλοιο νόου λόγε, φέρτερε μύθου, Φωτὸς τ' ἀκροτάτου φῶς ἄκρον, οἰόγονε.	Idem.
εἰκὼν πατρός	Εἰκὼν ἀθανάτοιο πατρὸς, καὶ σφρηγὶς ἀνάρχου, Πνεύματι τῷ μεγάλῳ συμφαὲς, εὐρυμέδου.	Idem.

αἰῶνος πείρημα μεγακλ. &c.	Αἰῶνος πείρημα, μεγακλεὲς, ὀλβιόδωρε, Ὑψίθρονʼ, οὐράνιε, πανσθενὲς ἄσθμα νόου· Νωμητὰ κόσμοιο, φερέσβιε, δημιουργέ.	Idem.
θ. ἐμπεδόμυθος	Οὕς μοι Χριστὸς ἔπνευσεν, ἐμὸς θεὸς ἐμπεδό- μυθος.	Idem.
μυσταγωγός	Τὸν μυσταγωγὸν (φεῦ) προδοὺς ἀργυρείου.	Idem.
ὑψίζυγος	-- πόθεν ὕδατι φῶτα καθαίρεις, Εἰ μὴ Χριστὸς ἔφυς ὑψίζυγος;	Nonnus.
ποικιλόμυθος θ.	Ῥαββὶν ποικιλόμυθε θεοφραδές.	Idem.
διδάσκαλος κόσμου.	Ὅτι θεοῦ πομπῇσι διδάσκαλος ἵκεο κόσμου, Ἀνδρομέου βιότοιο βοηθόος &c.	Idem.
χραισμήτωρ φ.	-- ὅτι χραισμήτορα φωτῶν	Idem.
μονογενής	Μουνογενῆ πόρεν υἷα λόγον.	
βιοσσόος	Χριστὸς ἄναξ οὐκ εἰμὶ βιοσσόος.	Idem.
μεσσίας θεῖος	Μεσσίας ὅτι θεῖος ἐλεύσεται, ὅντινα λαοὶ Χριστὸν ἐφημίξαντο.	Idem.
φιλοπάτωρ	Φιλοπάτωρ δʼ ἀγόρευεν ἄναξ ἐτερόφρονι μύθῳ	Idem.
ταχυεργός	Λυσιπόνῳ ταχυεργὸς ἄναξ ἰήσατο μύθῳ.	Idem.
ἀνθρώπου υἱός	Ὅτι γὰρ ἀνθρώποιο φερέσβιος υἱὸς ἀκούει.	Idem.
ταχύγουνος	Χριστὸς ἐγὼ ταχύγουνος ὁδοιπόρος εἰμὶ θαλάσ- σης.	Idem.
ἡδυεπής	-- ἡδυεπὴς δὲ Ἀντίτυπον φάτο μῦθον ἄναξ.	Idem.
παμμεδέων	Χριστοῦ παμμεδέοντος ἀδελφειοὶ γὰρ ἐόντες.	Idem.
λαοσσόος	Μὴ γὰρ Χριστὸς ἄναξ λαοσσόος εἴποθεν ἔλθοι.	Idem.
ἰθυντ. κόσμου	-- ὅς με γενέθλῃ Ἀνδρομέῃ προέηκε μολεῖν ἰθυντῆρα κόσμου.	Idem.
νεκυοσσόος	Χριστὸν ἀνευνάζων νεκυοσσόον, υἱέα Δαβίδ.	Idem.
παμφαής	Παμφαέος Χριστοῖο θεουδέες ἐστὲ μαθηταί.	Idem.
ἀβροχίτ. ἀσίδ.	Ἀβροχίτων, ἀσίδηρος ἄναξ ῥηξήνορι φωνῇ.	Idem.
ἀγαπήνωρ, λ.	Υἱὸν ἀναστῆσαι ἀγαπήνορα, λαομέδοντα.	Falc. Proba.
διοτρεφής, θεοκλύμενος, θεοειδ.	Ἀντί σοι εἰμʼ ἱκέταο διοτρεφὲς αἰδοίοιο. Et paulo post, θεοκλύμενος, θεοειδής.	Ead.
κλυτότεχνος	Χριστὲ ἄνα κλυτότεχνε, σύ μοι σῶμα κραιπνὸν ὀπάσσαις.	Cyr. Theod.

μειλίχιος,

μειλίχος, ἠπ.	Οὕνεκα μειλίχιος καὶ ἠπιόθυμος δηήκτως.	Dolsc.
ἀμύμων	Τὸν δ' ἀπαμειβόμενος προσεφώνεε Χειρὸς ἀμύμων.	Castalio.

χρόα, & χροιά color.

πολυανθής	Ὄρνις ἀγαλλόμενος πτερύγων πολυανθέϊ χροιῇ.	Theoc. εἰδ. κ.
χιονέη	Χιονέην ἤμειψε χροιὴν ἐπρόχοον ὕδωρ.	Nonnus.
εὔστικτος	Πᾶν δέμας εὐστίκτοισι περὶ χροιῇσι γράφουσι.	Opp. κυνηγ. α.
διστόματος	Θυμῷ Φερσεφόνης δὲ διστόματον ἔσπασε χροιήν	Orph. hym.

χρόνος tempus.

στενός	Μικρόν τι τοῦ βίου στενὸν ζῶμεν χρόνον.	Menand.
πολιὸς τεχνίτης	Πολιὸς τεχνίτης ἐστὶν ὁ χρόνος, ὦ ξένε.	Diphilus.
λευκαίνων	Λευκαίνων ὁ χρόνος, ποιεῖν τι δεῖ, οἷς γόνυ χλωρόν.	Theoc. εἰδ. ιδ.
ἐμπεδόκυκλος	Εἰς χρόνον ἐμπεδόκυκλον ἑαδότα πάντα τελεῖ.	Nonnus.
ἕρπων, πανδαμ.	-- ὁ χρόνος ἕρπων,	Idem.
	Πανδαμάτωρ ἀδάμαστος.	
παλινδίνητος	Ἀλλὰ παλινδίνητος ὅτε χρόνος ὥελος ἔλθῃ. (νήρ.	Idem.
ταχύς	Ἀλλὰ ταχὺς χρόνος οὗτος, ὅτε φρεσὶ πᾶς βροτὸς ἀ-	Idem.
ἀγχιφανής	-- ἀγχιφανὴς δὲ	Idem.
	Λείπεται εἰς ἔτι βαιὸς ἕλιξ χρόνος.	
ἀκάματος	Ἦματ' ἐς ἀκαμάτου ἀενάοντα χρόνου.	Dolsc.
εὔκαιρος	Ὅτι μιν εὔκαιρος νῶϊ μάλ' ἦλθε χρόνος.	Idem.
πουλυετής	Πουλυετῆ δ' ἄρξουσι χρόνον τὰ δίκαια νέμοντες	Sibyll.
συνόεις	Ἀλλ' ἄγε μοι συνόεντα χρόνον κλεινῶν τε Λατίνων.	Ibidem.
ἑξηκονταετής	Ἑξηκονταετὴς ὃν συνέλεξε χρόνος.	Musurus.
ἀτέρμαντος	Καί μιν ναιετάοιεν ἀτερμάντοισι χρόνοισι.	Apolinar.
ἀέναος	Καὶ χρόνον ἀέναον, καὶ τὸ Στυγὸς ἀγλαὸν ὕδωρ.	Orph. hym.
δολιχός	Αἰὼν πάντα φέρει, δολιχὸς χρόνος οἶδεν ἀμείβειν.	Epigr. lib. 1.
ἄπλετος	Τοῖς δὲ κακοῖς, μία νὺξ ἄπλετός ἐστι χρόνος.	Eod.
πανεπίσκ. δαίμ.	Ὦ χρόνε, παντοίων θνητῶν πανεπίσκοπε δαῖμον.	Epigr. lib. 3.
ταχύπους	Οὐδὲ μὲν οὐδ' αὐτὸν ταχύπουν χρόνον.	Eod.
εὐμαρὴς θεός	Χρόνος γὰρ εὐμαρὴς θεός.	Soph. Elect.

παγκρατής	Τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος.	Id.Oed.Col.
παντελής	Τάχα δ' ὁ παντελὴς χρόνος ἀμείψεται.	Æsch. χοηφόρ.
	Nonn. Dionyſ. πουλυέλικτος, γέρων, ἕλιξ, ἰσότυπος.	
	χρυσὸς aurum.	
ἐρίτιμος	Οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο.	Hom.Iliad.ι.
τιμῆς	Καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον.	Idem Iliad. σ.
εὐεργής	Χρυσοῦ μέν μοι δῶκ' εὐεργέος ἑπτὰ τάλαντα.	Id. Odyſs. ι.
πολυδαίδαλος	Κεῖται δὲ χρυσὸς πολυδαίδαλος, ἄλλά τε πάντα.	Odyſſeas ν.
φαεινός	Ἠλέκτρῳ θ' ὑπολαμπὲς ἔην, χρυσῷ τε φαεινῷ.	Heſiod. Cl.
δραπέτης	Ἐγὼ δ' ἄφαρ λιασθεὶς Τῷ δραπέτᾳ τῷ χρυσῷ.	Anacreon.
ἄπιστος	Ἄπιστ' ἄπιστε χρυσέ, Ἔς' ἂν δόλοις με θέλγῃς. (πῶν	Idem.
κακῶν ἀρχηγός	Χρυσὲ κακῶν ἀρχηγὲ, βιοφθόρε, πάντα χαλέ-	Phocyl.
κίβδηλος	Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἄσχετος ἄτη.	Theognis.
ἄπεφθος, ἐρυθρ.	-- ἄπεφθον Χρυσὸν ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ.	Idem.
ξανθός	Ξανθῷ πορφυρόπεζαν ἐπιρρήνας τρίχα χρυσῷ.	Tryphiod.
διαυγής	-- χρυσῷ δὲ διαυγεῖ πᾶς ἐκέκαστο.	Calab.lib.3.
αἰγλήεις	Χρυσόν τ' αἰγλήεντα, καὶ ἄσπετα τεύχεα φωτῶν	Idem lib.5.
ἀφειδής	Ὡς ἄμμες τὸν χρυσὸν ἀφειδέα πασσάμεθα.	Callimach.
δολόεις	Οὐ χρυσὸν δολόεντα, οὐκ ἄργυρον, οὐδὲ μὲν ἵππους.	Nazianz.
καθαρός	Καὶ χρυσοῦ καθαροῦ ἄνθρακές εἰσι κρίσις.	Idem.
ὄβρυζος	Καὶ τοῦ ὀβρύζου χρυσοῦ γὰρ ἀπέφθου ἐόντος.	Dolſc.
αὐγαλέος	Τοὔνεκά μιν χρυσοῦ ὀβρύζου αὐγαλέου περ.	Idem.
ἀφνειός	Ἀφνειοῦ χρυσοῖο πολὺ προφερέστερα δείξειν.	Orph
ἔρωτος παιών.	Χρυσὸς ἔρωτος ἀεὶ παιώνιος.	Epigr. lib.1.
πατὴρ κολάκων	Χρυσὲ πάτερ κολάκων, ὀδύνης δὲ φροντίδος υἱέ.	Eod.
πορνοφίλας	Μισείτω με τάλας χρυσός, ὁ πορνοφίλας.	Eod.
πανδαμάτωρ	Δάπεδα καὶ δεσμοὺς χρυσὸς ὁ πανδαμάτωρ.	Epigr. lib.7.
αἰθόμενον πῦρ	-- ὁ δὲ χρυσὸς, αἰθόμενον πῦρ ἅτε διαπρέπει νυκτὶ &c.	Pind.Olym.
αὐτόρρυτος	Τὸν ἀπὸ χρυσοῦ φαμὲν αὐτορρύτου ἔμμεναι.	Pind. Pyth.

μεγαθενής	Καὶ μεγαθενῆ νόμισαν χρυσὸν ἄνθρωποι.	Idem Isth.
κακὸν ἄμαχ.	Ὦ χρυσὲ κακὸν ἄμαχον, κακὸν μέγα.	Cyr. Theod.
Ἰνδικός	Ἤλεκτρον εἰ βούλεσθε, καὶ τὸν Ἰνδικὸν χρυσόν.	Soph. Antig.
πικρός	Ἐνταῦθ' ἐπέμφθη πικροτάτου χρυσοῦ φύλαξ.	Eur. Hecab.
	Cyrus Theodor. aurum vocat χρῆμα	
χρῆμα στασιῶδ.	στασιῶδες καὶ κοσμοφθόρον.	
	Basilius Magnus ὁμιλ. πρὸς πλουσίους:	
ψυχῶν ἀγχόνη,	Ὁ χρυσὸς, τῶν ψυχῶν ἡ ἀγχόνη, τοῦ θανάτου τὸ	
θανάτου ἄγκιστρ.	ἄγκιστρον, τὸ τῆς ἁμαρτίας δέλεαρ.	
	χροῦς, χρώς corpus.	
τέρην	Τῶν ἤτοι αὐτῶν τέρενα χρόα γῦπες ἔδονται.	Hom. Iliad. δ
λειριόεις	Μεῖναι ἐμὸν δόρυ μακρὸν, ὅτι χρόα λειριόεντα	Idem Iliad. ν.
	Δάψει.	
ἱμερόεις	Ἀμβροσίη μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος.	Iliad. ξ.
ἀθάνατος	-- ἀμφὶ δὲ λευκὸς	Hesiod. Th.
	Ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὤρνυτο.	
αἰγλήεις	Καὶ χροὸς αἰγλήεντος ἑοὺς ἀπέθηκε χιτῶνας.	Nonnus.
μυρόπνοις	Καὶ μυρόπνουν Δημοῦς χρῶτα τὸν ὑπναπάτην	Epigr. lib. 7.
	χῶρος locus: χώρα regio.	
διαμετρητός	Καί ῥ' ἐγγὺς στήτην διαμετρητῷ ἐνὶ χώρῳ.	Hom. Iliad. γ.
ὑλήεις	Χῶρον ἀν' ὑλήενθ'· ὁ δέ τε προθέῃσι μεμηλώς.	Idem Iliad. κ.
ἔρημος	Ὡς ἴδε χῶρον ἔρημον, ὅτ' ἔστασαν ὠκέες ἵπποι.	Eod.
οἰοπόλος	Χώρῳ ἐν οἰοπόλῳ, φείσεσι δέ τε νῶτον ὕπερθεν.	Iliad. ν.
προαλής	Χώρῳ ἔνι προαλεῖ· φθάνει δέ τε καὶ τὸν ἄγοντα	Idem Iliad. φ.
περίσκεπτος	Ὑψηλὸς δέδμητο περισκέπτῳ ἐνὶ χώρῳ.	Odyss. α.
ἀτερπής	Πέτρης πρὸς μεγάλῃσι βαλὼν, καὶ ἀτερπέϊ	Odyss. η.
	χώρῳ. (ρος.	
κατάκρημνος	Ἄκροις πὰρ χείλεσσιν, ὅπου κατάκρημνος ὁ χῶ-	Idē Batrach.
ἀπήμων	Βῆς δ' ἐπὶ Δελφούσης, τόθι τοι ἅδε χῶρος ἀπή-	Idem hymn.
	μων. (δωρ.	
ἐρατός	Χῶρον ἔχουσ' ἐρατὸν προρέειν καλλίρροον ὕ-	Ibidem.
ψαμαθώδης	Πλανοδίας δ' ἤλαυνε διὰ ψαμαθώδεα χῶρον.	Ibidem.
κρατερός	Χῶρον ἀνὰ κρατερόν. τὸν δ' ἐφράσατο βροτὸς	Ibidem.
	ἀνήρ.	

πίων	Πόντου κυμαίνοντος ἀπόπροθι, πίονα χῶρον Ναίουσι.	Hesiod.lib.2
εὐάης	Χώρῳ ἐν εὐάει καὶ εὐτροχάλῳ ἐν ἀλωῇ.	Eod.
εὐρώεις	Χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.	Id.Theog.
κατασύφελος	-- τὸ δ' ἴησι κατασυφέλου διὰ χώρου.	Ibidem.
κρυερός	Ἔλθοι δ' ἐς κρυερὸν χῶρον ἀποφθιμένων.	Theognis.
εὐώδης	Πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.	Idem.
ἱμερόεις	-- τῇ δ' αὖ τρίοιο Χῶρον ἐς ἱμερόεντα.	Calab.lib.4.
σκιερός	Ποιμένος οὐ παρεόντος, ὅτε σκιερῷ ἐνὶ χώρῳ.	Idem lib. 13.
λιπαρή, εὔβοτ.	Πᾶσα δέ οἱ λιπαρή τε καὶ εὔβοτος ἔπλετο χώρα.	Dionys.
τιμήεις, ἱερός	Χῶρος τιμήεις τε καὶ ἱερός, ὅν ποτε Βάκχος.	Idem.
εὐανθής	Ἷξε δ' ὑπὸ στυφελὸν Κόλχων εὐανθέα χῶρον.	Orph.Arg.
λιθόστρωτος	Ἀρτιδόμῳ δ' ἐκάθητο λιθοστρώτῳ παρὰ χώρῳ.	Nonnus.
ἀερσίλοφος	Ἦν δέ τις αὐτόθι τύμβος ἀερσιλόφῳ παρὰ χώρῳ.	Idem.
νεοτευχής	Ἄξιον ὑμείων νεοτευχέα χῶρον ὑφαίνων.	Idem.
ὀρφναίη, σκιοειδ.	Ὀρφναίην θανάτοιο παρὰ σκιοειδέα χώρην.	Apolinar.
εὐρύαλος, πορφ.	Χῶρον ἐς εὐρύαλόν τε καὶ εὔδια πορφύροντα.	Opp.ἁλ.α.
στεινωπός	Ἐγγύθεν αἳ στεινωπὸν ἁλὸς διὰ χῶρον ἔχουσι.	Idem ἁλ.δ.
πολύολβος	Χῶρον ἔχειν πολύολβον, ὃν οὐ πάρος ἔλλαχεν ἀνήρ.	Epigr. lib.1.
ἡδύπνοος	Χῶρον ἐφ' ἡδύπνοον πωτωμένα.	Eod.
ἀριστογένεθλος	Εὐνομίης ποτὶ χῶρον ἀριστογένεθλον ὁδεύεις.	Epigr. lib.4.
μικραύλαξ	Δείγματά σοι χώρου μικραύλακος, ὦ φιλόπυρε.	Epigr. lib.6.
ἁλιερκής	Καὶ τάνδ' ἁλιερκέα χώραν παντοδαποῖσιν ὑπέστασε ξένοις.	Pind.Olym.
εὔανδρος	Ἐθελήσαις ταῦτα νόῳ τιθέμεν, εὔανδρόν τε χώραν.	Idem Pyth.
εὔιππος	Εὐίππου ξένε τᾶσδε χώρας ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα.	Soph.Oed. Col.
ζοφοειδής	Ὃς θρόνον ἐστήριξας ὑπὸ ζοφοειδέα χῶρον. Nonn. Dionys. εὔσκιος.	Orph. hym

ψαμμός

Ψ.

ψαλμός *psalmus, pulsus fid.*

Telestas Selinuntius, citante Cæs. Scaligero lib. 1. Poetic. cap. 19.

ὀξύφωνος	Τοὶ δ' ὀξυφώνοις πηκτίδων ψαλμοῖς κρέκον Λύδιον ὕμνον.	

ψάμαθος, ψάμμος *arena.*

βαθεῖα	Δηθὰ μάλ' εἱστήκει. τύχε γὰρ ψαμάθοιο βαθείης	Hom. Iliad. ε
κυανέη	-- ὑπένερθε δὲ γαῖα φάνεσκε Ψάμμῳ κυανέῃ.	Idem Od. μ.
ἀδρανής	Οἶκον ἐπὶ ψάμμου κείμενον ἀδρανέος.	Nazianz.
λεπτή	-- Ἀλλ' ὑπὸ λεπτῇ Ψάμμῳ πεπληθυῖαν.	Dionys.
πολιός	Ξαινόμενον πολιοῖσιν ἐπὶ ἐξ χάει ψαμάθοισι	Apoll. lib. 4.
Λιβυκή	Ῥινηθὲν, Λιβυκῆς κουφότερον ψαμάθου.	Epigr. lib. 1.
λευκοφαής	Παρὰ δὲ λευκοφαῆ ψάμαθον εἱλισσόμεναι.	Eur. Iph. Au.

ψεκάς *pluuia roscida.*

ἀμβροσία	Ζεὺς ψεκάδας κατέχευεν ὑπὲρ νέκυν Αἰακίδαο Ἀμβροσίας.	Calab. lib. 3.
χειμερία	Οὔπω χειμερίῃσι μελαινόμενος ψεκάδεσσι.	Idem lib. 14.
ἔνδροσος	Αἰθερόθεν περιπέσοι, μηδὲ ψεκὰς ἔνδροσος ἔλθοι.	Cyr. Theod.

ψεῦδος *mendacium.*

ἀτάσθαλον	Καὶ σκολιοῖο δράκοντος ἀτάσθαλον αἱμοβόροιο. Ψεῦδος.	Nazianz.
ἑτοιμολόγον	Ἤπαφεν ἧς κραδίης ψεῦδος ἑτοιμολόγον.	Idem.

N. Dionys. κερδαλέον, πολυδαίδαλον.

ψῆρες, seu ψᾶρες *sturni.*

τανυσίπτεροι	Ὥς δ' ὁπότε ψῆρες τανυσίπτεροι ἠὲ κολοιοί.	Calab. lib. 8.
οὐτιδανοί	-- ἐοικότες οὐτιδανοῖσι Ψήρεσι.	Idem lib. 11.
ἅρπαγες, δηλητῆρες	Ψᾶρας ἀρουραίης ἅρπαγας εὐποίης, Καρπῶν δηλητῆρας ἑλεῖν θέμις.	Epigr. lib. 1.

	ψιττακός psittacus.	
ἐρατόχρως,	-- ὡς δ' ἐρατόχρως	Nazianz.
ἀγκυλόχειλος	Ψιττακὸς ἀγκυλόχειλος ἔσω πλεκτοῖο δόμοιο.	
βροτόγηρυς	Ψιττακὸς ὁ βροτόγηρυς ἀφεὶς λυγοπυχέα κύρτον	Epigr. lib. 1.
	ψόγος vituperium.	
σκοτεινός	Ξεῖνός εἰμι σκοτεινὸν ἀπέχων ψόγον.	Pind. Nem.
	ψύλλος pulex.	
	Nonn. Dionys. κουφόνοος.	
	ψυχή anima, animus, vita.	
ἀκήριοι	Ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισι.	Phocyl.
ἀθάνατος, ἀγήρ.	Ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ζῇ διὰ παντός.	Idem.
ἀδέματος	Ὦ πᾶς ἀδεμάτω ψυχᾶς, μόλις ὔμμιν ἐστώ	Theoc. εἰδ. ιε.
πελώριος	-- ψυχὰν δὲ πελώριον ἔλλαβεν ᾅδης. (θλω.	Idem εἰδ. λϐ.
πάναγνος	Ψυχὴν πάναγνον, ἄδολόν τε καρδίαν.	Nazianz.
πτερόεσσα, δίσμ.	-- χοῦς δὲ βάλοι ψυχὴν πτερόεσσαν ἔραζε Δίσμορον. (ναις.	Idem.
μέλαινα	Δάκρυόν ἐστι βροτοῖσιν ἄκος, ψυχῆς τε μελαί-	Idem.
ἁπαλή	-- ἁπαλὴ δὲ νέην ὑπεδέξατο μορφὴν Εὐσεβίης ψυχή.	Idem.
μελαιν. κακότητι	Καὶ ψυχὴν ἐκάθηρε μελαινομένην κακότητι.	Idem.
θεοειδής	Ψυχὴν ἀμφὶς ἔχων θεοειδέα &c.	Idem.
ἀειστρεφής	Ἔργον ἔχων ψυχῆς πῆξιν ἀειστρεφέος.	Idem.
μινυώριος	Ψυχὴν δ' ὃς φιλέει μινυώριον, οὗτος ὀλέσσει.	Nonnus.
πανακήρατος	Ψυχὴν δ' ὃς στυγέει πανακήρατον, ἔμπεδον αὐτήν.	Idem.
ἴφθιμος	Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν.	Hom. Iliad. α
λογική	Ψυχὴν λογικὴν ἐμφυτεύσας τῇ πλάσει.	Philus.
ἄγαλμα θεοῦ	Χυχὴ ἄγαλμα θεοῦ, θεὸν ὑψιμέδοντα σὸν αἴνει.	Dolsc.
θεοείκελος	Θεῖα φίλαι ψυχαὶ δαιδάλματα, κτίστορ' ἐπαί- νοις Δοξάσατ' ἡμέτερον.	Idem.
χάρισμα θεοῦ	Πᾶσά τε γὰρ ψυχὴ μερόπων, θεοῦ ἐστι χάρισμα.	Sibyll.
	Apollo apud Lactant. lib. 7, cap. 13.	
ἀγήραος, ἀτρ.	Αἰὲν ἀγήραος οὖσα, μένει δ' ἐς πάμπαν ἀτειρής.	

ἀκόλαστος

ἀκόλαστος	-- ἀλλ᾽ ἀκολάστοις Ψυχαῖς ἀνθρώπων ἐσθ᾽ ὁ ἔρως πρόφασις.	Epigr.lib.1.
ὑψικέλευθος	Ψυχὴν ὑψικέλευθον ἐλαφρίζων ἀπὸ γαίης.	Eod.
βαρυδαίμων	Ενθάδ᾽ ἀποῤῥήξας ψυχὴν βαρυδαίμονα, κεῖμαι.	Epigr. lib. 3.
θείη	Πρὸς ψυχῆς θείης τὴν περιπόνητον ἔχειν.	Epigr. lib. 6.
πεμφίς	Πήλας ἀκούσῃ κεῖθι πεμφίδων ὄπα.	Lycoph.
μεγαλόσπλαγχνος, δυσκ.	-- τί ποτ᾽ ἐργάσεται μεγαλόσπλαγχνος δυσκατάπαυστος ψυχή.	Eurip. Med.
αἰνόμορος	Αἰνομόροις ψυχαῖς πομπὸς κατὰ γαῖαν ὑπάρχων.	Orph. hym. Ἑρμοῦ.
ἀέναος	Ψυχαῖς ἀενάοις θνητῶν ὁδὸν ἡγεμονεύειν.	Eod.
σιγῶσαι	Σιγῶν σιγώσαις ψυχαῖς μέλλοντα προφωνῶν.	Idem h. ὕπνου.
πανδήμων	Ἕλκετ᾽ ἐμὴν ψυχὴν πανδήμονα πρὸς φάος ἁγνόν.	Proclus Lyc.
παμμέλας	παμμέλαν᾽ ἐν βόθροις κατεκίαθον αὐτὰρ ἐγὼ γε Ψυχὴν ἱλασάμην.	Orph. Arg.

N. Dionys. ἠνεμόφοιτος, παλινάγρετος.

Iustinus martyr παραινετικῷ πρὸς τοὺς Ἕλληνας: Οἱ μὲν αὐτῶν, φασὶ πῦρ εἶναι τὴν ψυχήν· οἱ δὲ, τὸν ἀέρα· οἱ δὲ, τὸν νοῦν· οἱ δὲ, τὴν κίνησιν· οἱ δὲ, τὴν ἀναθυμίασιν· ἄλλοι δέ τινες, δύναμιν ἀπὸ τῶν ἄστρων ῥέουσαν· οἱ δὲ, ἀριθμὸν κινητικόν· ἕτεροι δὲ, ὕδωρ γονοποιόν· καὶ ὅλως, ἄτακτός τις καὶ ἀσύμφωνος παρ᾽ αὐτοῖς κεκράτηκε δόξα, ἑνὶ μόνῳ τοῖς ὀρθῶς κρίνειν δυναμένοις ἐπαίνου ἀξία φαινομένη, ὡς πλανωμένοις καὶ μὴ τἀληθῆ λέγοντας ἀλλήλοις ἐλέγχειν.

Ω.

ᾠδή *ode, cantio, carmen.*

πένθιμος	Καὶ γεροῖς στομάτεσσι μελίσδετε πένθιμον ᾠδάν.	Theoc. εἰδ. ιθ

βουκολική	Αὐσονικᾶς ὀδύνας μήπω μέλος, οὐ ξένος ᾠδᾶς Βουκολικᾶς.	Eod.
λιγυρή	Ὠιδὰς σοι λιγυρὰς ἀδέμεναί τε γόος.	Dolſc.
πολυπάνσοφος	Ἦμος δ' κατέπαυσε θεὸς πολυπάνσοφον ᾠδήν.	Sibyll.
κλιμακόεσσα	Ὠιδὴ κλιμακόεσσα φερεζώων ἀναβαθμῶν.	Apolinar.
ὀξύτονος	Ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς θρηνήσει.	Soph. Aiace.
ἄμουσος	Σφιγγὸς ἀμουσοτάταισι σὺν ᾠδαῖς.	Eurip. Phœ.
πολύχορδος	-- Μούσῃ καὶ πολυχόρδοις	Id. Medea.
	Ὠιδαῖς παύειν.	
καλλίφθογγος	Αἱμάξεις, εἰ μὴ πείσῃ ταῖς καλλιφθόγγοις ᾠδαῖς.	Idem Ione.
θελξίμβροτος	Χείλεσιν ἀείδων θελξίμβροτον ἀτρέμας ᾠδήν	Orph. λίθ.
	ὠδὶν *dolor partus.*	
πικρή	Ἥρης θυγατέρες πικρὰς ὠδῖνας ἔχουσαι.	Hom. Il. λ.
ἄελπτος	-- ἐννέα νύκτας ἀέλπτοις	Idem hymn.
	Ὠδίνεσσι πέπαρτο.	
πολυτλήτη	Δάμναθ' ὑπ' ὠδίνεσσι πολυτλήτῃσιν ἀνίῃ.	Calab. li. 11.
ὀξεῖα	Μουνοῦ οὔτ' ὀξείαισιν ὑπ' ὠδίνεσσι γυναῖκες.	Callimach.
ὠμοτόκος	Ὠμοτόκοις ὠδῖνας ἀπηρείσαντο λέαιναι.	Idem.
ἀναυδής	Θνησκούσης ὠδῖνος ἀναυδέος &c.	Nazianz.
ὀψιτέλεστος	Ἄλλην ὀψιτέλεστον ἔχεν ὠδῖνα γενέθλης.	Nonnus.
ἁπαλή	Πολλάκι δ' ὀρταλίχων ἁπαλὴν ὠδῖνα κενώσας.	Nicād. Alex.
θοή	Μήτηρ τηλυγέτοιο θοὴν ὠδῖνα θυγατρός.	Opp. κυ. δ.
ἐπαλγής	-- ὠδῖνος ἐπαλγέος ἐμνήσαντο.	Eod.
λοχίη	Πρωτοτόκος λοχίῃσιν ὑπ' ὠδίνεσσι τυπεῖσα.	Id. κυνηγ. α.
εὔτεκνος, γονίμη	Εὔτεκνον Ζηνὸς γονίμην ὠδῖνα λαχοῦσα.	Orph. hym.
κεραύνιος	Καὶ Σεμέλας ὠδῖνα κεραύνιον.	Epigr. lib. 1.
γοερή	Τὴν γοεραῖς πνεύσασαν ἐν ὠδίνεσσι Λαμίσκην.	Epigr. lib. 3.
μογοστόκος	-- τοῦ μογοστόκοις	Lycophr.
	Ὠδῖνας ἐξέλυσε δενδρώδης κλάδος.	
	Nonn. Dionyſ. ὑγροτόκος.	
	Ὠκεανός Oceanus.	
ἀκαλαρρείτ. β.	Ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο.	Hom. Il. η.

Θεῶν

θεῶν γένεσις	Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν.	Id. Iliad. ξ.
ἀψόρροος	Εὐρυνόμη θυγάτηρ ἀψορρόου Ὠκεανοῖο.	Iliad. σ.
βαθυδίνης	Νῆα μὲν αὐτοῦ κέλσαι ἐπ' Ὠκεανῷ βαθυδίνῃ.	Odyss. κ.
κλυτός	Ἑσπερίδας θ', αἷς μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο.	Hes. Theog.
τελήεις ποταμός	Κούρης Ὠκεανοῖο, τελήεντος ποταμοῖο.	Ibid.
ἀφνειός	Οἷαι δ' ἀφνειοῖο μετήλυδες Ὠκεανοῖο.	Tryphiod.
γαιήοχος	Οἷος δ' ἐκ περάτων γαιηόχου Ὠκεανοῖο.	Calab. lib. 2.
ἀκάμας	Πληϊὰς εὖτ' ἀκάμαντος ἐπ' Ὠκεανοῖο ῥέεθρα.	Idem lib. 5.
εὐρύς	Μέχρις ἐπὶ χθόνα δῖαν ἐπ' εὐρέος Ὠκεανοῖο.	Idem lib. 10.
βαθυκύμων	Τόσσοι μὲν κόλποι βαθυκύμονος Ὠκεανοῖο.	Dionys.
κυάνεος	Ἄρκτοι κυανέου πεφυλαγμέναι Ὠκεανοῖο.	Aratus.
κυμαίνων	Οὔπω κυμαίνοντος ὑποστρέφει Ὠκεανοῖο.	Idem.
ἐΰρροος	Σκορπίου, ἐμπίπτοιεν ἐϋρρόου Ὠκεανοῖο.	Idem.
μεγακήτης	Γείτων Ὠκεανοῦ μεγακήτεος, οἷσι περὶ αὐγάς.	Dionys.
εὐρύπορος	Θύννων δ' αὖ γενεὴ μὲν ἀπ' εὐρυπόροιο τέτυκται Ὠκεανοῦ.	Opp. ἁλ. γ.
ταυρόκρανος	Ὠκεανὸς ὃν ταυρόκρανος ἀγκάλαις ἑλίσσων κυκλεῖ χθόνα.	Eur. Oreste.
βαρυηχής	Πατρὸς ἀπ' Ὠκεανοῦ βαρυαχέος &c.	Aristoph. N.
μεγαλήτωρ	Νύμφαι, θυγατέρες μεγαλήτορος Ὠκεανοῖο.	Orph. hym.
	Ὠκεανὸν καλέω, πατέρ' ἄφθιτον, αἰὲν ἐόντα, ἀθανάτων τε θεῶν γένεσιν, θνητῶν τ' ἀνθρώπων· ὃς περικυμαίνει γαίης περιτέρμονα κύκλον· ἐξ οὗ περ πάντες ποταμοί, καὶ πᾶσα θάλασσα, καὶ χθόνιοι γαίης πηγόρρυτοι ἰκμάδες ἁγναί. κλῦθι μάκαρ πολύολβε, θεῶν ἅγνισμα μέγιστον· τέρμα φίλον γαίης, ἀρχὴ πόλου, ὑγροκέλευθε.	Idem hymn. Oceani.

Nonnus Dionys. παλινδίνητος, ἀτέρμων, ῥόος ἀστήελκτος, ἀήθης, ἀρχέγονος, κεχηνώς.

	ὦλαξ *sulcus*: supra αὔλαξ.	
διηνεκής	Τῷ κέ μ' ἴδοις εἰ ὦλκα διηνεκέα προταμοίμην.	Hom. Od. σ.
βαθεῖα	Τέμνειν ὦλκα βαθεῖαν, ἐπεὶ θεὸς οὔποτ' ἐκεῖνον.	Callimach.
	ὦμος *humerus*.	
κυρτός	-- τὼ δέ οἱ ὤμω Κυρτὼ ἐπὶ στῆθος συνοχωκότε.	Hom. Il. β.
εὐρύς	Στάντων μὲν Μενέλαος ὑπείρεχεν εὐρέας ὤμους.	Id. Iliad. γ.
στιβαρός	Ὤμῳ ἐνὶ στιβαρῷ ἠλήλατο, κῆδε δὲ θυμόν.	Iliad. ε.
ἴφθιμος	Ὤμοις ἰφθίμοισι βάλ' αἰγίδα θυσανόεσσαν.	Iliad. σ.
φαίδιμος	Φῆ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ.	Odyss. λ.
βριαρός	-- δόρυ κάππεσε μακρὸν Ὤμου ἀπὸ βριαροῖο.	Calab. lib. 11.
ἀγλαός	Τοῖοι οἱ κεφαλῇ ἐπικείμενοι ἀγλαοὶ ὦμοι.	Aratus.
θεοδέγμων	Φόρτον ἐλαφρίζων θεοδέγμονι κείμενον ὤμῳ.	Nonnus.
ἀτειρής	Ἀλλά μιν ἀστεμφεῖ τε βίῃ καὶ ἀτειρέσιν ὤμοις.	Apoll. lib. 4.
σιδήρεος	Ταύρου βαθὺν τένοντα, καὶ σιδαρέους Ἄτλαντος ὤμοις.	Epigr. lib. 1.
	Nonn. Dionys. ἀνίκητος, ἀκίνητος.	
	ὥρα *hora, tempus*.	
πολυγηθής	Ἀλλ' ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες ὧραι.	Hom. Il. φ.
τελεσσίγαμος	Ἀλλὰ λέχος στορέσασα τελεσσιγάμοισιν ἐν ὥραις.	Musæus.
μεσονυκτία	Μεσονυκτίαις ποθ' ὥραις.	Anacr.
στυγερή	-- στυγερὴ δ' ὑπὸ χείματος ὥρη Χεῖρα κάμη.	Calab. lib. 13.
ἀροτήσιος	-- καὶ γάρ τ' ἀροτήσιον ὥρην Τελπλόα μείρονται.	Aratus.
κυκλάς	Οὔπω μοι πυμάτης δρόμος ἤλυθε κυκλάδος ὥρης.	Nonnus.
ποδήνεμος	-- δεκάτη δὲ ποδήνεμος ἔτρεχεν ὥρη.	Idem.
πτερόεσσα	Ἕκτη δὲ πτερόεσσα διέτρεχε δίψιος ὥρη.	Idem.
ἐπιδόρπιος	Οὐρανὸν ἱσπεύουσαν ἰδὼν ἐπιδόρπιον ὥρην.	Idem.

διάκτορος

διάκτορος	Ὅ τι νέου βιότοιο διάκτορος ἔρχεται ὥρη.	Idem.
θεηπόλος	Ἀλλὰ σοφαῖς τελετῇσι θεηπόλος ἔρχεται ὥρη.	Idem.
θιασώδης	Μητέρες εὐσεβίης θιασώδεες ἤγαγον ὧραι.	Idem.
ἀλεξίκακος	Δμῶας ἑοὺς ἐρέεινεν ἀλεξικάκου χάειν ὥρης.	Idem.
βιοσσόος	Ἑβδομάτη στείχουσα βιοσσόος ἔτρεχεν ὥρη.	Idem.
ὀδυνήφατος	Ἔγνω δ' αὐτοδίδακτος ἀνὴρ ὀδυνήφατον ὥ-	Idem.
	ρην.	
νεκυοσσόος	Μαῖα παλιγγενέων μερόπων νεκυοσσόος ὥρη.	Idem.
ταχυδινής	Ὑμεῖς δ' ἐν στροφάλιγγι μιῆς ταχυδινέος ὥρης.	Idem.
φοίνιος	Οὔπω παρόθεν ἦλθε θελήμονι φοίνιος ὥρη.	Idem.
ταχύποτμος	Θεσπίζων ταχύποτμον ἑὴν αὐτάγρετον ὥρην.	Idem.
λοίγιος	Οὔπω ἐπιβρέψαντι παρείσατο λοίγιος ὥρη.	Idem.
ἀρχέκακος	-- ἀπ' ἀρχεκάκοιο γὰρ κείνης	Idem.
	Ὥρης μῆτιν ὕφαινον.	
ἐπιτύμβιος	Φοίνιος ἡμετέρων κτερέων ἐπιτύμβιος ὥρη.	Idem.
φρενοδινής, ἀ-	-- πάτερ, φρενοδινέος ὥρης	Idem.
καμπής	Ἐκ ταύτης με σάωσον ἀκαμπέος.	
θανατηφόρος	Ἦν γὰρ ἐπιγινομένη τετάρτη θανατηφόρος ὥρη.	Idem.
βαρυώδινος	Ὥρην γὰρ ὑπομένει βαρυώδινον· τὴν γὰρ λοχεύσῃ.	Idem.
εὔκαιρος	Ἔκ τ' εἱρκτῆς αἱρέων εὐκαίρῳ ἐσαῦθις ἐν ὥρῃ.	Dolsc.
μινυνθάδιος	Ἆ πῶς τόσσον ὄλεσσε μινυνθαδίῳ θρόνος ὥρῃ.	Apolinar.
κακομήχανος	Ἀνέρα λαβραγόρην καθέλοι κακομήχανος ὥ-	Idem.
	ρη.	
δίψιος	Εὖ γὰρ φέροι τὸ χεῖμα Διός, τὸ δίψιον ὥρην.	Opp. ἁλ. γ.
εὐκραής	Καὶ κυσὶν ὠμηστῆρσι θέειν εὐκραέες ὧραι.	Opp. κυνηγ. α.
νιφόβλ. πολυχ.	Οὔτε νιφοβλήτοιο μένος πολυχειμέρου ὥρης.	Eod.
	Ἀλλὰ μάκαιρα θεὰ καρποὺς αὔξοις πολυγηθεῖς,	Orph. hym.
ὄλβιος	Εὐμενὲς ἦτορ ἔχουσα σὺν ὀλβίοισιν ἐν ὥραις.	
ἀεξίτροφος	Νᾶμα χέουσ' ὑγιεινόν, ἀεξιτρόφοισιν ἐν ὥραις.	Id. h. νυμφῶν.

Nonnus Dionyſ. ἄχρονος, ἡμιτέλεστος, ἰσοπόπις, Ζεφύροιο προάγγελος ἔγγυος, φθινοπωρὶς, ἀπλανής, ἀρχέγονος, σταφυληκόμος, ἀέλλοπος, θερηγενής, διψάς, ὠκύθοος, ταχύγουνος, παλινάγρετος, εὔγαμος, μογοστόκος, πυραυγής.

Ὧραι *Horæ, deæ tẽporis, maturitatis, pulcritudinis; famulæ Solis, portarum cæli custodes.*

εὔφρονες	Αὐτὰρ ἐϋπλόκαμοι Χάριτες καὶ ἐΰφρονες Ὧραι.	Hom. hym.
χρυσάμπυκες	Ἀφρῷ ἐνὶ μαλακῷ· τὴν δὲ χρυσάμπυκες Ὧραι.	Ibid.
καλλίκομοι	-- ἀμφὶ δὲ τήν γε Ὧραι καλλίκομοι.	Hesiod. li. 1.
εὐπλόκαμοι	Ὡράων μετ' ἐϋπλοκάμων· μετὰ δέ σφισι πάσαις	Calab. lib. 1.
πολυγηθεῖς	Οὐρανὸν εἰσανορεῦσα ὁμῶς πολυγηθέσιν Ὥραις.	Idem lib. 2.
μαλακαίποδες	Μῆνι δυωδεκάτῳ μαλακαίποδες ἄγαγον Ὧραι.	Theoc. εἰδ. ιε.
ποθειναί	Βάρδισται μακάρων Ὧραι φίλαι, ἀλλὰ ποθειναί	Eod.
γλυκυπάρθενοι	Τερπνὴ μὲν Χάριτες, τρεῖς δὲ γλυκυπάρθενοι Ὧραι.	Epigr. lib. 1.
πολυάνθεμοι	Ὧραι πολυάνθεμοι ἀρχαῖα σοφίσματα.	Pind. Olym.
εὔθρονοι	Οὗ κλυτὸς Ἑρμᾶς εὐθρόνοις Ὥραισι &c.	Idem Pyth.
	Εἰαριναί, λειμωνιάδες, πολυάνθεμοι, ἁγναί, παντόχροοι, πολύοδμοι, ἐν ἀνθεμοειδέσι πνοιαῖς, ὧραι ἀειθαλέες, περικυκλάδες, ἡδυπρόσωποι· ὧραι θυγατέρες Θέμιδος καὶ Ζηνὸς ἄνακτος· εὐνομίη τε, Δίκη τε, καὶ Εἰρήνη πολύολβε· πέπλους ἐννύμεναι δροσεροὺς ἀνθῶν πολυθρέπτων· Περσεφόνη συμπαίκτορες &c.	Orph. hym. Ὡρῶν.
	Nonn. Dionys. ἀταρβέες, φυλάκτορες Αἰθέρος, δμωΐδες Ἠελίου, ὑψαύχενες, βασιληΐδες, λεχωΐδες, θυγατέρες λυκάβαντος, εὔποδες, θερμαίπες, φοιβάδες, ζωθάλποδες, οἰνάδες, θυάδες, χοροίτιδες, ῥοδώπιδες, λειμωνίδες, ῥοδοπήχεες.	

Ὠρίων Orion.

κλυτός	Καὶ πολὺ καλλίστους μετά γε κλυτὸν Ὠρίωνα.	Hom. Od. λ.
πελώριος	Τὸν δὲ μετ' Ὠρίωνα πελώριον εἰσενόησα.	Eod.

θρασύς

θρασύς	Οὐ θρασὺν Ὠρίωνα καὶ ἄβροχον ὁλκὸν ἁμάξης.	Musæus.
στυγνός	Μήτ' ἄστρα, μήθ' ἁμάξας, Μὴ στυγνὸν Ὠρίωνα.	Anacr.
ἀκάματος	Αἴας δ' ἀκαμάτῳ ἐναλίγκιος Ὠρίωνι.	Calab. lib. 5.
εὐφεγγής	Ἐν δέ τε ἡ ζώνη εὐφεγγέος Ὠρίωνος.	Aratus.
μέγας	Ὃς καὶ ἐπερχόμενος φοβέει μέγαν Ὠρίωνα.	Idem.
καρτερός	Καρτερὸς Ὠρίων στιβαρῇ ἐπέκοπτε κορύνῃ.	Idem.
Βοιωτός	Βοιωτῷ τεύχουσα κακὸν μόρον Ὠρίωνι.	Nicand. Th.
ὀλοός	Χειμερίη ὀλοοῖο δύσις πέλει Ὠρίωνος.	Apoll. lib. 1.
κερδαλεόφρων	Ὠρίων προφέριστος ἐμήσατο κερδαλεόφρων.	Opp. κυνηγ. α.
ξιφήρης	Πλειὰς μὲν ἤει μεσοπόρου δι' αἰθέρος, ὅ τε ξιφήρης Ὠρίων.	Eurip. Ione.
	Nonn. Dionys. κυνοσσόος, σιδηροχίτων, δεξίμερος, τριπάτωρ.	

ὠτειλή vulnus, cicatrix.

χαλκότυπος	Μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλάς.	Hom. Il. τ.
χαλκότορος	Ἄλλοι δ' ὠτειλὰς πολυδηλέτοιο πελώρου Χαλκοτόρους ἀφόωσιν.	Opp. ἁλ. ε.

ὠχρότης pallor.

σεμνοποιός	Ἐπιπρέπει τις σεμνοποιὸς ὠχρότης.	Psellus.

INDEX VERBORVM OMNIVM, QVÆ HOC EPITHETORVM OPERE CONTInentur: nisi siquod proprium, aut tale quod ex Græco facile inueniatur.

A

Anguis

Carbo

Crista

Feria

Halitus

Promon-

Sententia

Terra

V

Virtus

LECTORI S.

Ne absque fructu vacarent extremæ paginæ, visum est subiicere libellum περὶ παθῶν λέξεων, qui Tryphoni grāmatico adscribitur. Est enim is tractatus ad poeticas figuras cognoscendas haud inutilis.

ΤΑ' τῶν λέξεων πάθη, εἰς δύο γενικώτατα διαιροῦνται, ποσόν τε, καὶ ποιόν. καὶ τοῦ μὲν ποσοῦ εἴδη, ἔνδεια, καὶ πλεονασμός· τοῦ δὲ ποιοῦ, μετάθεσις, καὶ μετάληψις. ἀμφοτέρων δὲ ὁμοῦ συνελθόντων, τμῆσις γίνεται. ἔστι δὲ, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, πάθη πέντε· πλεονασμὸς, ἔνδεια, μετάθεσις, μετάληψις, τμῆσις.

ΠΛΕΟΝΑΣΜΟΣ.

Πλεονασμὸς μὲν οὖν, ἐστὶ περιττότης χρόνων ἢ χρόνου, στοιχείων ἢ στοιχείου.

ΕΝΔΕΙΑ.

Ἔνδεια δὲ, τοὐναντίον, χρόνου ἢ χρόνων, στοιχείου ἢ στοιχείων ἐλάττωσις.

ΜΕΤΑΘΕΣΙΣ.

Μετάθεσις δὲ, ἐστὶ στοιχείου μετακίνησις ἐκ τῆς ἰδίας τάξεως ἐφ' ἑτέραν· οἷον, δρατὸν ἀντὶ δαρτὸν, κραδία ἀντὶ καρδία, κάρτος ἀντὶ κράτος. καλεῖται δὲ καὶ Ἐνάλλαξις, καὶ Ὑπέρθεσις.

ΜΕΤΑΛΗΨΙΣ.

Μετάληψις δὲ, ἐστὶ στοιχείου μετακίνησις· οἷον ἠπεδανὸς ἀντὶ ἀπεδανὸς, αἱμηπότης ἀντὶ αἱμοπότης.

ΤΜΗΣΙΣ.

Τμῆσις δὲ, ἐστὶ συνθέτου λόγου ἀνάλυσις εἰς δύο λέξεις· οἷον ἄκρα πόλις ἀντὶ ἀκρόπολις.

Τούτων δὲ τῶν πέντε παθῶν τὰ μὲν, εἰς εἴδη τέμνεται, ὅ τε πλεονασμὸς καὶ ἡ ἔνδεια· τὰ δὲ λοιπὰ, εἰσὶν ἄτμητα. Τοῦ δὲ πλεονασμοῦ εἴδη εἰσὶν ἐννέα, Πρόσθεσις, Αναδίπλωσις, Ἔκτασις, Επέκτασις, Διαίρεσις, Παρένθεσις, Διπλασιασμὸς, Παρέμπτωσις, καὶ Προσχηματισμός. Τῆς δὲ ἐνδείας εἴδη εἰσὶν ἐννέα, Αφαίρεσις, Ἄρσις, Συστολὴ, Συγκοπὴ, Συναλοιφὴ, Ἔλλειψις, Παρέλλειψις, Ἔκθλιψις, καὶ Αποκοπή. Αντίκειται οὖν Πρόσθεσις μὲν ἀφαιρέσει, Αναδίπλωσις δὲ ἄρσει, Ἔκτασις συστολῇ, Επέκτασις συγκοπῇ, Διαίρεσις συναλοιφῇ, Παρένθεσις ἐλλείψει, Διπλασιασμὸς παρελλείψει, Παρέμπτωσις ἐκθλίψει, Προσχηματισμὸς ἀποκοπῇ.

ΠΡΟΣΘΕΣΙΣ.

Πρόσθεσις μὲν οὖν, ἐστὶ προσθήκη στοιχείου κατ' ἀρχὴν τῆς συλλαβῆς· οἷον ἀσταφὶς ἀντὶ σταφὶς, ἄσταχυς ἀντὶ στάχυς, θαμὰ ἀντὶ ἅμα.

ΑΝΑΔΙΠΛΩΣΙΣ.

Ἀναδίπλωσις δὲ, ἐστὶν ἡ τῶν πρώτων ἢ δευτέρων συλλαβῶν διὰ τῶν αὐτῶν συμφώνων ἢ ἀντιστοίχων ἐπάλληλος ἐκφορά. γίνεται δὲ ἐπὶ ῥημάτων καὶ μετοχῶν, καὶ ὀνομάτων. πλεονάζει δὲ παρά τε Ἴωσι καὶ Αἰολεῦσιν. οἷον, κεκάμωσιν, ἀντὶ κάμωσι· λελάχωσιν, ἀντὶ λάχωσιν· ἀταρτηρός, ἀντὶ ἀτηρός· ἐτήτυμος, ἀντὶ ἔτυμος.

ΕΚΤΑΣΙΣ.

Ἔκτασις, ἐστὶν ὅταν τὰ συστελλόμενα δίχρονα ἐκταθῇ, ἢ τὰ βραχέα εἰς τὰ μακρὰ ἀντίστοιχα αὐτῶν μετατεθῇ· οἷον, κᾰλὸς, κᾱλός· κόρη, κώρη.

ΕΠΕΚΤΑΣΙΣ.

Ἐπέκτασις, ἐστὶ πλεονασμὸς συλλαβῆς κατὰ μέσον ὁμοτόνου, ὅταν μὴ τεχνικὸν παρατήρημα κωλύσῃ· οἷον, εὐτείχεον ἀντὶ εὔτειχον, ἀδελφειὸς ἀντὶ ἀδελφὸς, πολεμήϊα ἀντὶ πολέμια.

ΔΙΑΙΡΕΣΙΣ.

Διαίρεσις, ἐστὶ συλλαβῆς ἀνάλυσις, ἢ διάστασις εἰς δύο. τὸ δὲ πάθος Ἰώνων καὶ Θετταλῶν. οἷον, πάϊς ἀντὶ παῖς, κόϊλον ἀντὶ κοῖλον, βέλεος ἀντὶ βέλους.

ΠΑΡΕΝΘΕΣΙΣ.

Παρένθεσις, ἐστὶ προσθήκη φωνήεντος κατὰ μέσον οὐ ποιοῦντος συλλαβήν· οἷον, πνείοντες ἀντὶ πνέοντες, ξεῖνος ἀντὶ ξένος, κεινὴ ἀντὶ κενὴ, νοῦσος ἀντὶ νόσος, εἰληλουθὼς ἀντὶ ἐληλυθώς. τὸ δὲ πάθος Ἰώνων.

ΔΙΠΛΑΣΙΑΣΜΟΣ.

Διπλασιασμὸς, ἐστὶ τοῦ αὐτοῦ συμφώνου προσθήκη κατὰ μέσον, οὐκ ἀποτελοῦντος συλλαβήν· οἷον, ὁππότε ἀντὶ ὁπότε, ὅττι ἀντὶ ὅτι, ἄδδην ἀντὶ ἄδην, μέσσον ἀντὶ μέσον, ἔννεπε ἀντὶ ἔνεπε. τὸ δὲ πάθος Ἰώνων.

ΠΑΡΕΜΓΤΩΣΙΣ.

Παρέμπτωσις, ἐστὶ προσθήκη συμφώνων κατὰ μέσον, οὐκ ἀποτελούντων συλλαβήν· οἷον πτόλις ἀντὶ πόλις, πτόλεμος ἀντὶ πόλεμος.

ΠΡΟΣΧΗΜΑΤΙΣΜΟΣ.

Προσχηματισμὸς, ἐστὶ προσθήκη συλλαβῆς κατὰ τὸ τέλος. ἔστι δὲ τῶν τεσσάρων διαλέκτων ἴδιος. οἷον, λόγοισιν ἀντὶ λόγοις, μούσαισιν ἀντὶ μούσαις, προσώπατα ἀντὶ πρόσωπα, ἐγώνη ἀντὶ ἐγώ. λεκτέον δὲ καὶ περὶ ἐνδείας.

ΕΝΔΕΙΑ.

Ἔνδεια, ἐστὶν ἀφαίρεσις κατ' ἀρχὴν στοιχείου· οἷον, αἶα ἀντὶ γαῖα, ὀρτὴ ἀντὶ ἑορτή, κεῖνος ἀντὶ ἐκεῖνος. τὸ δὲ πάθος Ἰώνων.

ΑΡΣΙΣ.

Ἄρσις, ἐστὶν ἀποβολὴ κατ' ἀρχὴν τῆς ἀναδεδιπλωμένης συλλαβῆς· οἷον, βλῆσθαι ἀντὶ βεβλῆσθαι, δέχθαι ἀντὶ δεδέχθαι, βλήμενος ἀντὶ βεβλημένος.

ΣΥΣΤΟΛΗ.

Συστολή, ἐστὶν ὅταν τὰ ἐκτεινόμενα δίχρονα συσταλῇ, ἢ τὰ μακρά, ἢ τὰ βραχέα ἀντίστοιχα αὐτῶν μετατεθῇ· οἷον, φιτίζοος ἀντὶ φιτίζωος, ξερὸν ἀντὶ ξηρόν.

ΣΥΓΚΟΠΗ.

Συγκοπή, ἐστὶν ἀποβολὴ συλλαβῆς κατὰ τὸ μέσον· οἷον, κάμμορος ἀντὶ κακόμορος, δάσκιον ἀντὶ δασύσκιον.

ΣΥΝΑΛΟΙΦΗ.

Συναλοιφή, ἐστὶ δύο συλλαβῶν κατὰ φωνήεντος ἕνωσις, καταβολῇ τόνων. γίνεται δὲ κατὰ τρόποις ἑπτά· ἁπλοῦς μὲν τρεῖς, κατὰ θλίψιν, κατὰ κρᾶσιν, κατὰ συναίρεσιν· συνθέτοις δὲ τέσσαρας, κατὰ θλίψιν καὶ κρᾶσιν, κατὰ θλίψιν καὶ συναίρεσιν, κατὰ κρᾶσιν καὶ συναίρεσιν, κατὰ θλίψιν καὶ κρᾶσιν καὶ συναίρεσιν. κατὰ θλίψιν, ἐπ' ἐμέ, ἀντὶ ἐπὶ ἐμέ. κατὰ κρᾶσιν, τἀμά, ἀντὶ τὰ ἐμά. κατὰ συναίρεσιν, Νηρῆδες, ἀντὶ Νηρηΐδες. κατὰ θλίψιν καὶ κρᾶσιν, κἀγώ, ἀντὶ καὶ ἐγώ. κατὰ θλίψιν καὶ συναίρεσιν, ἐμοὐποδέχεται, ἀντὶ ἐμοὶ ὑποδέχεται. κατὰ κρᾶσιν καὶ συναίρεσιν, ὡπόλος, ἀντὶ ὁ αἰπόλος. κατὰ θλίψιν καὶ κρᾶσιν καὶ συναίρεσιν, ἐν τἀθιοπίᾳ, ἀντὶ ἐν τῇ Αἰθιοπίᾳ.

ΕΛΛΕΙΨΙΣ.

Ἔλλειψις, ἐστὶν ἀποβολὴ φωνήεντος κατὰ μέσον, οὐ ποιοῦντος συλλαβήν· οἷον, ἀμύξαι ἀντὶ αἰμύξαι, γεραὸν ἀντὶ γεραιόν.

ΠΑΡΕΛΛΕΙΨΙΣ.

Παρέλλειψις, ἐστὶν ὅταν ἕν τι τῶν διπλασιαζομένων συμφώνων παραλείπεται· οἷον, κάλιον ἀντὶ κάλλιον, θᾶτον ἀντὶ θᾶττον.

ΕΚΘΛΙΨΙΣ.

Ἔκθλιψις, ἐστὶν ἀποβολὴ ἑνὸς συμφώνου ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς, οὐ ποιοῦντος συλλαβήν· οἷον, σκῆπτον, ἀντὶ σκῆπτρον.

ΑΠΟΚΟΠΗ.

Ἀποκοπή, ἐστὶν ἀφαίρεσις συλλαβῆς κατὰ τὸ τέλος· οἷον, δῶ ἀντὶ δῶμα, Ἀπόλλω ἀντὶ Ἀπόλλωνα, Ποσειδῶ ἀντὶ Ποσειδῶνα.

Commiſſa vel omiſſa.

Pagina 18 *ante* Ἀθηναίη *adde hæc:*


Ἀθάμας *Athamas.*


Αἰολίδης	Αἰγείδην Θησῆα, καὶ Αἰολίδην Ἀθάμαντα.	Opp. κυνηγ. δ.
ἀσεβής	Ἦν Ἰνὼ φιλόπαις, ἀλλ' ἀσεβὴς Ἀθάμας.	Epigr. lib. 1.
τλήμων	-- ἄμβροτος Ἰνὼ Ἀλλ' Ἀθάμας τλήμων.	Eod.
	Nonn. Dionyſiac. οἰστρομανὴς, αἰνομανής.	

Pag. 41, *verſ.* 13, *dele* ἀκουὴ, ſupra ἀκοή. *P.* 151, *v.* 11, *leg.* bouina pellis *ſine diſtinctione.* *P.* 305, *v.* 6, *a fine leg.* ἑλκυδεῖ. *P.* 470, *v.* 8, *leg.* lupus. *P.* 472, *v. vltimo leg.* λύτρον. *P.* 512, *v.* 6. *leg.* fatigatio. *P.* 516, *v.* 1, *leg.* muræna. *P.* 526, *numerum paginæ ſic corrige, ac pro* 527, *ſubſtitue* 526. *P.* 542, *v.* 4, *a fine, leg.* νομός. *P.* 596, *v.* 13, *leg.* ὀστρίτης. *P.* 764, *v.* 1, *in margine leg.* βυρσοσφυές. *P.* 771, *v.* 12, *hunc verſum ſic lege:* Εἶπε δ', μὴ νοέουσα γυνὴ φισίζοον ὕδωρ. *P.* 800, *poſt* 12 *verſum* Ὅσσα τε &c. *hæc adde:* Nonn. Dionyſ. ἑτερόχροος, πολύθρηνον.

Siqua præterea nos, aut non ſatis attendentes, aut certe, dū vrgēt operæ, feſtinantes fugerunt, tu ea pro tuo candore, beneuole lector, corrige, noſtriſq; conatibus bene precare.







Epistolarum Graecarum Farrago. fol. 27

Dinnerus Conradus

Epithetorum graecorum farrago locupletissima.

Francofurdi.

Apud Andreae Wecheli heredes
1589.

16°. 12 k. n. – 871 str.
A–A5 – Iii – Iii3

Opr. perg.

Dinnerus Conradus

Epithetorum graecorum farraro locupletissima.

Francofurdi.

Apud Andreae Wecheli heredes

1589.

16°. 12 k. n. – 871 k.

A–A5 – Iii – Iii 3

Opr. perg.